

3 1761 04568511 2



SANCTI PATRIS NOSTRI

CYRILLI

ARCHIEPISCOPI ALEXANDRINI

IN D. JOANNIS EVANGELIUM

ACCEDUNT FRAGMENTA VARIA

NECNON TRACTATUS AD TIBERIUM DIACONUM DUO

EDIDIT POST AUBERTUM

PHILIPPUS EDVARDUS PUSEY, A.M.

VOL. III.

Ὁ θρόνος σου ὁ Θεὸς εἰς αἰῶνα αἰῶνος
Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου

Oxonii

E TYPOGRAPHEO CLARENDONIANO

M.DCCC.LXXII

MEMORIAE

VIRI REVERENDISSIMI CLARISSIMIQUE

PHILARET

MUSCOVIENSIS ARCHIEPISCOPI

DE FRAGMENTIS QUAE HIC TOMUS HABET.

Commentariorum in Epistolam ad Romanos fragmenta, ea sunt quae primus edidit Card. Maius (Bibl. Nova Patrum, Tom. iii) ex Catena satis ampla quae est in Vaticano; cui ad supplementum Catenam Monacensem adhibui, a Cramerio nostrati editam.

Ea quoque quae sunt de duobus ad Corinthios Epistolis idem excusserat Maius ex eadem amplissima Catena; adhibita insuper pulcherrima Catena in omnes S. Pauli Epistolas, quae est in Bibliotheca *τοῦ Παντοκράτορος* in Monte Atho. Codex hic, prioribus, ut videtur, seculi x annis conscriptus, haud multa utilia exhibet nisi in has duas Epistolas, ubi non S. Cyrilli tantum, sed Didymi etiam multa sunt scholia. Cyrillana in eo omnia fere fragmenta magis epitomen sapere videntur quam quae sunt in Vaticano; ejus vero operis partis nonnunquam epitome est, quae in Vat. non invenitur. Hic Cod. librorum quoque divisiones ceteraque ejusdemmodi distinxit.

Fragmenta in Epistolam ad Hebraeos ea sunt quae Maius, in opere supra laudato, ex Niketae Catena dedit, iis adhibitis quae Cramerius ex Cod. Parisiensi excusserat. E Nicetianis plurima Maio omittenda erat, quae ex aliis S. Cyrilli operibus venerunt; mihi quoque alia omittere contigit, quae ille tam laboriosus vir proprio tamen loco assignare non potuerat. Accessere alia ex Codd. Syriacis in Museo Britannico.

Haec Syriace citata indicant duobus modis distinctos fuisse Cyrilli in Epistolam ad Hebraeos Commentarios; nam et in libros atque capitula dividuntur (perinde atque ejusdem in Jesaiam, in XII Prophetas, in S. Joannem Commentata) et in Homilias. Cujus rei causam equidem ignoro; sive Commentarios in eam Epistolam scripserit S. Cyrillus, ac praeterea Homiliarum in eandem ediderit

seriem, sive quaecumque ea fuerit. Pauca ea quae Syriace citantur ex Epistolis ad Corinthios, ea ita dividuntur ut in Cod. Pantocratorensi.

Homiliarum Cyrillanarum fragmenta ex Maii florentissimis Anthologicis plerumque sunt decerpta, vel ex Catenis atque ejusmodi fontibus. Id sane libet indicare, quod fortasse seculo xi exstiterit totum volumen Homiliarum S. Cyrilli (praeter Homilias Paschales), quoniam unus Niketae in S. Lucam codex quaedam ex Homilia xxvii citat (vid. ad p. 458), alterque Niketae in Hebraeos cod. ex Hom. xxv (vid. ad p. 463).

Contra Synusiastas fragmenta, triumque contra Diodorum ac Theodorum librorum, ea plerumque sunt quae in Synodi Chalcedoniae Defensione edidit Joannes Caesariensis, ut narrat Syriacus ille cod. quo Maius est usus: nullum enim nomen est in duobus codd. Graecis. Pauca quaedam praeterea accesserunt fragmenta Syriaca ex Severi operibus, Monophysitarum Patriarchae Antiochensis, aut ex ea Serie Patrum testimoniorum quae est in Museo Britannico (Codd. add. 14532–3); quae cum Severum citat, paullo post ejus aetatem scriptum fuisse apparet.

His fragmentis accedit parvus contra Anthropomorphitas tractatus; quem in hac editione in duas partes divisi, disposuique secundum ordinem Cod. Mediceo-Laurentiani, Plut. vi. cod. 17. Alterius in hoc cod. deest titulus, uno ad minimum amisso folio. Alibi autem citatur ut *πρὸς Τιβέριον*. Primum capitulum ex cod. Syriaco editur, qui est in Mus. Brit. 14531.

Hi ambo Tractatus ad eundem Tiberium scripti videntur esse: nam videas quae ille de S. Cyrillo petierit, ante primam responsorum seriem adjecta (p. 547): ubi illa, *δεξάμενοι γὰρ πρόσθεν ἐκ τῶν σῶν ἁγίων χειρῶν τὴν περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν δογμάτων ζήτησιν ἐπιλύουσαν βίβλον*, videntur alium aliquem librum commemorare, jam a S. Cyrillo ad Tiberium mandatum; qui is forsitan fuerit, qui in hac editione, et in Cod. Florentino, secundum habet locum.

Quaedam fragmenta Syriaca quae post hos duos dedi tractatus, unumque eorum quae ad p. 537 sunt, cum proprio loco praetermisissem, Catalogo Gul. Wright LL.D. accepta refero: qui ipse pro sua humanitate insignissimum quemque codicem mihi indicavit.

IN HOC VOLUMINE INSUNT

CORRIGENDUM.

Pag. 204, not. 16, corrige *αὐτῷ* A. et ita Maius inter corrigenda.

ΚΕΦΑΛΗ ΙΒ.

Ὅτι κατὰ φύσιν ἕν ἐστιν ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα Θεόν, κἂν ὡς ἐν χάριτος μέρει δέξασθαι λέγῃ τὸ ἓν εἶναι πρὸς τὸν Πατέρα.

e

Κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν 22
καθὼς ἡμεῖς ἕν, ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι 23
τετελειωμένοι εἰς ἕν, ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με
ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας.

ΟΥΣΙΩΔΗ τε καὶ φυσικὴν τὴν ἕνωσιν ἔχειν εὖ μάλα φρονοῦντές φαμεν πρὸς τὸν ἑαυτοῦ Πατέρα τὸν Μονογενῆ, καθὸ καὶ γεγέννηται κατὰ τὸν ἀληθῆ τῆς γεννήσεως τρόπον, a 1001 A. καὶ ἐξ αὐτοῦ νοεῖται καὶ ἐν αὐτῷ, τῇ μὲν κατ᾽ ἰδίαν ὕπαρξιν ἑτερότητι διεστάναι τε καὶ διωρίσθαι δοκῶν, τῇ γεμὴν συμφυεστάτῃ τῆς οὐσίας ταυτότητι καὶ ὡς ἕν τι μετὰ Πατρὸς νοούμενος. ἐπειδὴ δὲ τῆς καθ᾽ ἡμᾶς ἕνεκεν οἰκονομίας, σωτηρίας τε καὶ ζωῆς, τὸν ἐν ἀρχαῖς ὥσπερ ἐκβέβηκε τόπον, τὴν ἰσότητά φημι τὴν πρὸς τὸν Πατέρα καὶ Θεόν, δοκεῖ δὲ καὶ σεσαλεῦσθαί πως εἰς τὴν τῆς ἀφανεστέρας δόξης ὑπέρβασιν· τοῦτο γὰρ ἦν τό Κεκένωκεν ἑαυτόν· (Phil. ii. 7.) ὁ πάλαι καὶ ἐξ ἀρχῆς ἐνυπάρχων μετὰ Πατρὸς δέχεται τοῦτο μετὰ σαρκός, τοῦ b γηΐνου τε καὶ ἐπικήρου περιβλήματος καὶ τῆς ἀνθρωπείας μορφῆς, τῆς ὡς ἐν λόγῳ φημὶ τῷ φυσικῷ νοουμένης, ἀπαιτούσης ἀναγκαίως, καθάπερ ἐν χάριτος μέρει, τὸ φύσει

1–4 om. E. 6. ἓν] + ἐσμεν Ed. invito E. 7. εἰς ἓν τετελειωμένοι inverso ordine E.

προσὸν αὐτῷ· ἦν γὰρ καὶ ἔστιν ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρός. οὐκοῦν ἐπειδήπερ οὐχ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ, ἀλλ' οὐδὲ ταὐτὸν εἰς φύσιν ἡ ἐκ γυναικὸς σάρξ ἐστιν, ἤγουν ὁλοκλήρως ὁ ἐκ τῆς παρθένου ναὸς, παρα- c δεχθεὶς δὲ ἅπαξ εἰς σῶμα τοῦ Λόγου, λοιπὸν ὡς ἕν τι λελόγισται σὺν αὐτῷ· εἷς γὰρ ὁ Χριστὸς καὶ εἷς Υἱὸς, καὶ ὅτε γέγονεν ἄνθρωπος. ταύτῃτοι λαβεῖν νοεῖται τὴν ἕνωσιν, παραδεχθεὶς εἰς τοῦτο καὶ μετὰ σαρκὸς, οὐκ ἐχούσης οἴκοθεν τὸ ἓν εἶναι πρὸς Θεόν. καὶ εἰ χρή τι συντομώτερον καὶ σαφέστερον εἰπεῖν, ἑαυτῷ δεδόσθαι φησὶν ὁ Μονογενὴς τὸ δοθὲν τῇ ἰδίᾳ σαρκί· δοθὲν δὲ δὴ πάντως παρὰ Πατρὸς δι' αὐτοῦ ἐν Πνεύματι. ὁ γὰρ τῆς πρὸς Θεὸν ἑνώσεως τρόπος d οὐχ ἑτέραν ἔχει τὴν ὁδὸν καὶ εἰ νοοῖτο τυχὸν ἐπὶ Χριστοῦ, καθὸ πέφηνέ τε καὶ κεχρημάτικεν ἄνθρωπος· ἑνώσει τῇ πρὸς τὸ Πνεῦμα, κατὰ τὸν ἄῤῥητον τῆς συνόδου τρόπον, ἁγιαζομένης δῆλον ὅτι τῆς σαρκὸς, οὕτω τε πρὸς ἕνωσιν ἀσυγχύτως ἀναβαινούσης αὐτῆς πρὸς τὸν Θεὸν Λόγον, καὶ δι' αὐτοῦ πρὸς τὸν Πατέρα, σχετικῶς δῆλον ὅτι καὶ οὐ φυσικῶς. ταύτην τοιγαροῦν τὴν δοθεῖσάν μοι, φησὶν, ὦ Πάτερ παρὰ σοῦ χάριν τε καὶ δόξαν, δῆλον δὲ ὅτι τὴν τοῦ ἓν εἶναι πρὸς σὲ, δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν.

Προσενούμεθα μὲν γὰρ ἀλλήλοις ἡμεῖς, κατὰ τοὺς ἤδη προαποδοθέντας τρόπους· ἑνούμεθα δὲ καὶ Θεῷ. καὶ κατὰ e τίνα λόγον ἢ πῶς, σαφεστάτην ἡμῖν ὁ Κύριος ἐποιήσατο τὴν ἐξήγησιν, καὶ τῆς ἑαυτοῦ διδασκαλίας διαφανῆ καθιστὰς τὴν ὄνησιν Ἐγώ φησιν ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ ἵνα ὦσι τετελειωμένοι εἰς ἕν. γίνεται μὲν γὰρ ἐν ἡμῖν ὁ Υἱὸς, σωματικῶς μὲν ὡς ἄνθρωπος, συνανακιρνάμενός τε καὶ συνενούμενος δι' εὐλογίας τῆς μυστικῆς· πνευματικῶς δὲ αὖ πάλιν ὡς Θεὸς, τῇ τοῦ ἰδίου Πνεύματος ἐνεργείᾳ καὶ χάριτι τὸ ἐν ἡμῖν 1002 A. a ἀνακτίζων πνεῦμα πρὸς καινότητα ζωῆς, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς καθιστάς. σύνδεσμος οὖν ἄρα τῆς ἑνό-

6. καὶ alt. assumptum ex E. 28. συναινούμενος E.

τητος ἡμῶν τῆς πρὸς Θεὸν καὶ Πατέρα διαφαίνεται Χριστὸς, ἑαυτοῦ μὲν ἡμᾶς ἐξαρτήσας ὡς ἄνθρωπος, Θεῷ δὲ ὡς Θεὸς ἐνυπάρχων φυσικῶς τῷ ἰδίῳ γεννήτορι. ἦν γὰρ οὐχ ἑτέρως ἀναπηδᾶν δύνασθαι πρὸς ἀφθαρσίαν τὴν ὑποκειμένην τῇ φθορᾷ φύσιν, εἰ μὴ καταβέβηκεν ἐπ' αὐτὴν ἡ φθορᾶς ἁπάσης καὶ παραλλαγῆς ἀνωτέρω φύσις, ἀνακουφίζουσα τρόπον τινὰ πρὸς τὸ ἴδιον ἀγαθὸν τὸ κάτω πίπτον ἀεὶ, καὶ b τῇ κοινωνίᾳ καὶ ἀναμίξει τῇ πρὸς ἑαυτὴν μονονουχὶ καὶ ὅρων ἐξέλκουσα τῶν τῇ γενητῇ φύσει πρεπωδεστέρων, ἀναπλάττουσά τε πρὸς ἑαυτὴν τὸ οὐχ οὕτως ἔχον ἐξ ἑαυτοῦ. τετελειώμεθα τοιγαροῦν εἰς ἑνότητα τὴν ὡς πρὸς Θεὸν καὶ Πατέρα διὰ μεσίτου Χριστοῦ. τὸν γὰρ φύσει τε καὶ ἀληθῶς Υἱὸν, οὐσιώδη πρὸς αὐτὸν ἔχοντα τὴν ἕνωσιν, λαβόντες ἐν ἑαυτοῖς καὶ σωματικῶς καὶ πνευματικῶς, καθάπερ ἔλεγον ἀρτίως, τῆς ὑπὲρ πάντα φύσεως μέτοχοι καὶ κοινωνοὶ γεγονότες δεδοξάσμεθα. c

Παραδεχθῆναι γεμὴν εἰς ἕνωσιν ἡμᾶς τὴν ὡς πρὸς Θεὸν καὶ Πατέρα βούλεται Χριστὸς, ὁμοῦ καὶ τὴν ἐκ τοῦ Πατρὸς ὄνησιν δι' ἑαυτοῦ τῇ φύσει προξενῶν, καὶ τὴν ἐκ τῆς χάριτος δύναμιν ἔλεγχον ὥσπερ τινὰ διαφανῆ συμβήσεσθαι λέγων τῶν οἰομένων αὐτὸν οὐκ εἶναι παρὰ Θεοῦ. ποῖον γὰρ ἕξει τόπον ἢ χώραν ἔτι τῆς ἐπὶ τούτῳ συκοφαντίας ὁ λόγος, εἰ δι' ἑαυτοῦ πρὸς ἕνωσιν ἀναφέρει τῷ Πατρὶ τοὺς διὰ πίστεως δηλονότι καὶ ἀγάπης εἰλικρινοῦς προσοικειωθέντας αὐτῷ; ὅταν τοίνυν, ὦ Πάτερ, τὴν ἕνωσιν ἀποκερδάνωσι τὴν πρός d σε δι' ἐμοῦ, τότε γνώσεται μὲν ὁ *κόσμος ὅτι σύ με ἀπέστειλας*, τουτέστιν εὐδοκίᾳ σῇ βοηθήσων ἀφῖγμαι τῇ γῇ καὶ τοῖς ἐν αὐτῇ πλανωμένοις κατορθώσων τὴν σωτηρίαν· γνώσονται δὲ πρὸς τούτοις οὐδὲν ἧττον, φησὶν, οἱ τῆς οὕτω τριποθήτου μετεσχηκότες χάριτος, ὅτι *ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας*. ὁ γὰρ εἰς ἑνότητα λαβὼν τὸν καθ'

1. πρὸς] + τὸν a. ὁ Χριστὸς a. 2. ἄνθρωπος] + ἀνθρώπους a. 8. καὶ prius] + τῇ Migne. 11. πρὸς] + τὸν a. 12. μεσίτου] μέσου a. 25. ἀποκερδάνωσι] ταύτην κερδάνωσι a. 28. αὐτῷ E. 31. καθὰ E.

ἡμᾶς τε καὶ ἐξ ἡμῶν, τουτέστι, Χριστὸν, καὶ τῆς οὕτω e μεγάλης ἀξιώσας ἀγάπης· γέγονε δὲ ἡμῖν ὁ λόγος ὡς ἐπ᾽ ἀνθρώπου πάλιν· καὶ ἡμῖν ἐφεὶς τὸ ἐξεῖναι τούτου τυχεῖν, πῶς οὐκ ἐν ἴσῳ μέτρῳ τὸν τῆς ἀγάπης ἐποιήσατο λόγον; καὶ θορυβείτω τοῦτο τῶν νουνεχεστέρων μηδένα. πρόδηλον μὲν γὰρ καὶ ἀναμφιλόγως ἔχον, ὡς κατ᾽ οὐδένα τρόπον φιλονεικήσει ποτὲ τῷ ἰδίῳ Δεσπότῃ τὸ δοῦλον· ἀλλ᾽ οὐδὲ ἐν ἴσῳ μέτρῳ τοῖς ποιήμασι τὸν ἴδιον Υἱὸν ἀγαπήσειεν ἂν ὁ Θεὸς καὶ Πατήρ. πλὴν ἐκεῖνο διασκεπτέον, ὅτι τὸν ἐξ αἰώνων ἀγαπώμενον, ὡς ἀρχὴν ἔχοντα τοῦ ἀγαπᾶσθαι βλέπομεν, **1003 A.** a ὅτε γέγονεν ἄνθρωπος. οὐκοῦν ὅπερ εἶχε λαβὼν, οὐχ ἑαυτῷ δήπου λαβὼν, ἀλλ᾽ ἡμῖν καὶ τοῦτο ἁλώσεται. ὥσπερ γὰρ ἀνεβίω τὸ τοῦ θανάτου καταλύσας κράτος, οὐχ ἑαυτῷ τὴν ἀνάστασιν κατορθῶν, ᾗ Λόγος ἐστὶ καὶ Θεὸς, ἀλλ᾽ ἡμῖν δι᾽ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ τοῦτο διδούς· ὅλη γὰρ ἦν ἡ ἀνθρώπου φύσις ἐν Χριστῷ, τῶν θανάτου κατορχουμένη δεσμῶν· οὕτως οὐχ ἑαυτῷ τὴν παρὰ Πατρὸς ἀγάπην νοηθήσεται λαβών· ἦν μὲν γὰρ ἀεὶ καὶ διὰ παντὸς ἀγαπητός· ἀλλ᾽ ἵν᾽ b ἡμῖν προξενήσῃ τὴν παρὰ Πατρὸς ἀγάπην, δέχεται ταύτην παρ᾽ αὐτοῦ καὶ ὅτε γέγονεν ἄνθρωπος. ὥσπερ οὖν σύμμορφοι τῆς τε ἀναστάσεως αὐτοῦ καὶ τῆς δόξης ἐσόμεθα, γεγόναμέν τε ἤδη, καθάπερ ἐν ἀπαρχῇ τοῦ γένους καὶ ἐν πρώτῳ Χριστῷ, οὕτω καὶ τῆς ἀγάπης οἱονεὶ τὴν συμμορφίαν ἐσχήκαμεν, παραχωροῦντες μὲν τὸ νικᾶν εἰς ἅπαντα τῷ Μονογενεῖ· τὴν δὲ τῆς θείας φύσεως ἐν τοῖς καθ᾽ ἑαυτοὺς ἀσύγκριτον ἡμερότητα δικαίως θαυμάζοντες, ὡς τοῖς παρ᾽ c αὐτοῦ γεγονόσι χαριζομένην τὰ ἑαυτῆς καὶ κοινοποιούσης τοῖς κτίσμασιν, ἅπερ αὐτῇ προσήκει καὶ μόνῃ.

13–17. A *τὴν* ad *τὴν* transilit E. partim exhibet Cord. 14. *ἐν αὐτῷ καὶ δι᾽ ἑαυτοῦ* Cord. 18. *μὲν* assumptum ex E. *ἵν᾽* E. *ἵνα* Ed. 19. *ἀγάπην*] + *νοηθήσεται λαβὼν* (e supra) E. 24. *ἐσχήκαμεν* om. E. 27. *χαριζομένην*] *ἴσ. χαριζομενης* Ed. mg. *χαριζομένην* recte exhibet F. *αὐτῆς* E. 28. *τῆς* pro *τοῖς* E.

Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ αὐτοὶ 24
ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

Ἐπευξάμενος τοῖς ἑαυτοῦ μαθηταῖς, μᾶλλον δὲ ἅπασι τοῖς προσιοῦσιν αὐτῷ διὰ τῆς πίστεως, ἐξαιτήσας τε παρὰ Πατρὸς ὑπάρξαι τὴν ἕνωσιν καὶ ἀγάπην καὶ ἁγιασμὸν, ἐπι- d *φέρει παραχρῆμα καὶ ταῦτα· οὐχ ἑτέρων εἶναι δεικνὺς τὸ συνεῖναί τε αὐτῷ καὶ ἀξιοῦσθαι βλέπειν τὴν δόξαν αὐτοῦ, ἢ τῶν ἑνωθέντων τε ἤδη δι' αὐτοῦ τῷ Πατρὶ καὶ τῆς ἀγάπης τετυχηκότων, ἧς ἂν καὶ αὐτὸς ἔχειν νοοῖτο παρὰ Πατρί. ἠγαπήμεθα γὰρ ὡς υἱοὶ καθ' ὁμοιότητα τοῦ κατὰ φύσιν καὶ ἀληθῶς Υἱοῦ. εἰ γὰρ καὶ μὴ ἐν ἴσῳ μέτρῳ τυχὸν, ἀλλ' ἥ γε τοῦ πράγματος ἀκριβεστάτη μίμησις, συμπαρατρέχουσά πως τῷ κατὰ ἀλήθειαν, τὴν ἐκείνου πλάττεται δόξαν. θέλω τοιγαροῦν ὦ Πάτερ φησὶν ἵν' οἱ κατὰ πρόσοδον τὴν διὰ τῆς πίστεως καὶ διὰ φωταγωγίας τῆς παρὰ σοῦ γεγονότες ἐμοὶ, μετ' ἐμοῦ τε εἶεν καὶ τὴν ἐμὴν βλέπωσι δόξαν. ὅσον δὲ εἶναι δώσομεν ἀγαθὸν, τὸ καὶ αὐτῷ συνεῖναι τῷ Χριστῷ, ποῖος ἂν ἡμῖν ἐκκαλύψαι λόγος; εἴπερ ἐν ἀῤῥήτοις ἐσόμεθα θυμηδίαις, καὶ ὀφθαλμὸς μὲν οὐκ εἶδεν, οὖς δὲ οὐκ ἤκουσε, καὶ οὐκ ἐνεθυμήθη νοῦς, "ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν* 1 Cor. ii. 9. *"αὐτόν." τίνος γὰρ ἂν καὶ προσδεήσαι τυχὸν τῶν τελούντων εἰς ἀκράτους εὐθυμίας, τοῖς οἵ γε κεκλήρωνται τὸ καὶ αὐτῷ συνεῖναι τῷ πάντων δεσπότῃ Χριστῷ; καίτοι παντὸς* a 1004A. *ἀξιώσας θαύματος τὸ χρῆμα φαίνεται καὶ αὐτὸς ἡμῖν ὁ σοφός τε καὶ ἱερώτατος Παῦλος· κρεῖττον γὰρ, φησί "τὸ* Phil. i. 23. *"ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι." ὁ δὲ καὶ τῆς ἐν τῷδε τῷ βίῳ ζωῆς τὸ ἀξίωμα προτιθεὶς τουτὶ τὸ μέγα καὶ ἀξιάγαστον, πῶς οὐκ ἀληθὴς εἰσβήσεται μάρτυς, ὅτι τοῖς ἑαυτοῦ γνησίοις μεγάλην ἀπονέμει τῆς πρὸς αὐτὸν συνουσίας τὴν*

9, 10. *καὶ τῆς—Πατρί* assumpta ex E (a *πατρὶ* ad *πατρί* transiliente aut F. aut scriba). 12. *ἀληθοῦς* E. 27. *Χριστῷ* E. *Θεῷ* Ed.

δωρεὰν, ὁ πάντα πᾶσι διδοὺς πλουσίως; ἐπαγωνιεῖται δὲ b οὐδὲν ἧττον τῷ λόγῳ τὸ δι' αὐτοῦ πάλιν πρὸς ἡμᾶς εἰρημένον. [2 Cor. xiii. 3. Heb. vi. 5. 1 Thess. iv. 16, 17.] ἔχων γὰρ ἐν ἑαυτῷ λαλοῦντα Χριστὸν καὶ τὰς τοῦ "μέλλοντος αἰῶνος δυνάμεις" ἀποκαλύπτοντα, ἔφη πάλιν ὡδί· διαναστήσονται μὲν γὰρ οἱ νεκροὶ, φησὶν, ἀλλὰ καὶ "ἡμεῖς "οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα "ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω "πάντοτε σὺν Κυρίῳ ἐσόμεθα." χαριεῖσθαι δὲ καὶ αὐτὸς ἡμῖν αὐτὸ δὴ τοῦτο σαφῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χρι- [Supra xiv. 3.] c στὸς ἐπήγγελται λέγων "Πορεύομαι καὶ ἑτοιμάσω τόπον "ὑμῖν, πάλιν ἥξω καὶ παραλήψομαι ὑμᾶς μετ' ἐμαυτοῦ, ἵνα "ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς μετ' ἐμοῦ ἦτε."

Ἢ γὰρ νοοῦντες οὐ σφόδρα πικρῶς, ἀπεριεργότερον ἐκληψόμεθα διὰ τούτου σημαίνεσθαι τὰς ἄνω μονὰς, ἤγουν ἐφ' ἑτέρας ἰόντες ἐννοίας, τόπον ὥσπερ ἀπονεμηθήσεσθαι δώσομεν τὸν αὐτὸν ἡμῖν καὶ Χριστῷ, οἱονεὶ τὰς ἐξ ὁμοιότητος καὶ ἐν ἴσῳ λόγῳ τιμὰς, κατά γε τὸ ἐμφερὲς καὶ τὴν [Phil. iii. 21.] μίμησιν. σύμμορφοι γὰρ ἐσόμεθα τῆς δόξης αὐτοῦ, καὶ [2 Tim. ii. 12.] d συμβασιλεύσομεν αὐτῷ, κατὰ τὰς ἁγίας γραφάς· ὑπισχνεῖται [S. Matth. xxvi. 29. Apoc. iii. 20.] δὲ καθ' ὃν αὐτὸς οἶδε τρόπον καὶ συνανακλιθήσεσθαι μεθ' ἡμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ὅτι μὲν οὖν συνεσόμεθα τῷ Χριστῷ καὶ συμμεθέξομέν τε τῆς δόξης αὐτοῦ καὶ τῆς βασιλείας ἐσόμεθα κοινωνοὶ, παρέντες εἰς τὸ παρὸν διὰ πλειόνων ἔτι δεικνύειν, ὡς οὐδαμόθεν ἀμφίλογον, χωρῶμεν ἐπὶ τὸ ἕτερον, φημὶ δὴ τό Ἵνα e θεωρῶσι τὴν δόξαν τὴν ἐμήν. περιέσται τοιγαροῦν οὐ βεβήλοις καὶ ἁμαρτωλοῖς, ἀλλ' οὐδὲ τοῖς τὸν θεῖον ἀτιμάζουσι νόμον, τὸ ἐν ὁράσει γενέσθαι τῆς δόξης Χριστοῦ, μόνοις δὲ μᾶλλον τοῖς ὁσίοις καὶ ἀγαθοῖς. καὶ τοῦτο πάλιν εἰσόμεθα, προ- [Es. xxvi. 10.] φήτου μὲν λέγοντος "Ἀρθήτω ὁ ἀσεβὴς, ἵνα μὴ ἴδῃ τὴν "δόξαν Κυρίου·" ἐν δέ γε τοῖς εὐαγγελικοῖς κηρύγμασι τοῦ [S. Matth. v. 8.] Σωτῆρος Χριστοῦ "Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι

3. ἔχω E.

“αὐτοὶ τὸν Θεὸν ὄψονται.” εἶτα τίνες ἂν εἶεν οἱ τὴν καρδιαν ἔχοντες καθαρὰν, εἰ μὴ ἐκεῖνοι δὴ πάντως οἱ τῇ πρὸς Θεὸν ἑνώσει τῇ δι᾽ Υἱοῦ ἐν Πνεύματι, φιλοσαρκίας μὲν ἁπάσης ἀναχωρήσαντες, ἡδονὴν δὲ ὡς πορρωτάτω τὴν κοσμικὴν a1005 A. ποιησάμενοι, καὶ τὴν μὲν οἰκείαν ὥσπερ ἀρνησάμενοι ζωὴν, ἀναθέντες δὲ μόνῃ τῇ θελήσει τοῦ Πνεύματος, καθαρῶς τε καὶ ὁλοτρόπως πολιτευσάμενοι τῷ Χριστῷ, ὁποῖός τις ἦν καὶ ὁ Παῦλος, ἐκ πολλῆς ἄγαν τῆς ἐνούσης αὐτῷ καθαρότητος οὐ καταδείσας εἰπεῖν “Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ [Gal. ii. 20.] “οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.” ἀκούω δὲ καὶ ἑτέρου τινὸς τῶν ἁγίων ψάλλοντός τε καὶ λέγοντος “Καρδίαν [Ps. l. 12–14.] “καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαί- “νισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ “προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς b “ἀπ᾽ ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, “καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.” ἀγαλλίασιν γὰρ σωτηρίου τὸ Πνεῦμα καλεῖ, ἅτε δὴ καὶ ὑπάρχον πρόξενον χαρᾶς μὲν ἀτελευτήτου καὶ διηνεκοῦς, ἡγεμονίας δὲ τῆς κατὰ παθῶν τῶν ἐν κόσμῳ παρεκτικόν· Πνεῦμα γάρ ἐστι τοῦ κατὰ ἀλήθειαν σωτηρίου, τουτέστι Χριστοῦ. πολυτρόπως γεμὴν ὀνομάζων αὐτὸ, καὶ καρδίαν προσείρηκε καθαρὰν καὶ πνεῦμα ἐκάλεσεν εὐθὲς, ἅτε δὴ οὐκ ἐχόντων εὐθυτενῆ τὴν καρδίαν, σκαμβὴν δὲ μᾶλλον καὶ διεστραμμένην, ὡς ὁ c [Ps. c. 3.] ψάλλων φησὶ, τῶν οὔπω προσενωθέντων τῷ Θεῷ καὶ ἐν μεθέξει γεγονότων τῆς εὐλογίας Χριστοῦ τῆς διὰ Πνεύματος.

Ὡς ἐν κεφαλαίῳ τοιγαροῦν εἰπεῖν, ἐξαίρετον τοῖς ἑαυτοῦ γνωρίμοις ἀπονεμηθῆναι τὴν χάριν ἠθέλησεν ὁ Σωτὴρ, τὴν ἐκ τοῦ συνεῖναί τε αὐτῷ καὶ ὁρᾶν τὴν δόξαν αὐτοῦ· ἠγαπῆσθαι δέ φησι καὶ πρὸ καταβολῆς κόσμου, ἀρχαιοτάτην ἐν τούτοις εὖ μάλα δεικνὺς τὴν τοῦ καθ᾽ ἑαυτὸν μυστηρίου

10. ἀκούων E. Georgius Trapez.

13–16. μὴ—ἀπ᾽ ἐμοῦ post στήριξόν με transponunt E.

20. κατ᾽ Migne.

δύναμιν, καὶ ὅτι προέγνωστο μὲν τῷ Θεῷ καὶ Πατρὶ τῆς ἡμετέρας σωτηρίας ἡ ὁδὸς, ἡ διὰ τῆς τοῦ Χριστοῦ μεσιτείας d *τετελεσμένη. ἐδόθη μὲν οὖν οὐκ ἐν ἀρχαῖς τοῖς ἐπὶ γῆς ἡ γνῶσις, ἀλλὰ παρεισέδυ νόμος ὁ παιδαγωγὸς τῆς ἐνθέου πολιτείας, διαπλάττων ἡμῖν ἀμυδρὰν ἐν τύποις τὴν εἴδησιν, καιρῷ τῷ πρέποντι τὴν διὰ τοῦ Σωτῆρος τηρήσαντος χάριν τοῦ Θεοῦ καὶ Πατρός. λυσιτελὴς δὲ σφόδρα καὶ ἡ περὶ τούτων ἡμῖν ἀναφαίνεται γνῶσις πρὸς κατάλυσιν ὀφρύος Ἰουδαϊκῆς καὶ φρυάγματος ἀνοσίου τῶν ἐξ Ἰσραὴλ, συνηγορεῖν ἑλομένων εἰσαεὶ τῷ νόμῳ καὶ ὅτε τῆς ἀληθείας παρούσης παρ' οὐδὲν ἔδει λοιπὸν ποιεῖσθαι τοὺς τύπους. χρησιμωτάτη δὲ σφόδρα καὶ πρὸς τὴν τῶν ἑτέρων ἀνατροπὴν, οἰομένων ὅτι πρόσφατος ἡμῖν καὶ νέα βουλὴ τοῦ Πατρὸς τὴν τοῦ μυστηρίου δύναμιν ἐξεμηχανήσατο. διὰ τοῦτο καὶ ὁ Παῦλος τὴν τῶν οὕτω διατιθεμένων ὑπόληψιν* **1006 A.** a *ἀναιρῶν, ἔφη που περὶ Χριστοῦ· ὅτι προέγνωστο μὲν* 1 S. Pet. i. 20. *"πρὸ καταβολῆς κόσμου," πεφανέρωται γεμὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς.*

Σημειωτέον δὲ ὅτι δεδόσθαι φησὶν ἑαυτῷ παρὰ Πατρὸς, αὐτούς τε τοὺς μαθητὰς καὶ τὴν δόξαν τὴν θεοπρεπῆ καὶ τὸ κατὰ πάντων κράτος, οὐ καθὸ φύσει νοεῖται Θεὸς ὁ τῆς δόξης Κύριος, καὶ οὐσιῶδες ἔχων τὸ βασιλικὸν ἀξίωμα· μᾶλλον δὲ καθὸ πέφηνεν ἄνθρωπος, ᾧ πάντα ἐστὶ θεόσδοτα καὶ οὐκ ἐξ ἰδίας φύσεως. πάντα γὰρ τῇ κτίσει παρὰ Θεοῦ· ἴδιον δὲ ὅλως οὐδὲν ἐν αὐτῇ, κἂν ἔχουσά τι τῶν ἀγαθῶν διαφαίνηται.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων,
b καὶ αὐτοὶ ἔγνωσαν ὅτι σύ με ἀπέστειλας.

Δίκαιον ἐν τούτοις ἀποκαλεῖ τὸν Πατέρα, καίτοι ἑτέρως αὐτὸν ὀνομάσαι δυνάμενος. καὶ γάρ ἐστιν ὅσιος, ἅγιος, ἀμίαντος, κτίστης καὶ δημιουργὸς, καὶ ὅσαπερ ἂν πρέπῃ τῇ

5. ἡμῖν assumptum ex E.

τῶν ὅλων βασιλίδι φύσει. τίς οὖν ἡ αἰτία τοῦ κεκλῆσθαι δίκαιον, καίτοι καὶ ἑτέρως ἐξὸν ὀνομάζεσθαι παρὰ Χριστοῦ, φιλομαθὲς ὄντως ἰδεῖν. τὸ γάρτοι μὴ διππεύειν ἐᾶν τὰ ἐν τῇ θεοπνεύστῳ γραφῇ θεωρήματα, πολλὴν ἂν ἡμῖν ἐκτέκοι c τὴν ὄνησιν. οὐκοῦν ἐκεῖνό φαμεν, τὸν ἐν τῷ προκειμένῳ περιαθρήσαντες νοῦν. ὅτε τοίνυν ἡμᾶς ἁγιάζεσθαι κατ' εὐδοκίαν ἤθελε τοῦ ἰδίου Πατρὸς, τὸ τοῦ παρακλήτου πρόσωπον καὶ τὴν τοῦ μεσίτου χρείαν ἀποπληρῶν ὁ Χριστὸς, τὰς ὑπὲρ πάντων ἡμῶν πρεσβείας ἐποιεῖτο λέγων "Πάτερ ἅγιε, Supra ver. 17. "τήρησον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου," οὐχ ἑτέραν εἶναι λέγων τὴν ἀλήθειαν ἢ τὸ ἴδιον Πνεῦμα, δι' οὗ τὰς ἡμετέρας ἀσφαλίζεται ψυχὰς, κατασφραγίζων εἰς ὁμοιότητα τὴν πρὸς ἑαυτὸν, καὶ ἀνατειχίζων ὥσπερ ἀῤῥήτῳ δυνάμει πρὸς ἄμαχον εὐτολμίαν, παραθήγων δὲ δῆλον ὅτι καὶ εἰς προθυμίαν ἀχά- d λινον τὴν ἐπ' ἀκράτοις ἀγαθουργίαις, ὡς μηδενὸς τὸ παράπαν παρὰ πόδας κειμένου καὶ ὀπίσω καλεῖν ἰσχύοντος, ὀξυτάτῳ φέρεσθαι δρόμῳ πρὸς τὸ δοκοῦν τῷ Θεῷ, καὶ τῶν διαβολικῶν πολυτρόπων μηχανημάτων ἢ καὶ τῆς ἐν κόσμῳ φιληδονίας οὐδένα ποιεῖσθαι λόγον. οἱ γὰρ ἅπαξ κατασφραγισθέντες τῷ Ἁγίῳ Πνεύματι καὶ τὸν ἀῤῥαβῶνα τῆς χάριτος ἔχοντες εἰς νοῦν, πεπυργωμένην ἔχουσι τὴν καρδίαν, ἅτε δὴ καὶ ἐνδυσάμενοι τὴν ἐξ ὕψους δύναμιν. S. Luc. xxiv. 49. ἵνα τοίνυν τῶν οὕτως ἀξιεράστων ἀπολαύσωμεν ἀγαθῶν, ἐφ' ἡμᾶς ἐκάλει τὸν παρὰ Πατρὸς ἁγιασμὸν ὁ Χριστός. νυνὶ δέ τι τοιοῦτον, ὡς ἐγῷμαι, πάλιν ἐννοήσας φαίνεται. πρὸς γὰρ ἐκείνοις, οἷς ἔφη περὶ τοῦ δεῖν ἡμᾶς ἁγιάζεσθαι παρὰ Πατρὸς, καὶ τάδε προστέθεικε περὶ ἡμῶν "Κἀγὼ τὴν δόξαν a 1007 A. "ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν· Supra ver. 22, 23. "ἠγάπησας γὰρ αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας," καὶ πάλιν "Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ αὐτοὶ Ib. 24. "ὦσι μετ' ἐμοῦ."

24. ἁγιασμὸν E. (cf. ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου.) ἁγνισμὸν Ed. 28. αὐτῷ E.

Μετὰ τοίνυν τὸ ταῦτα εἰπεῖν, δίκαιον εὐθὺς ἀποκαλεῖ τὸν Πατέρα καὶ μάλα εἰκότως, οὗ κατ' εὐδοκίαν καὶ θέλησιν γέγονεν ἄνθρωπος ὁ Υἱὸς, ἵνα καὶ τοῦ διὰ Πνεύματος ἁγιασμοῦ καὶ τῆς πρὸς Θεὸν ἑνώσεως καὶ τοῦ ταῖς ἄνω μοναῖς ἐναυλίζεσθαι, συνεῖναί τε καὶ συμβασιλεύειν αὐτῷ τῇ ἀνθρω- Eph. ii. 10. b πείᾳ φύσει γένηται πρόξενος, ἐκτισμένῃ μὲν "ἐπ' ἔργοις ἀγαθοῖς·" ἔκτισε γὰρ οὐκ ἐπὶ κακίᾳ τὸν ἄνθρωπον ὁ Θεὸς ἐν ἀρχαῖς· παρατετραμμένῃ δὲ πρὸς φαυλότητα ταῖς ἀνοσίοις τοῦ διαβόλου μηχαναῖς, καὶ τῆς ἀρχαίας ἐκείνης καὶ θεοφιλοῦς ἀγωγῆς καθάπερ τινὸς ἰδίας ἐκμεμοχλευμένῃ κρηπῖδος. ἦν γὰρ δὴ καὶ ἀληθῶς ὅτι μάλιστα πρέπον τῷ δικαίῳ Πατρὶ τὸ καταῤῥαχθὲν ἐκ πλεονεξίας ὑψῶσαι πάλιν, καὶ τὸ ἐφ' ἃ μὴ προσῆκεν ἐξειλκυσμένον εἰς τὴν ἐν ἀρχαῖς καταστῆσαι θέσιν, καὶ ἀπαλλάξαι μὲν ἁμαρτίας τῆς ἀκαλλεστάτης, μεταπλάσαι δὲ ὥσπερ εἰς εἰκόνα τὴν πρώτην, τὸ καὶ ἐν c ἀρχαῖς οὕτω πεποιημένον· τὸν δέ γε συντρίψαντα καὶ ἀνοσίως παραφθεῖραι τετολμηκότα, τουτέστι τὸν σατανᾶν, ταῖς αὐτῷ πρεπούσαις ὑποθεῖναι ποιναῖς, εἰ καὶ μικρὸν οἶμαι γένοιτ' ἂν πᾶν εἶδος ἐκείνῳ κολαστηρίων τοσαύτην ἐνδειξαμένῳ κατὰ Θεοῦ τὴν ἀπόνοιαν. ὦ τοιγαροῦν Πάτερ δίκαιέ Ps. cxviii. 137. φησι "Δίκαιος γὰρ εἶ, καὶ ἀγαθὸς καὶ εὐθὴς ἡ κρίσις σου," καταπέμψαντος τῷ κόσμῳ πρὸς ἐπικουρίαν καὶ ἀνανέωσιν ἐμὲ τὸν σὸν ἀληθῶς καὶ γνήσιον Υἱόν. ἀλλ' ὢ τῆς ἀνοίας, φησίν· ὄντα γάρ σε τοιοῦτον ὁ κόσμος οὐκ ἔγνω. ἢ γὰρ ἂν εὐθὺς τὴν οὕτω φιλάνθρωπον ἐννοήσαντες ψῆφον d καὶ νεῦμα τὸ γαληνὸν, προσέδραμόν τε τῷ σώζοντι, καί σοι προσῆγον ἐθελοντὶ τὴν λατρείαν.

Ταυτὶ μὲν οὖν ὁ Χριστὸς διελέγετο τῷ Πατρὶ, χάριν ὥσπερ τὴν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ἀνατιθεὶς, ἐπείπερ δίκαιος ὢν ἐπένευσε μὲν τοῖς ἐκ πλεονεξίας παθοῦσι τὴν σωτηρίαν, κατεδίκασε δὲ τοῦ διαβόλου τὴν ἀπώλειαν. καὶ τὸν μὲν

15. καὶ assumptum ex E. 21. εὐθὺς E. 27. προσῆγον E. προσήγαγον Ed.

κόσμον φησὶ, τουτέστι, τοὺς ἀντιπράττοντας ἐπὶ τῷ θείῳ τε
καὶ εὐαγγελικῷ κηρύγματι, διὰ τὸ φρονεῖν τὰ ἐν κόσμῳ,
δίκαιον ὄντα μὴ μαθεῖν τὸν Πατέρα· "τετύφλωκε γὰρ ὁ 2 Cor. iv. 4.
"θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων," ὡς ὁ
Παῦλός φησιν, "εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ
"εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ·" τοῖς γεμὴν σφετέροις
ἐπεμαρτύρησε μαθηταῖς, ὡς εἰδόσι τε καὶ ἐγνωκόσιν αὐτὸν, a **1008A.**
λαμπρὸν καὶ ἀξιοζήλωτον κἀν τούτῳ πάλιν αὐτοῖς περιτι-
θεὶς τὸ ἀξίωμα. ἄνω γὰρ πάσης κοσμικῆς ταπεινότητος καὶ
σμικροπρεπείας γεγονότας ἀποφαίνει, διὰ τὸ εἰδέναι τὸν
Πατέρα, δῆλον δὲ δήπου καὶ ὡμολογημένον, ὅτι καὶ αὐτὸν
τὸν Υἱόν. ὅτε τοίνυν κατηγορεῖται μὲν ὁ *κόσμος*, ὡς μὴ
εἰδὼς τὸν Πατέρα, τουτέστι, τὸν ἀληθῆ τε καὶ φύσει Θεόν·
μεμαρτύρηνται γεμὴν ὡς εἰδότες οἱ μαθηταί· πῶς οὐ παντί
τῳ λοιπὸν ἀναμφίλογον, ὡς οὐκ ἂν εἶεν ἐκ τοῦ κόσμου, b
γεγονότες ἤδη τοῦ ὑπὲρ κόσμον Χριστοῦ, κατὰ τὸ εἰρημένον
παρὰ τοῦ Παύλου "Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ Gal. vi. 14.
"τῷ κόσμῳ·" καὶ περὶ ἡμῶν δὲ πάλιν "Οἱ δὲ τοῦ Χριστοῦ Ib. v. 24.
"Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ
"ταῖς ἐπιθυμίαις;" ἔξω δὲ κόσμου φαμὲν γενέσθαι τοὺς
μαθητὰς, οὐ θέσει τῇ κατὰ τόπον καὶ σωματικῇ· διαφαί-
νονται γὰρ "ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες·" Phil. ii. 15, 16.
ἀλλ' ὅτι περιπατοῦντες ἐπὶ τῆς γῆς ἐν οὐρανῷ πολιτεύονται,
καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἀποταξάμενοι, μᾶλλον δὲ c
ἁπάσης κοσμικῆς ἐπιθυμίας τὸν οἰκεῖον ἀνωτέρω στήσαντες
νοῦν, εἰς ὑπερφερῆ τινα καὶ ὑψηλοτάτην ἀνεπήδησαν ἀρετὴν,
κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον "Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ Ps. xlvi. 10.
"τῆς γῆς σφόδρα ἐπήρθησαν." οἱ γὰρ ἀνδρεῖοι διὰ Θεὸν
φρονήματος ἐπιγείου τὸ χαμαιπετὲς παρελάσαντες, τὰ ἄνω
φρονεῖν ἐγνώκασι· τοῦτο γὰρ οἶμαι σημαίνειν τό Ἐπήρ-
θησαν. οὐκοῦν ὁ μὲν *κόσμος* ἠγνόησε *δίκαιον* ὄντα σε, φησὶν,
ὦ *Πάτερ*. ἐγὼ γὰρ εἰδώς· βουλὴ γάρ εἰμι καὶ σοφία σή·

11. ὡμολογουμένον E. 21. θέσει E.F. Ed. mg. δέσει Ed.
31. κόσμος E.F. Ed. mg. σκοπὸς Ed.

d τῆς ἐμφύτου μοι δόξης καὶ θεοπρεποῦς ἀξίας οὐ σφόδρα φροντίσας, ἐμαυτὸν κεκένωκα καὶ εἰς ἀνθρωπίνην καταβέβηκα πτωχείαν, ἵνα σώσω κατὰ σὴν εὐδοκίαν τὸ τῆς οἰκειότητος τῆς πρὸς ἡμᾶς διολισθῆσαν γένος. ἠγνοηκότος δὲ καὶ τοῦτο τοῦ κόσμου, πεπλουτήκασι τὴν γνῶσιν οἱ μαθηταὶ, συνέντες κατὰ ἀλήθειαν ὅτι σύ με ἀπέστειλας, τουτέστι, τοῖς σοῖς ἀφῖγμαι νεύμασι πέρας ἐπιθήσων τὸ ἀγαθὸν, διὰ τοῦ κινδυνευούσαν ἀνασῶσαι τὴν γῆν.

e

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

Ἐγνωκέναι φησὶ τὸν Πατέρα καὶ Θεὸν, ἑαυτόν τε ἅμα καὶ τοὺς αὐτῷ προσεδρεύοντας μαθητάς. ἵνα δὲ μή τις εἰς ὑπονοίας ἐκτόπους ἐξ ἀπάτης ὑπενεχθεὶς, ἐν ἴσῳ τῷ τρόπῳ γενέσθαι τὴν γνῶσιν οἰηθείη τυχὸν ἔν τε αὐτῷ τῷ Χριστῷ καὶ τοῖς μαθηταῖς, διαστέλλει παραχρῆμα καὶ φανοτάτην 1009A. a ἐργάζεται τὴν διαφορὰν, ἑαυτὸν μὲν ἀποκαλύπτοντα, τοὺς δὲ τὴν γνῶσιν ἑλόντας δι' αὐτοῦ παραχρῆμα δεικνύς. ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἐπείπερ ἐστὶ καὶ Λόγος καὶ βουλὴ καὶ σοφία τοῦ Πατρὸς, οἶδεν ἀδιδάκτως τὰ ἐν αὐτῷ, καὶ τοῦ τεκόντος αὐτὸν τὰ βάθη περιεργάζεται, καθάπερ ἀμέλει καὶ ὁ νοῦς ὁ ἀνθρώπινος τὰ ἐν αὐτῷ, καὶ ἡ ἐν ἡμῖν τε καὶ καθ' ἡμᾶς νοουμένη σύνεσις οὐδὲν τὸ παράπαν τῶν b ἐν ἡμῖν ἀγνοοῦσα φαίνεται· οἱ δέ γε θεσπέσιοι μαθηταὶ τὸ μὲν δύνασθαι νοεῖν τι περὶ Θεοῦ καρπὸν τῆς ἰδίας οὐκ ἔχουσι γνώσεως, φωταγωγούμενοι δὲ διὰ τοῦ Πνεύματος τῇ τῶν μυστηρίων ἀκριβείᾳ προσβάλλουσι τοῦ Υἱοῦ, συνιέναι τε οὕτω δύνανται τὸν Πατέρα. χρησίμως οὖν ἄρα καὶ λίαν εἰκότως ἐπήνεγκεν ὁ Χριστὸς ὅτι καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω.

Ἐπιτήρει δὲ ὅπως ἴση δι' ἀμφοῖν ἐνέργεια, φημὶ δὴ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, πρὸς τὴν τῆς θεοπτίας κατάληψιν

16. τὴν assumptum ex E. 30. δὴ E. δὲ δὴ Ed.

ἀποτελουμένη φαίνεται. σοφοῖ μὲν γὰρ ὁ Πατὴρ, ἀποκα- [c] λύπτων τὸν ἴδιον Υἱόν· σοφοῖ δὲ οὐδὲν ἧττον καὶ ὁ Υἱὸς, ἀποκαλύπτων τὸν Πατέρα. καὶ γοῦν τῷ μακαρίῳ Πέτρῳ φησὶ περὶ τὰ μέρη Καισαρείας τῆς καλουμένης Φιλίππου [S. Matth. xvi. 13.] "Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ [Ib. 17.] "ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς." διωμολογήκει γὰρ ὁ μαθητὴς καὶ πιστεῦσαι διισχυρίσατο, ὅτι αὐτὸς εἴη Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. αὐτὸς δὲ νυνὶ περὶ ἑαυτοῦ φησιν *Ὅτι ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου* [d] *καὶ γνωρίσω*. οὐ γὰρ κατέληξεν ἀποκαλύπτων ἡμῖν ὁ Μονογενὴς τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν δύναμιν ἀποκαλύψας τοῖς πρώτοις ἐν ἀρχαῖς· ἐνεργεῖ δὲ τοῦτο διὰ παντὸς, ἐνσπείρων ἑκάστῳ τὸν διὰ τοῦ Πνεύματος φωτισμὸν, καὶ χειραγωγῶν εἰς ἐπίγνωσιν τῶν ὑπὲρ νοῦν καὶ λόγον τοὺς ἀγαπῶντας αὐτόν. τί δὲ δὴ κατορθῶν καὶ κατὰ τίνα τρόπον ἡμᾶς ὠφελῶν ἀποκαλύψαι μὲν ἤδη τοῖς μαθηταῖς, γνωρίσειν γεμὴν καὶ τοῖς μετὰ ταῦτα διισχυρίζεται τὸν Πατέρα, πάλιν αὐτὸς ὑπέδειξεν εἰπών *Ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς* [e] *ᾖ κἀγὼ ἐν αὐτοῖς*. τοῖς γὰρ διὰ θεωρίας εἰλικρινοῦς ἐπιγνῶναι δυνηθεῖσι τὸν Θεὸν καὶ Πατέρα, πεπαιδευμένοις δὲ κατὰ ἀκρίβειαν τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν λόγον, ὑπάρξει δὴ πάντως καὶ ἀναμφιλόγως περιέσται τὸ τελείως ἀγαπᾶσθαι παρὰ Πατρὸς, καθ' ὁμοιότητα τοῦ Υἱοῦ. τελειότατα γὰρ ἀγαπᾷ τὸν ἴδιον Υἱὸν ὁ Πατήρ· ἐναυλίζεται δὲ καὶ αὐτὸς ὁ Χριστὸς, διὰ τοῦ Ἁγίου δηλονότι Πνεύματος, συνάπτων εἰς οἰκειότητα τὴν πνευματικὴν δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρὶ τὸν ἐγνωκότα αὐτὸν, ἀπαράφθορόν τε τῆς θεογνω- [a 1010 A.] σίας ἐν ἑαυτῷ τὸν λόγον ὠδίνοντα. *ἐγνώρισε* δὲ ἡμῖν *τὸ ὄνομα* τοῦ Πατρὸς, Υἱὸν ἡμῖν ἑαυτὸν ἐπιδείξας. παρέψεται γὰρ καὶ ἰσοδρομήσει πάντη τε καὶ πάντως τῇ περὶ τοῦ γεννήματος γνώσει καὶ ἡ περὶ τοῦ γεννήσαντος αὐτὸν, καθάπερ οὖν ἀληθὲς καὶ τὸ ἔμπαλιν.

21. κατ' Migne. 24. γὰρ pro δὲ E. 32. οὖν assumptum ex E.

Εἰ δὲ ἀληθὴς ὁ λόγος καὶ ἀναμφιλόγως παραδεκτὸν, ὅτι Πατρὶ μὲν ὁ Υἱὸς, Υἱὸς δὲ αὖ πάλιν τῷ Πατρὶ συννοεῖταί τε καὶ συνεισάγεται, καὶ συνειστρέχει δι᾽ ἀμφοῖν ἡ ἑκατέρου γνῶσις· πῶς ἔτι ποίημα κατά τινας τῶν ἀνο-
b σίων ἐστὶν ὁ Υἱός; Υἱὸν μὲν γὰρ εἴ τις λέγοι, τὴν περὶ Πατρὸς ἐνέθηκε γνῶσιν τοῖς ἀκροωμένοις· ποίημα δὲ ὀνομάσας εἰς ἔννοιαν ἀναφέρει τοῦ ποιήσαντος αὐτό. ἐπειδὴ δὲ Πατέρα καλεῖ τὸν Θεὸν ὁ Υἱὸς, οὐ ποιητὴν ἢ δημιουργὸν, οἶδε δηλονότι γέννημα κατὰ ἀλήθειαν ἑαυτὸν ὑπάρχοντα. διὸ νοεῖταί τε καὶ ἔστιν ὁ Υἱὸς υἱὸς, καὶ οὐ ποίημα κατ᾽ ἐκείνους· δι᾽ ὃ ποιητὴς ὁ ποιῶν καὶ οὐκέτι πατήρ. ἀδικήσει δὲ οὐδὲν τὴν τοῦ λόγου δύναμιν, τὸ καὶ ἐφ᾽ ἡμῶν τετάχθαι τυχὸν
c τὸ τῆς γεννήσεως, ἤτοι τὸ τῆς υἱότητος ὄνομα. τὰ γάρ τοι κυρίως τε καὶ ἰδικῶς ἀνακείμενά τε καὶ προσόντα τῷ κατὰ φύσιν Υἱῷ, ταῦτα καὶ ἐφ᾽ ἡμᾶς κατεκομίσθη, πολλάκις κατακεχρημένης ἔσθ᾽ ὅτε τῆς ἁγίας γραφῆς καὶ τοῖς κατὰ θέσιν υἱοῖς τὰ τοῦ κατὰ φύσιν περιτιθείσης ἔσθ᾽ ὅτε. θαυμαστὸν δὲ οὐδὲν, εἰ καὶ τὴν τοῦ γεννήματος ἐλάχομεν κλῆσιν, ἐκ φιλανθρωπίας Θεοῦ τιμῆσαι θελήσαντος, ἐπεὶ καὶ θεοὺς ὠνόμασε τοὺς ἀπὸ γῆς ὄντας ὁμολογουμένως.

d
Κεφ. ιη′. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν
2 αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ· ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

Καταφωτίσας τοὺς μαθητὰς καὶ εἰς ἕκαστα τῶν τελούντων εἰς ἀρετὴν τοῖς καθήκουσιν ἀποτορνεύσας λόγοις, ἀστειοτάτην δὲ σφόδρα καὶ θεοφιλῆ πολιτείαν ἑλέσθαι προστάξας, καὶ πρὸς τούτοις ἔτι πνευματικῶν ἀναπλήσειν αὐτοὺς χαρι-
e σμάτων ὑποσχόμενός τε αὐτὸς, καὶ τὰς ἄνωθεν καὶ παρὰ

2. ὁ om. E. 9. κατ᾽ Migne. 10. νοῆται E. 17–19. κατὰ—φιλανθρωπίας om. E. 22. κέδρων] δένδρων E. 23–25. ver. 2 om. E. 28. θεοφιλεῖ E.

Πατρὸς εὐλογίας καταπεμφθήσεσθαι σφίσιν εἰπών, ἔξεισιν ἤδη προθύμως, τὸν τοῦ πάθους καιρὸν οὐκ ἀποσειόμενος, οὔτε μὴν τὸν ὑπὲρ ἁπάντων καταδείσας θάνατον. πῶς γὰρ ἦν εἰκὸς τοῦτο δρᾶν τὸν ᾧ γε παρέστη παθεῖν, ἵνα τῷ ἰδίῳ πάθει τὴν ἁπάντων ἀπάθειαν ἐκπρίηται, ἀφιγμένον τε διὰ τοῦτο καὶ μόνον, ἵνα τῷ οἰκείῳ αἵματι τὴν σύμπασαν γῆν κατακτήσηται τῷ Θεῷ καὶ Πατρί; πλειστάκις μὲν οὖν a 1011 A. ἐμπαροινεῖν ἑλομένων τῶν Ἰουδαίων αὐτῷ, λιθόλευστόν τε ποιεῖν ἐξ ἀπονοίας ἐπιχειρούντων, ἀπέδρα θεοπρεπῶς, ἀφανῆ μὲν ἑαυτὸν καθιστάς, ὑπεξάγων δὲ καὶ μάλα ῥᾳδίως τῆς τῶν ζητούντων χειρός· οὐ γὰρ ἤθελέ πω παθεῖν, οὔπω καιροῦ καλοῦντος εἰς τοῦτο τοῦ πρέποντος. ἐπειδὴ δὲ ἤδη παρῆν, τὴν ἑστίαν ἀφεὶς ἐν ᾗ τοὺς ἰδίους μεμυσταγώγηκε μαθητάς, b ἀφικνεῖται πρὸς τόπον, ἐν ᾧπερ ἦν ἔθος ἐνδιαιτᾶσθαι συχνῶς, αὐτῷ τε τῷ πάντων Σωτῆρι Χριστῷ καὶ τοῖς ἁγίοις μαθηταῖς. ἔδρα δὲ τοῦτο πάλιν, ἀταλαίπωρον καθιστὰς τῷ προδότῃ τὴν εὕρεσιν. κῆπος δὲ ὁ χῶρος ἦν τὸ τοῦ ἀρχαίου σχῆμα παραδείσου πληρῶν· ἀνακεφαλαίωσις γὰρ ὥσπερ ἐγίγνετο τῶν τόπων καὶ πάντων, ὡς ἔπος εἰπεῖν, ἐπαναδρομὴ πρὸς τὸ ἀρχαῖον. ἐν παραδείσῳ μὲν γὰρ τῶν καθ' ἡμᾶς σκυθρωπῶν συμβέβηκεν ἡ ἀρχή, ἐν κήπῳ δὲ καὶ τὸ Χριστοῦ c πάθος δέχεται τὴν ἀρχήν, ἁπάντων ἡμῖν τῶν πάλαι συμβεβηκότων εἰσφέρον τὴν ἐπανόρθωσιν.

Ὁ οὖν Ἰούδας παραλαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων 3 καὶ Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

Ἀναγκαιότατα πάλιν ὁ θεσπέσιος Εὐαγγελιστὴς ἐν τῷ κήπῳ γενέσθαι φησὶ τὸν Ἰησοῦν, οὐ πλήθους ἀνδρῶν d ἑτέρων, οὐκ ὄχλου συνθέοντος, ἤγουν ἐπαμύνειν αὐτῷ διε-

5. πάθη E. 9. ἐπιχειρούντων ἐξ ἀπονοίας inverso ordine E. 15. τε assumptum ex E. 19. τῶν τόπων F. τόπων Ed. mg. τόπον Ed. ἐπαναδρομὴν E. 23. εἰσφέρων E. Cord. 28. τὸν Ἰησοῦν φησι inverso ordine E.

σκεμμένου, μόνον δὲ μόνοις συνόντα τοῖς ἑαυτοῦ μαθηταῖς, ἵνα τῆς τοῦ προδότου καρδίας καταστήσῃ καταφανὲς τὸ σαθρὸν εἰς σύνεσιν. δεινὸν γὰρ λίαν ἐν ἑκάστῳ τὸ συνειδὸς, καὶ θορύβους ἐντεκεῖν καὶ πικρὰς ἀνασκαλεῦσαι δειλίας, ὅταν τι τῶν ἀνοσίων ἐπιχειρῶμεν ἔσθ' ὅτε. τοιοῦτον οἶμαί τι πεπονθὼς ὁ προδότης, τήν τε σπεῖραν αὐτὴν πολεμικοῖς ὀργάνοις ἐνηρμοσμένην καὶ τοὺς τῶν Ἰουδαίων ὑπηρέτας c *ἐπικομίζεται, καθάπερ τινὰ τῶν διαβοήτων εἰς κακουργίαν ὑπὸ χεῖρα ληψόμενος. ᾔδει γὰρ, ὡς εἰκὸς, ὡς οὐκ ἂν ἕλοι ποτὲ μὴ οὐχὶ παθεῖν ᾑρημένον, ἰόντα τε πρὸς τοῦτο δι' ἐθελουσίου ῥοπῆς· ἀλλ' ἐκ τῆς τῶν δρωμένων ἀνοσιότητος παρεφθαρμένος τὸν νοῦν, καὶ μεθύων ὥσπερ τοῖς ὑπὲρ λόγον τολμήμασιν, οὐδὲ ὅποι ποτὲ φέρεται βλέπει, καὶ ἀνηνύτοις ἐπιχειρῶν οὐκ αἰσθάνεται. ᾤετο γὰρ ὅτι τῇ τῶν ἑπομένων πληθύϊ καὶ ἀνθρωπίνῃ χειρὶ τῆς θείας αὐτοῦ δυνάμεως περιέσται ποτέ. καὶ μή τοι θαυμάσῃς εἰ νοσεῖ τι τῶν τοιούτων ὁ* **1012 A.** a *δείλαιος, καὶ γέλωτος ἄξια πεφρονηκὼς εὑρίσκεται. ἑτέρῳ γὰρ ἤδη τῆς ἑαυτοῦ ψυχῆς ἀναθεὶς τοὺς οἴακας καὶ καταπωλήσας τῷ διαβόλῳ τῶν ἰδίων θελημάτων τὴν ἐξουσίαν, ὅλος ἦν τῆς ἐκείνου μανίας, εἰσπεπηδηκότος ἅπαξ καὶ πικροῦ τινος ὄφεως δίκην ἐμφωλεύοντος αὐτῷ. ἀποθαυμάσαι δ' ἄν τις, καὶ λίαν εἰκότως, ἀκαταλήκτων τε δακρύων ἀξίαν ἐρεῖ τὴν τοῦ προδότου κατάπτωσιν. ὁ γὰρ ἄρτι συνεστιώμενος τῷ Χριστῷ καὶ ὁμόσιτος ὢν, τραπέζης τε τῆς ἁγίας μέτοχος,* b *καὶ λόγων τῶν εἰς εὐσέβειαν συναπολαύσας τοῖς ἄλλοις,* Supra xiii. 21. *ἀκηκοώς τε λέγοντος ἐναργῶς "Ὅτι εἷς ἐξ ὑμῶν παραδώσει "με," ἐξ αὐτῶν, ὡς ἔπος εἰπεῖν, τῶν περιτραπεζίων ἐξάλλεται δίφρων καὶ τῆς κατακλίσεως ἄρτι τάχα διαναστὰς, δρομαῖος ἄπεισι μισθαρνήσων Ἰουδαίοις, οὐ λόγων τῶν εἰς εὐσέβειαν διαμεμνῆσθαι θελήσας, οὐκ ἐλπίδος τῆς εἰς τὸ μέλλον εἰς ἐπιθυμίαν ἐλθὼν, ὀλίγα δὲ κομιδῇ καὶ τοῦ*

13. *ἀνηνύτοις* E. *ἀνηνύτως* Ed. 19. *ὅλος* E. *ὅλως* Ed. 20. *εἰσπεπεδηκότος* E.

δοθέντος αὐτῷ φροντίσας ἀξιώματος, καὶ ἀπαξαπλῶς εἰπεῖν, ἁπάντων ὁμοῦ τῶν αἰωνίων ἀγαθῶν τὸ μικρὸν οὕτω καὶ c εὐτελὲς προθεὶς ἀργύριον, καὶ πάγη καὶ λίνον διαβολικὸν εὑρίσκεται τῷ Χριστῷ, καὶ τῆς Ἰουδαίων ἀθεότητος πρωτοστάτης τε ἅμα καὶ συνεργός.

Ἔπεισι δέ μοι κἀκεῖνο πρὸς τούτοις οὐ μετρίως διαγελᾶν. ὄχλοι μὲν γὰρ οἱ τῷ προδότῃ συνθέοντες τὴν κατὰ Χριστοῦ μελετῶσιν ἔφοδον, φανοὺς δὲ καὶ δᾷδας ἀψάμενοι. παρῃτοῦντο γὰρ οἶμαι, κατά γε τὸ εἰκὸς, τὰ ὡς ἐν σκότῳ διαπταίσματα καὶ τὸ βόθροις ἀκουσίως ἐγκαταπηδᾶν· φιλεῖ γάρ πως ἐν σκότῳ τὰ τοιαῦτα συμβαίνειν. ἀλλ' ὢ τῆς ἀνοίας· d οὐχ ὁρῶσιν οἱ τάλανες ἐκ πολλῆς ἀμαθίας τῷ λίθῳ προσπταίοντες, περὶ οὗ φησιν ὁ Θεὸς καὶ Πατήρ "Ἰδοὺ τίθημι "ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου." Rom. ix. 33. καὶ οἱ μικρὸν ἔσθ' ὅτε καταφρίττοντες βόθρον, εἰς πηγὰς ἀβύσσου καὶ εἰς τὰ κατώτατα τῆς γῆς καταπηδῶντες οὐκ αἰσθάνονται, καὶ οἱ τὴν τῆς ἑσπέρας ἀχλὺν παραιτούμενοι, τῆς διηνεκοῦς καὶ ἀκαταλήκτου νυκτὸς οὐδένα ποιοῦνται λόγον. ἔμελλον γὰρ τῷ θείῳ φωτὶ δυσσεβῶς ἐπιβουλεύσαντες, τουτέστι Χριστῷ, περιπατεῖν ἐν σκότῳ καὶ ἀωρίᾳ, κατὰ τὴν τοῦ e Es. lix. 9. προφήτου φωνήν· καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ἐξώτερον κατοιχήσεσθαι σκότος, ἐκεῖ τῆς εἰς Χριστὸν ἀσεβείας ἀποτίσοντες τοὺς λόγους, καὶ πικρᾷ καὶ ἀτελευτήτῳ παραδοθησόμενοι κρίσει.

Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξῆλθε καὶ 4
λέγει αὐτοῖς Τίνα ζητεῖτε; ἀπεκρίθησαν αὐτῷ Ἰησοῦν τὸν 5
Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ a 1013 A.
Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. ὡς οὖν εἶπεν αὐτοῖς 6
Ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί.

Διὰ νυκτὸς ὁ προδότης τοὺς τῶν Ἰουδαίων ὑπηρέτας ὁμοῦ

2. πάντων Migne. 8. δὲ om. E. 16. ἐσθάνονται E. 23. ἀποτάσοντες (sic) E.

τῇ σπείρᾳ διακομίζων ἐφίκετο. καὶ γάρ τοι καθάπερ ἔφαμεν (Supra 1011 e.) ἀρτίως, ᾤετο μὲν ὅτι καὶ οὐχ ἑκόντα λήψεται, τῇ τῶν ἑπομένων πολυχειρίᾳ καταθαρσήσας· εὑρήσει γεμὴν ἐμφιλοχωροῦντα τοῖς συνήθεσι τόποις, οὔπω τῆς ἡμέρας ἀνείσης b τὴν ἑτέρωσέ ποι πρόοδον, ἐνιζανούσης δὲ ὥσπερ τοῖς καταλύμασιν ἔτι τὸν Κύριον τῆς νυκτός. ἵνα τοίνυν αὐτὸν καθ' ἑκάτερον ἀνθρωπίνως διεσκεμμένον ἐλέγξῃ Χριστὸς, ἑωλά τε πεφρονηκότα κἀν τούτῳ πάλιν, φθάνει μὲν αὐτὸς τῆς ἐφόδου τὴν ἀρχὴν, ἔξεισι δὲ καὶ μάλα προθύμως ὑπαντήσων αὐτοῖς, ὅτι μήτε ἠγνόει τὸ τολμώμενον διὰ τούτου δεικνὺς, καὶ ὅτι λαθεῖν τε ἅμα καὶ διαδρᾶναι προεγνωκότι ῥᾷον, αὐτόκλητος ἴησιν ἐπὶ τὸ πάθος, οὐκ ἐκ τῆς τινῶν πλεονεξίας ἀνεθελήτῳ κινδύνῳ περιπεσὼν, ἵνα μήτε γελῶσιν οἱ παρ' (Cf. 1 Cor. i. 23.) Ἕλλησι σοφοὶ, σκάνδαλόν τε καὶ κατηγόρημα τῆς ἑαυτῶν c ἐλαφρίας ποιούμενοι τὸν σταυρὸν, μήτε μὴν ὁ κυριοκτόνος Ἰουδαῖος ὑψηλὴν ἀνασπάσῃ κατὰ Χριστοῦ τὴν ὀφρὺν, κατισχῦσαι νομίζων καὶ οὐχ ἑκόντος αὐτοῦ. διαπυνθάνεται δὲ τῶν ἡκόντων ἐπὶ τὴν σύλληψιν, τίνα δὴ ἄρα διερευνώμενοι πάρεισιν, οὐκ ἀγνοήσας· πόθεν; ἀλλ' ἵνα τοὺς διὰ τοῦτο παρόντας καὶ θεωμένους αὐτὸν καὶ διὰ τούτου πάλιν ἐλέγξας οὐδ' ὅσον ἐπιγιγνώσκειν ἰσχύοντας τὸν ζητούμενον, ἡμᾶς βεβαιώσῃ πρὸς τὸ φρονεῖν ὀρθῶς, ὡς οὐκ ἂν ἥλω ποτὲ, μὴ οὐχὶ τοῖς ζητοῦσιν αὐτὸν ἐθελοντὴς προσιών. ἄθρει γὰρ ὅπως αὐτοῦ διαῤῥήδην τό Τίνα ζητεῖτε λέγοντος, d οὐκ ἐπήγαγον εὐθὺς, ὅτι σὲ συλληψόμενοι τὸν λαλοῦντα πάρεσμεν, ἀλλ' ὡς περί τινος τῶν οὔπω παρόντων μήτε μὴν ὁρωμένων, Ἰησοῦν φασι τὸν Ναζωραῖον.

Ἀλλ' ἦν τινας ἴσως εἰκὸς πρὸς τοῦτο εἰπεῖν Ἠγνόει τυχὸν ὁ στρατιώτης, συνηγνοήκασι δὲ καὶ οἱ τῶν Ἰουδαίων ὑπηρέται τὸν Ἰησοῦν. πρὸς δὴ τοῦτό φαμεν, ὅτι μάλιστα μὲν οὐκ εὐλόγως τις ἡμῖν τὸ τοιοῦτον ἐρεῖ. πῶς γὰρ ἂν ἠγνόησαν οἱ τῶν ἱερᾶσθαι κεκληρωμένων ὑπὸ χεῖρα διὰ παντὸς

7. ἑκάτερον E. ἕτερον Ed. 20. θεωμένους E. θεωρουμένους Ed.
21. ἐπιγιγνώσκειν E. ἐπιγινώσκειν Ed. 23. ἐθελοντὶς E.

τὸν “ἐν τῷ ἱερῷ καθ᾽ ἡμέραν” διδάσκοντα, κατὰ τὴν αὐτοῦ S. Matth. xxvi. 55. τοῦ Σωτῆρος φωνήν; πλὴν ἵνα μηδὲ τοῖς τοιούτοις τινὲς ἐπιθαρσήσαντες λόγοις, ἔξω που τοῦ πρέποντος ἔρχωνται λογισμοῦ, προαναβλέψας ὁ θεσπέσιος Εὐαγγελιστὴς προστέθεικεν ἀναγκαίως, ὅτι σὺν τοῖς στρατιώταις καὶ τοῖς a 1014 A. ὑπηρέταις εἱστήκει καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτόν. εἶτα πῶς ἠγνόησεν ἂν ὁ προδότης τὸν Κύριον; ἀλλ᾽ ἐρεῖς δὴ πάλιν, ὅτι νὺξ ἦν καὶ σκότος, καὶ οὐκ ἦν ἑτοίμως ἰδεῖν τὸν ζητούμενον. εἶτα πῶς οὐκ ἀξιάγαστος ὁ τοῦ βιβλίου συγγραφεὺς, ἀπρονόητον οὐκ ἀφεὶς οὐδὲ τὸ οὕτω μικρόν; εἴρηκε γὰρ ὅτι φανοὺς καὶ δᾳδας ἀψάμενοι τῷ κήπῳ προσέβαλον. λελυμένης τοιγαροῦν καὶ τῆς ἐπὶ τούτοις εὑρεσιλογίας, τὸ θεοπρεπὲς ἀξίωμα διαφαίνεται τοῦ Χριστοῦ, ἑαυτὸν μὲν τοῖς ζητοῦσι προσάγοντος, μὴ μὴν ἔτι καὶ ἐπιγινωσκομένου. ἵνα b γὰρ τοῦτο παθόντας ἐλέγξῃ, τὸ μὴ δύνασθαί φημι διαγινώσκειν αὐτὸν, τό Ἐγώ εἰμί φησιν ἐναργῶς. ἀλλ᾽ ἵνα πρὸς τούτῳ καὶ τὸ τῆς πολυχειρίας ἕωλον ἀποφήνῃ, καὶ τὴν παντὸς ἀνθρώπου δύναμιν οὐδὲν οὖσαν παντελῶς, ὡς πρὸς τὴν ἄῤῥητόν τε καὶ θείαν ἰσχὺν, πρᾴῳ τε καὶ ἡμέρῳ λόγῳ προσδιαλεχθεὶς, καταστρώννυσιν εἰς γῆν τῶν ζητούντων τὸν ὄχλον, ἵν᾽ ἐκεῖνο μάθωμεν, ὅτι τῶν γενητῶν ἡ φύσις ἀφορήτως ἔχουσα καὶ πρὸς ἕνα τοῦ Θεοῦ λόγον, καὶ τοῦτο φιλάν- c θρωπον, πῶς ἂν διοίσῃ τὴν ἀπειλὴν, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον “Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς Ps. lxxv. 8. “ὀργῆς σου;” σημεῖον δὲ ὥσπερ τῆς καθόλου νοουμένης τοῦ ἔθνους καταπτώσεως, οἰκονομεῖται τὸ μερικὸν καὶ τὸ τοῖς ἐπὶ τὴν σύλληψιν ἐλθοῦσι συμβεβηκός. καὶ γοῦν Ἰουδαίους ὁ προφήτης Ἱερεμίας κατολοφύρεται λέγων “Οἶκος Ἰσραὴλ Amos v. 1, 2. “ἔπεσεν, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτόν.” εἴη δ᾽ ἂν καὶ εἰκὼν ἀναγκαίου πράγματος τὸ συμβεβηκός. διδάσκει γὰρ d ὅτι παντὶ τῷ πονηρεύεσθαι κατὰ Χριστοῦ μελετήσαντι πάντῃ τε καὶ πάντως ἀποκείσεται τὸ πεσεῖν.

15. παθόντας ἐλέγξῃ assumptum ex E. 29. αὐτόν om. Catt.
31. μελετήσαντες E. 32. ἀποκείσεται Catt. κείσεται Ed.

7 Πάλιν οὖν ἐπηρώτησεν αὐτούς Τίνα ζητεῖτε; οἱ δὲ εἶπον Ἰησοῦν
8 τὸν Ναζωραῖον. ἀπεκρίθη Ἰησοῦς Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι·
9 εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. ἵνα πληρωθῇ ὁ
λόγος ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν
οὐδένα.

e *Ἐρωτᾷ μὲν εἰς δεύτερον οἰκονομικῶς, ἵνα τῆς ἐντεθείσης αὐτοῖς κατὰ νοῦν πωρώσεως ἀποφήνῃ τὸ μέγεθος. παρῃρημένοι γὰρ ὥσπερ τοῦ νοῦ τὴν ἀκρίβειαν, καὶ τὰς φρένας παρακεκομμένοι διὰ τὴν ἀσέβειαν, αὐτῷ προσλαλοῦντες ἠγνόουν τῷ παρ' αὐτῶν ζητουμένῳ. πλὴν ὅπερ ἔφη Χριστὸς* Supra x. 11. *ἀληθὲς ὑπάρχον καὶ αὐτοῖς ἡμῖν ἀποφαίνει πράγμασιν· "Ἐγὼ " γάρ εἰμι, φησὶν, ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν " ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων." προασπίζει* 1015 A. a *τοιγαροῦν τῆς τῶν ἀποστόλων σωτηρίας ὁ Κύριος, καὶ προκινδυνεύων αὐτόμολος εἰς αὐτοὺς πάρεισι τοὺς οἵπερ ἧκον ἀποκομίζειν ἐπὶ τὸ πάθος, ἐσταλμένοι δὲ δηλονότι παρά τε τῶν ἀρχιερέων καὶ Φαρισαίων. ὡς οὖν ἐρωτήσαντι τὸ τίνα παρεῖεν ἂν ἐναπολῃψόμενοί τε καὶ τοῖς τοῦ θανάτου περιδήσοντες βρόχοις,* Ἰησοῦν ἔφασαν τὸν Ναζωραῖον, *ἑαυτὸν ἐπιδείξας καὶ μονονουχὶ τῆς νωθείας αἰτιασάμενος, ἀπάγειν ἐκέλευσεν ἀνέντας τοὺς ἄλλους. ἕνα γὰρ ἐχρῆν ὑπὲρ πάντων* Rom. xiv. 9. *ἀποθανεῖν, τὸν τῆς ἁπάντων ζωῆς ἀντάξιον, "ἵνα καὶ νεκρῶν " καὶ ζώντων κυριεύσῃ."*

Ἦν γὰρ καὶ ἑτέρως ἀπίθανον κομιδῇ τὸ νομίζεσθαι παρά τισι καὶ αὐτὸν τῶν ἁγίων ἀποστόλων τὸν θάνατον b *ἐπὶ καταλύσει πεπρᾶχθαι θανάτου καὶ φθορᾶς, ὅτε καὶ αὐτοὶ τοῖς ἐκ θανάτου καὶ φθορᾶς ἠλευθερωμένοις ἐναριθμηθεῖεν ἂν καὶ μάλα εἰκότως, μίαν ὡς πρὸς ἡμᾶς λαχόντες τὴν φύσιν, καθ' ὧν καὶ τὸ τοῦ θανάτου τετυράννηκε κράτος. μόνον οὖν ἄρα καὶ πρῶτον ἐχρῆν τὸν ἐκ τοῦ ζῶντος ὄντα Πατρὸς, τῆς ἁπάντων ζωῆς ἀντίλυτρον τὸ ἴδιον τῷ*

18. *ἐναπολῃψόμενοί* E. *ἀπολῃψόμενοι* Ed. 25. *τὸν* pro *τῶν* E.

θανάτῳ παραδοῦναι σῶμα, ἵνα καὶ ἀκολουθήσαν τῇ τοῦ ἑνωθέντος αὐτῷ Λόγου ζωῇ, τῇ τῶν σωμάτων ὁδοποιήσῃ φύσει τὸ δύνασθαι λοιπὸν καὶ τῶν τοῦ θανάτου κατανεανιεύεσθαι βρόχων. ἀπαρχὴ γὰρ τῶν κεκοιμημένων ὁ Κύριος c (1 Cor. xv. 20.) καὶ πρωτότοκος ἐκ νεκρῶν, λειοτάτην ὥσπερ τοῖς μεθ' ἑαυτὸν ἀποτελῶν διὰ τῆς ἰδίας ἀναστάσεως τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν. ὑπεξάγει τοιγαροῦν τοῦ παραυτίκα κινδύνου τοὺς μαθητὰς, αὐτῷ δὴ πρέπειν τότε μάλιστα τὸν ἆθλον εἰδὼς, καὶ οὐχ ἑτέρου τινὸς ἔργον τὴν τῶν καθ' ἡμᾶς ἐπανόρθωσιν ἀποφαίνων, ἀλλ' αὐτῆς καὶ μόνης τῆς τῶν ὅλων βασιλευούσης οὐσίας.

Περιτρέπει γεμὴν ὁ σοφὸς Εὐαγγελιστὴς εἰς ἀπόδειξιν ἐναργῆ τῆς οἱονεὶ καθόλου καὶ γενικωτάτης ἐσομένης φειδοῦς εἰς τοὺς προσιόντας αὐτῷ διὰ πίστεως τὸ μερικῶς τε καὶ ἰδικῶς εἰς τοὺς συνόντας αὐτῷ τὸ τηνικαῦτα γεγενημένον. d παρηγγύησε γὰρ, φησὶν, ἀφεῖναι τοὺς μαθητὰς, ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι οὓς ἔδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. ὅτι γὰρ καὶ τῶν μετὰ ταῦτα φείσεται, πῶς ἀμφίβολον; τὸ γὰρ ἐν ὀλίγοις οὐ ῥᾳθυμηθὲν, πῶς ἂν καταφρονηθείη τυχὸν ἐν πλείοσι; καὶ ὁ φειδὼ τοσαύτην πεποιημένος εἰς εὐαριθμήτους κομιδῇ, πῶς ἂν ἀλογῆσαι καὶ τῶν ὑπὲρ φύσιν τὴν ἀριθμοῦ; πολλοὶ γὰρ λίαν οἱ πεπιστευκότες. εἰς εἰκόνα τοίνυν τοῦ γενικωτάτου δέχου τὸ μερικὸν, καὶ δι' ὧν οὐ βούλεται κινδυνεύειν ὅλως τοὺς ἑαυτοῦ γνωρίμους, ποία τις ἔσται καὶ πόση κατὰ τῶν αὐτὸν ἀποκτεινάντων ὀργὴ, περιαθρῆσαι ῥᾷον. ὃ γὰρ ἀνεθέλητον ἔχει, πῶς οὐχὶ πάντως μισεῖ; τοὺς δὲ τῶν παρ' αὐτοῦ μισουμένων a 1016 A. ἐργάτας ὅτι πικρά τις καὶ ἀτελεύτητος ἐκδέξεται κρίσις, πῶς ἂν εἴη λοιπὸν ἢ πόθεν ἀμφίβολον;

2. τῶν assumptum ex E.

10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.

Εἶτα τί τὸ ἀναγκάζον, ἐρεῖ τις τυχὸν, τὸν θεσπέσιον Εὐαγγελιστὴν μεμνῆσθαι καὶ τούτων, ὡς καὶ μαχαίρᾳ παρά γε τὸ εἰωθὸς κεχρημένον ἐπιδεῖξαι τὸν μαθητὴν κατὰ τῶν
b *ἡκόντων εἰς σύλληψιν τοῦ Χριστοῦ, θερμότερόν τε καὶ ἀπηνέστερον ἤπερ ἔδει κεκινημένον, ἐπί τε τούτοις αὐτῷ καὶ ἐπιτιμῶντα Χριστόν. καὶ περιττὴ μὲν ἴσως φανεῖταί τισιν ἡ τούτων ἐξήγησις, ἔχει δὲ οὐχ οὕτως. οὐ γὰρ τῆς τυχούσης ἡμῖν ὠφελείας εἰσκεκόμικεν ἡμῖν ὑπογραμμόν. εἰσόμεθα γὰρ διὰ τοῦ γεγονότος, μέχρι μὲν τίνος ἀκατηγορήτως πρόεισι τῆς εἰς Χριστὸν εὐσεβείας ὁ ζῆλος, τί δὲ δὴ δρᾶν ἐθέλοντες ἐν τοῖς τοιούτοις ἀγῶσιν, οὐκ ἄν τι προσπταίσαιμεν τῶν ἐφ᾽ οἷς λυπεῖται Θεός. οὐ γὰρ δὴ σίδηρον ἀνα-*
c *τείνειν, ἢ λίθους ἐξαίρειν κατά τινων, ἤγουν ξύλῳ παίοντας τοὺς δι᾽ ἐναντίας, τῇ εἰς Χριστὸν εὐσεβείᾳ συναθλεῖν ὁ τοῦ*
2 Cor. x. 4. *πράγματος ἡμᾶς ἐφίησι τύπος· τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, κατὰ τὴν τοῦ Παύλου φωνήν· ἀλλ᾽ ἠπιότητι μᾶλλον καὶ τοῖς φονῶσι προσφέρεσθαι, ὅταν ἡμῖν τὸ διαφεύγειν αὐτοὺς ἀποκλείωσιν οἱ καιροί. πολὺ γὰρ δή τι τὸ ἄμεινον, ὑπὲρ τῶν εἰς ἡμᾶς ἀδικημάτων ἑτέρους εὐθύνεσθαι*
Cf. 1 S. Pet. ii. 23. *παρὰ τοῦ τὰ δίκαια κρίνοντος, ἤπερ οὖν ἡμᾶς αὐτοὺς τὸν ἐφ᾽ αἵμασιν ἐξαιτεῖσθαι λόγον, πρόφασιν ποιουμένους τὴν εὐσέβειαν. φαίη δ᾽ ἄν τις καὶ ἑτέρως εἶναι τῶν ἀτοπωτάτων,*
d *τῷ τῶν διωκόντων θανάτῳ τιμᾶν τὸν ἐπὶ θανάτου λύσει καὶ αὐτὸν ἡδέως παθόντα τὸν θάνατον. καὶ αὐτῷ δέ πως ἦν ἀναγκαίως ἕπεσθαι κατὰ τοῦτο Χριστῷ. εἰ μὲν γὰρ ἐκαλεῖτο πρὸς θάνατον, ὡς ἐξ ἀνάγκης καὶ βίας, ὡς οὐκ ἔχων ἀνατρέπειν ἐξ ἰδίας ἰσχύος ἀπλεονέκτητον οὖσαν διὰ πληθὺν*

9. *γρ.* Χριστῷ Ed. mg. Χριστὸν habet F. 15. ἀνατίνειν E.
23. κρίνοντα E.

τῶν ὑπηρετῶν τὴν ἔφοδον, ἣν ἂν ἴσως οὐδὲν ἀπεικὸς τοὺς ἀγαπᾶν ἑλομένους αὐτὸν παντὶ λοιπὸν ἐπαμύνειν σθένει καὶ διὰ παντὸς ἰέναι τολμήματος, ἵνα δὴ καὶ ἐκσώσειαν τὸν ἐκ τῆς τινῶν δυσσεβείας ἀβουλήτως κινδυνεύοντα. ἐπειδὴ δὲ Θεὸς ὑπάρχων ἀληθινὸς, ἄρδην τε τοὺς ἐπιόντας ἀπολέσαι δυνάμενος καὶ παρ' αὐτὰς, ὡς ἔπος εἰπεῖν, τοῦ ἀγῶνος τὰς ἀπαρχὰς, τοσαύτης αὐτοὺς καταγεύσας ἰσχύος, ὡς ἑνὶ καὶ πράῳ καταστρῶσαι λόγῳ· ἔπεσον γὰρ πάντες εἰς τὰ ὀπίσω· Supra ver. 6. πῶς ἡμᾶς ἐχρῆν ἀχαλίνοις ὥσπερ καὶ ἀταμιεύτοις ὀργαῖς a 1017 A. χωρεῖν ἐπ' ἐκεῖνα βούλεσθαι προαλέστερον, ἅπερ αὐτὸς οὐκ ἔδρα, καίτοι σφόδρα ῥᾳδίως δυνάμενος; ἔχομεν δέ τι τοιοῦτον καὶ ἑτέρωθί που γεγραμμένον παρὰ τοῖς ἁγίοις εὐαγγελισταῖς. ἧκε μὲν γάρ ποτε καταλύσων ὁ Κύριος εἴς τινα τῶν ὁμόρων τῇ Ἰουδαίᾳ κώμην· ἦν δὲ αὕτη Σαμαρειτῶν· οἱ δὲ προσιόντα σκληρῶς ἀπετρέποντο. καὶ δὴ πρὸς τοῦτο δηχθέντες οἱ μαθηταὶ προσῄεσάν τε καὶ ἔφασκον "Κύριε, S. Luc. ix. 54. "θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπ' οὐρανοῦ καὶ ἀναλῶσαι "αὐτούς;" πρὸς αὐτοὺς δὲ πάλιν ὁ Σωτὴρ, ἄφετε αὐτούς· b ἢ οὐκ οἴδατε ὅτι "δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, S. Matth. xxvi. 53. "καὶ παραστήσει μοι ἄρτι δώδεκα λεγεῶνας ἀγγέλων;" οὐ γὰρ ἧκεν ὡς Θεὸς τῇ ἰδίᾳ καὶ ἐμφύτῳ δυνάμει χρησόμενος κατὰ τῶν ἐμπαροινούντων αὐτῷ, μᾶλλον δὲ τῆς εἰς ἄκρον ἡμῖν ἀνεξικακίας γενέσθαι διδάσκαλος, ἀοργησίας τε τῆς ἁπασῶν ἀνωτάτω καταστῆναι τύπος. διὸ καὶ ἔλεγε "Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ." Ib. xi. 29.

Ὁ μὲν οὖν τοῦ Πέτρου σκοπὸς τὴν μάχαιραν ἀνατείνοντος κατὰ τῶν δι' ἐναντίας, οὐκ ἔξω φέρεται νομικῆς ἐντολῆς. πόδα c Exod. xxi. 24, 25. γὰρ ἀντὶ ποδὸς καὶ χεῖρα ἀντὶ χειρὸς καὶ τραῦμα ἀντὶ τραύματος καὶ μώλωπα ἀντὶ μωλώπων ἀντεπάγειν ἀνεγκλήτως τοῖς ἀδικοῦσιν ἐκέλευε. τί δὲ δράσοντες ἕτερον ἧκον οἱ μαχαίραις

5. ἀπολέσαι E. Migne. ἀπωλέσαι Aub. 11. δέ om. E. 14. τῇ] τὴν E. 17. εἴπωμεν E. Migne. εἴπομεν Aub. ἀπ' E. ἀπὸ Ed. 29. μωλώπων E. μώλωπος Ed. Verba desunt in Cord. 30. δὲ] + δὴ Cord. μαχαίρες E.

ὡπλισμένοι καὶ ξύλοις, καὶ ὅπλοις ἐνηρμοσμένοι, καὶ συνει-
λεγμένοι κατὰ πληθὺν, ἢ πάντως ἐκεῖνα τὰ δι᾽ ὧν ἦν εἰκὸς
περὶ τῶν ἐσχάτων κινδυνεῦσαι τοὺς μαθητάς; ὅτι γὰρ καὶ
ξύλα καὶ μαχαίρας ἐπεκομίζοντο, σαφὲς ἡμῖν κατέστησεν ὁ
S.Matth. xxvi. 55. Σωτὴρ, ἑτέρωθί που πρὸς αὐτοὺς εἰρηκώς "Ὡς ἐπὶ λῃστὴν
"ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ᾽
d "ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων καὶ οὐκ ἐκρατή-
"σατέ με." νομικὸν οὖν ἄρα τοῦ Πέτρου τὸ κίνημα καὶ τοῖς
ἀρχαίοις οὐκ ἀπᾷδον θεσμοῖς· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ὁ
Χριστὸς ἐπείπερ ἀφῖκτο τὰ ὑπὲρ νόμον εἰσηγησόμενος, καὶ
ἀναμορφώσων ἡμᾶς εἰς ἡμερότητα τὴν καθ᾽ ἑαυτὸν, τοῖς
κατὰ νόμον ἐπιτιμᾷ κινήμασιν, ὡς οὐκ ἔχουσι τελείαν τοῦ
κατὰ ἀλήθειαν ἀγαθοῦ τὴν κατόρθωσιν. οὐ γὰρ ἐν ταῖς τῶν
ἴσων ἀντεπαγωγαῖς τὸ τελείως ἐστὶν ἀγαθὸν, ἀνεξικακίαις
δὲ μᾶλλον ταῖς ἀνωτάτω διαφαίνεται.

Ἐνδοιάσειε δέ τις καὶ μετὰ ταῦτα τυχὸν, ἐρεῖ δὲ καθ᾽
ἑαυτόν Εἶτα πόθεν τῷ Πέτρῳ μάχαιρα; ἐροῦμεν δὲ πάλιν,
ὅτι μάλιστα μὲν τὸ ἀμύνεσθαι δεῖν κατὰ νόμον τοὺς ἀδικεῖν
ᾐρημένους εἰσκεκόμικέ πως καὶ τὴν τοῦ σιδήρου χρείαν. τί
γὰρ εἰ σιδήρῳ τις πλήττειν ἤθελε τοὺς οὐδὲν ἀδικήσαντας,
πῶς ἂν τῶν ἴσων ἦλθεν εἰς πεῖραν; πλὴν εἰκὸς, ἅτε δὴ καὶ
1018 A. a διὰ μέσης νυκτὸς τῶν καταλυμάτων ἐκθεόντας τοὺς ἁγίους
ἀποστόλους, ὕλαις τε καὶ κήποις ἐμβαλεῖν προσδοκήσαντας,
καὶ θηρίων ἀγρίων ἔφοδον ὑποβλέπεσθαι· θηρίων δὲ ἦν ὅτι
μάλιστα τροφὸς τῶν Ἰουδαίων ἡ χώρα. ὅταν δὲ καὶ πρὸς
τοῦτο λέγῃς Εἶτα τί μαχαίρας ἔδει τοῖς μαθηταῖς; οὐ γὰρ
ἂν ἐξήρκεσεν κινδυνεύουσιν ὁ Χριστὸς, ὥστε δηλονότι καὶ
θῆρας ἀποσοβεῖν, καὶ τὸν ἐντεῦθεν αὐτοῖς ἐξελάσαι φόβον;
ναὶ δὴ καὶ τοῦτο, φαμὲν, ἄριστά τις ἐρεῖ, δυνατὸς γὰρ εἰς
ἅπαντα Χριστός· πλὴν εὑρήσομεν, ὅτι καὶ ἕτερα κατορθοῦν
b ἰσχύοντος τοῦ Χριστοῦ, ταῖς καθ᾽ ἡμᾶς συνηθείαις διέζων οἱ

1. ἐνηρμοσμένοις E. 14. ἀγαθὸν] + ἐν Catt. 16. ἐνδοιάσειε E. ἐνδοιάσει Ed. 27. κινδυνεύουσιν assumptum ex a.'

μαθηταί· ἢ γὰρ οὐχὶ δώσομεν καὶ ἄρτους ἐκ λίθων ἀποτελεῖν δύνασθαι τὸν Χριστὸν, καὶ ἐκ τοῦ μηδενὸς ἀναδεικνύειν ἀργύριον, τὸ πρὸς δαπάνην αὐτοῖς ἀρκέσαι δυνάμενον; ἀλλὰ καὶ ἄρτους ἐπεκομίζοντο, καὶ γλωσσόκομον ἐπεφέροντο, τὰ παρὰ τῶν προσφερόντων συλλέγοντες. διαπλεῦσαι δέ ποτε σὺν αὐτοῖς ἐθελήσαντος τοῦ Χριστοῦ, συνεισέβησαν εἰς πλοῖον, καίτοι καὶ βαδίσαι δι' αὐτῶν ὑδάτων ἐξὸν, εἴπερ ἤθελε καὶ τοῦτο Χριστός. εἰκαῖον οὖν ἄρα τὸ ἐπισκήπ- c *τειν ταῖς κατὰ ἄνθρωπον ἀκολουθίαις, εἴ που τις βλέποι κεχρημένους τοὺς μαθητάς.*

Ἀποκόπτει δὲ ὁ Πέτρος τὸ δεξιὸν τοῦ παιδὸς ὠτάριον, ἀκοῆς ὥσπερ ἐρήμους τῆς δεξιᾶς τοὺς τῶν Ἰουδαίων λαοὺς, ὡς ἐν τύπῳ συμβεβηκότι δεικνύντος τοῦ πράγματος. οὐ γὰρ ἠθέλησαν συνιέναι τὰ διὰ Χριστοῦ. ὑπακοὴν δὲ τετιμήκασι τὴν εὐώνυμον, μόναις ταῖς σφῶν ἀπονοίαις καταπειθόμενοι, "πλανῶντές τε καὶ πλανώμενοι" κατὰ τὸ γεγραμμένον, d 2 Tim. iii. 13. *ἐπεί τοι καὶ τὸν πάλαι διορισθέντα πατοῦντες νόμον ἐτράποντο πρὸς "διδασκαλίας ἐντάλματα ἀνθρώπων."* S.Matth. xv. 9.

Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ Βάλε τὴν μάχαιράν σου εἰς τὴν 11 θήκην αὐτῆς· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ Πατὴρ οὐ μὴ πίω αὐτό;

Πολιτείας μὲν εὐαγγελικῆς ὠδίνει θεσμὸν τὸ παράγγελμα καὶ δύναμιν ἐντολῆς, οὐ τῆς κατὰ νόμον τὸν διὰ Μωυσέως e *τοῖς ἀρχαιοτέροις λελαλημένης, ἀλλὰ τῆς διὰ Χριστοῦ τεθειμένης, ἣ καὶ τοσοῦτον ἀπείργει τοῦ χρῆσθαι μαχαίραις, μᾶλλον δὲ καὶ τὸ ἀνταμύνεσθαι δεῖν, ὡς εἰ καί τις βούλοιτο ῥαπίζειν ἡμᾶς εἰς τὴν τῶν σιαγόνων μίαν, καὶ δευτέραν εἰ* Ib. v. 39. *τύχοι προσαπαιτεῖν στρέφοντας καὶ τὴν ἄλλην, πρόῤῥιζον ὥσπερ τῆς ἑαυτῶν ψυχῆς τὴν ἀνθρωπίνην ἐκτέμνοντας ὀλιγοψυχίαν. πλὴν εἰ καὶ μήπω τις περὶ τοῦ χρῆναί φησιν*

3. *ἀρκέσαι αὐτοῖς* inverso ordine E. 9. *κατὰ* E. *κατ'* Ed. 24. *λελαλημένοις* (pro more) E. 25. *μαχαίρες* (ut supra) E.

1019 A. a ἀνεξικακεῖν παρ' ἐμοῦ διώρισται νόμος, λογισμοῦ τοῦ πρέποντος ὁ σὸς, ὦ Πέτρε, διέσφαλται νοῦς, καὶ τῇ τῶν πραγμάτων φύσει πολὺ δὴ λίαν ἀπῳδὸν ἐποιήσω τὸ ἐγχείρημα. δεδογμένου τε γὰρ καὶ συναρέσαντος τῷ Θεῷ καὶ Πατρὶ τοῦ πιεῖν τουτὶ τὸ ποτήριον ἐμὲ, τουτέστιν, ἐθελοντὶ ὑπομεῖναι τὸν ὥσπερ εἰς ὕπνον καροῦντα θάνατον, ἐπὶ καταλύσει θανάτου καὶ φθορᾶς, πῶς ὑπεκνεύειν ἀκόλουθον, καίτοι τοσαύτης b ἀγαθῶν ἰδέας ἀνίσχειν πεπιστευμένης τῷ τῶν ἀνθρώπων γένει διὰ τοῦ πιεῖν αὐτό; ὁ μὲν οὖν τῶν προκειμένων ἐν τούτοις εὖ μάλα περιορίζεται νοῦς· ἴσον δὲ τούτῳ ἐστὶν ἐκεῖνο πάλιν· ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, βεβαιοτέρους εἰς πίστιν ἀπεργάζεσθαι θέλων τοὺς ἑαυτοῦ μαθητὰς καὶ τὸ ἐπὶ τῷ τιμίῳ σταυρῷ προανατρέπων σκάνδαλον, ἔφη ποτὲ κατὰ μόνας αὐτοῖς προσδιαλεγόμενος (S.Matth. xx. 18, xxvi. 45, xvii. 23.) "Ἰδοὺ "ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου "παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν καὶ σταυρώσουσιν c "αὐτὸν, καὶ ἀποκτενοῦσι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται." Πέτρος δὲ ὁ θεσπέσιος, οὐ τὸ ἐκ τοῦ πάθους ἐννοήσας ἀγαθὸν, ἀποβλέψας δὲ εἰς μόνην τὴν ἐκ τοῦ παθεῖν ἀδοξίαν (Ib. xvi. 22.) "Ἵλεώς σοι Κύριε, φησὶν, οὐ μὴ ἔσται σοι τοῦτο." καὶ τί πρὸς τοῦτο Χριστός; (Ib. 23.) "Ὕπαγε ὀπίσω μου, σατανᾶ, σκάν- "δαλόν μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν "ἀνθρώπων." τοῦ μὲν γὰρ φρονεῖν ἐθέλοντος τὰ δοκοῦντα Θεῷ ἔργον ἂν εἴη καὶ σκοπὸς παρ' οὐδὲν μὲν ποιεῖσθαι τὰς d ἐν κόσμῳ τιμὰς, καὶ τῆς ἐν ἀνθρώποις εὐκλείας οὐδενὸς ἀξιῶσαι λόγου τὴν ζημίαν, ἔστ' ἂν διὰ τοῦ καὶ τοῦτο παθεῖν τὸ τοῖς ἑτέροις ἐξανύηται χρήσιμον· ἡ γὰρ ἀγάπη, φησὶν, (1 Cor. xiii. 5.) "οὐ ζητεῖ τὰ ἑαυτῆς·" τοῦ γεμὴν εἰς μόνα τετραμμένου τε καὶ βλέποντος τὰ ἀνθρώπινα, τὸ ἀφόρητον ἡγεῖσθαι τῶν ἐπὶ γῆς δοξαρίων τὴν ἀπώλειαν, καὶ εἰς μόνον ὁρᾶν τὸ ἴδιον ἀγαθὸν, τοῖς δὲ τοῦ πέλας μὴ ἐπαλγύνεσθαι κακοῖς. ὥσπερ τοίνυν ἐν ἐκείνοις σκάνδαλον ἐλέγετο τοῦ Χριστοῦ, καίτοι

5. ποτήριον] πότερον E. 6. καροῦντα E. κρατοῦντα Ed. 10. τοῦτο E.
17. ἀποκτενοῦσι] + αὐτὸν Ed. invito E. 19. τοῦ assumptum ex E.

σκανδαλίζεσθαι μὴ εἰδότος, λαλήσας μὲν ἐξ ἀγάπης τῆς οὐκ
ἀνεγκλήτως ἔχειν ἰσχυούσης ὁ Πέτρος, διὰ τὸ μόνον ἰδεῖν e
εἰς τὸ ἀπὸ τοῦ σταυροῦ πάθος, καὶ οὐχὶ τὰ ἐκ τοῦ πάθους
ἀγαθά· ἀνατρέπειν γὰρ ἐπειρᾶτο τὸ ὅσον ἐφ' ἑαυτῷ, τὸ δεδο-
γμένον τε καὶ ὁρισθὲν ὑπὲρ τῆς ἁπάντων γενέσθαι ζωῆς·
οὕτω κἀνθάδε διὰ ζήλου καὶ μαχαίρας καὶ θερμοῦ λίαν ἐγχει-
ρήματος τοῦτο αὐτὸ πράττων ὁρᾶται· πλὴν ἐπιτιμᾶται
πάλιν, οὐ μόνον ἀκούσας Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην
αὐτῆς, ἀλλ' ὡς ἕτερός τις ἔφη τῶν εὐαγγελιστῶν προστε-
θεικότος Χριστοῦ "Πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν S.Matth. xxvi. 52.
"μαχαίρᾳ ἀπολοῦνται." ὃ δὲ δὴ φθάσαντες εἴπομεν, ἀναλα- Supra 1016 d.
βόντες ἐροῦμεν, οὐκ ἀνεθελήτως τοῦ πάθους εἰσβαίνοντος, a 1020 A.
οὔτε μὴν ἐκ πλεονεξίας Ἰουδαϊκῆς ἐπενηνεγμένου, κατὰ τίνα
δὴ τρόπον ἀμύνεσθαι χρὴ καὶ ἀνείργειν ὅλως καὶ τοῦτο
μαχαίρᾳ τὸ κατὰ συγχώρησιν τῶν ἐπιόντων θράσος, καὶ τὰς
ἀνοσίους τῶν Ἰουδαίων ἐπιβουλάς; τὸν δὲ Πατέρα καὶ Θεὸν
δεδωκέναι φησὶ τὸ ποτήριον αὐτῷ, τουτέστι, τὸν θάνατον,
καίτοι διὰ τῆς τῶν Ἰουδαίων ἀφιλοθεΐας ἐξηρτυμένον, ἐπεί-
περ οὐδ' ἂν ὅλως συνέβη, μὴ οὐχὶ συμβῆναι δι' ἡμᾶς
ἐφέντος αὐτοῦ. τοιγάρτοι καὶ πρὸς αὐτὸν ἔφη Πιλάτον b
μεγαλοῤῥημονοῦντα Χριστός "Οὐκ εἶχες κατ' ἐμοῦ ἐξουσίαν Infra xix. 11.
"οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν." ἐν ἐξουσίας
γὰρ λόγῳ Πιλάτῳ γενέσθαι φησὶ τὴν εἰς τὸ χρῆναι παθεῖν
ἐθελούσιον ὁρμὴν τοῦ Υἱοῦ, καὶ τὴν ἄνωθεν καὶ παρὰ
Πατρὸς εἰς τοῦτο συναίνεσιν.

Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων 12
συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν, καὶ ἀπήγαγον πρὸς 13
Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς c
τοῦ ἐνιαυτοῦ ἐκείνου. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰου- 14
δαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ.

Συνεσταλμένων ἤδη τῶν παραποδισμάτων, ἀποτινάξαντός

20. ἐφέντος E. ἀφέντος Ed. 27. καὶ ἔδησαν αὐτὸν om. E.

τε τῆς ἑαυτοῦ χειρὸς τοῦ Πέτρου τὴν μάχαιραν, ὑποθέντος τε ὥσπερ ταῖς τῶν Ἰουδαίων χερσὶν ἑαυτὸν τοῦ Χριστοῦ, καίτοι μὴ παθεῖν ἐξὸν καὶ διαδρᾶναι ῥᾷον, ἀνημέρως ἤδη d φέρονται τοῖς θυμοῖς, καὶ εἰς ἄμαχον ὥσπερ ἀνακαίονται θράσος, οἵ τε στρατιῶται σὺν τῷ καθηγεῖσθαι λαχόντι καὶ οἱ σὺν αὐτοῖς ὑπηρέται. εἴκοντα δὲ ἤδη πρὸς πᾶν ὁτιοῦν αὐτοῖς ἑλόντες τὸν Κύριον, δεσμοῖς μὲν ἐντείνουσι, καίτοι διὰ τοῦτο πρὸς ἡμᾶς ἀφιγμένον, ἵνα δεσμῶν ἡμᾶς ἐξέληται διαβολικῶν, καὶ ἐκ τῶν τῆς ἁμαρτίας ἀπολύσῃ βρόχων. ἀποκομίζουσι δὲ πρὸς Ἄνναν, πενθερὸν ὄντα τοῦ Καϊάφα, ὅθεν πως ἡμῖν ἔπεισιν ἤδη νοεῖν, ὅτι τοῦ κατὰ Χριστὸν ἀνοσιουρ- e γήματος αὐτὸς ἦν ἄρα τεχνίτης καὶ διασκευαστὴς, παρ' αὐτοῦ τε κατὰ τὸ εἰκὸς μεμισθαρνηκότα τὸν προδότην τὴν συλληψομένην τὸν Χριστὸν ἐξαιτῆσαι πληθύν. αὐτῷ τοιγαροῦν ἀποκομίζεται πρώτῳ. ἐδόκει γὰρ τοῖς Ἰουδαίοις, καὶ αὐτοῖς ἡμῖν ἀποδεῖξαι πράγμασιν ἀληθὲς ὑπάρχον ἤδη καὶ παρὸν ὅπερ ἐφαίνοντο λέγοντες διὰ τῆς τοῦ προφήτου Es. iii. 10. φωνῆς "Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι." δύσχρηστος γὰρ ὄντως Ἰουδαίοις ἦν ὁ Χριστὸς, οὐχὶ τοιοῦτος ὑπάρχων αὐτὸς, ἀλλ' ἐπείπερ αὐτοῖς ἕξιν ἔχουσι τὴν 1021 A. a φιλαμαρτήμονα καὶ φιλήδονον, οὐδὲν ἐδόκει τῶν ἀρίστων εἰσφέρειν, τὴν ὑπὲρ νόμον δικαιοσύνην εἰσηγούμενος, καὶ τὸ δοκοῦν ὄντως τῷ φιλαρέτῳ Θεῷ περιστολῆς τινος δίχα παρατιθεὶς εἰς ἐπίγνωσιν, οὐ τοιαύτην ἔχοντος τοῦ νόμου τὴν ὁδὸν, διὰ σκιᾶς δὲ μᾶλλον καὶ αἰνιγμάτων πλαγίως καὶ μόλις τὸ πεφυκὸς ὠφελεῖν τοῖς ἀκροωμένοις παρασημαίνοντος. ὅνπερ οὖν τρόπον τοῖς μὲν οὖν τὴν ὄψιν λελωβημένοις δύσχρηστόν πως ἐστὶ τοῦ ἡλίου τὸ φῶς, οὐδεμίαν αὐτοῖς ἐμποιοῦν τὴν ὄνησιν, παραποδιζούσης εἰς τοῦτο τῆς νόσου, τοῖς δὲ τὴν ἕξιν κεκακωμένοις τὰ τῶν ἐδεσμάτων ὑγιεινὰ δυσχρηστότερά πως τῶν ἑτέρων εἶναι δοκεῖ, καίτοι προξενεῖν

7. ἐντείνουσι E. ἐκτείνουσι Ed. 24. τοιαῦτα E. 30. δὲ τὴν om. E. κεκακωμένοις] καὶ κακωμένοις E.

εἰδότα τὴν τριπόθητον ὑγίειαν· οὕτω καὶ τοῖς Ἰουδαίοις ὁ b Κύριος δύσχρηστός τις ἐδόκει, καίτοι τῆς σωτηρίας ὑπάρχων πρύτανις. οὐ γὰρ ἦν αὐτοῖς τὸ σώζεσθαι φίλον.

Ἀπέστειλαν δὲ αὐτὸν δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα. ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. τεθήρευται μὲν οὖν διὰ τῆς Ἄννα δυστεχνίας, καὶ τῆς ὑπουργίας τῶν εἰς τοῦτο μεμισθωμένων, τὸ ἱερόν τε καὶ ἅγιον θῦμα, τουτέστι Χριστὸς, ἀρκύων δὲ εἴσω κατειλημμένος, ἐπὶ τὸν τῆς ἀδίκου c σφαγῆς ἄγεται πρόξενον, ἤτοι καθηγητήν· Καϊάφας δὲ οὗτος ἦν, καίτοι τῇ τῆς ἱερωσύνης κατεστεμμένος χάριτι. καὶ λόγῳ μὲν φαίνεται κατάρξας αὐτὸς τῆς μιαιφονίας, ἀπαρχὴ δὲ καὶ αὐτοῦ λοιπὸν ἁλοὺς τοῦ τολμήματος. δέχεται γὰρ δεδεμένον τὸν Ἰησοῦν, καὶ καρπὸν ὥσπερ τινὰ τῆς ἑαυτοῦ συμβουλῆς καὶ τῶν ἀνοσίων σκεμμάτων ὁ δείλαιος ἐποιήσατο τὸ πάντων ὅτι μάλιστα τῶν κακῶν ἀνοσιώτατον δρᾶμα. τί γὰρ ἂν γένοιτο τῆς ἐπὶ Χριστῷ δυσσεβείας τὸ δυσαχθέστερον;

d

Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής. 15

Κατεπτοημένων, ὡς φαίνεται, τῶν ἑτέρων μαθητῶν καὶ τὴν παραυτίκα τῶν φονώντων διαδιδρασκόντων ὀργὴν, τῆς εἰς Χριστὸν ἀγάπης ὁ Πέτρος ἐξέχεται, θερμοτέροις ἀεὶ κινήμασι πρὸς τοῦτο βαδίζων καὶ ῥιψοκινδύνως ἀκολουθεῖ, καὶ τὸ τῶν ἐκβησομένων κατασκέπτεται πέρας, συνθέοντός τε αὐτῷ καὶ διὰ τῆς ἴσης εὐτολμίας εἰς ὁμοίαν ἀναβαίνοντος ἕξιν τοῦ ἑτέρου μαθητοῦ· Ἰωάννης δὲ οὗτος ἦν, ὁ τοῦδε τοῦ θείου συγγράμματος θεοφιλὴς ὄντως δημιουργός. ἑαυτὸν γὰρ εἶναί φησι τὸν ἕτερον μαθητὴν, ὀνομάζει δὲ οὐκ ἐναργῶς, φιλοκομπίας ὑπόληψιν παραιτούμενος, καὶ τὸ δοκεῖν εἶναι τῶν ἄλλων ἐν ἀμείνοσι, τῶν ἰδίων ἐνθυμημάτων ὡς πόῤῥω- a 1022 A.

7. τῆς] + τοῦ Ed. invito E. 8. μεμισθωμένον E. 19. ἠκολούθη E.

τάτω τιθείς. τὰ γάρ τοι τῶν ἀνδραγαθημάτων ἐξαίρετα, καὶ εἰ φαίνοιτο τυχὸν ἐνόντα τισὶ τῶν οἵ γε φρονοῦσιν ὀρθῶς, ἀλλ᾽ οὐκ ἂν ἴοι ποτὲ διὰ τῆς αὐτῶν γλώττης εἰς ἑτέρων ἀκοάς. ἀκοσμότατον γάρ τι χρῆμα παντελῶς τὸ μὴ διὰ τῆς ἑτέρων φωνῆς ἐγκωμιάζεσθαι μᾶλλόν τινας ἤπερ ἐξ ἰδίου στόματος. καὶ γοῦν ὁ παροιμιαστής "Ἐγκωμιαζέτω σε," φησὶν, "ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα, ἀλλότριος καὶ μὴ "τὰ σὰ χείλη." Prov. xxvii. 2.

b Ὁ δὲ μαθητὴς ἐκεῖνος γνωστὸς ἦν τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

Προνοητικώτατα πάλιν καὶ μέχρι τῆς τούτων κάτεισι μνήμης, καὶ λεπτολογεῖν οὐ παραιτεῖται λίαν διὰ τὸ πᾶσι λυσιτελές. ἐπειδὴ γὰρ ἔμελλε καὶ τὰ ἐν αὐτῇ γεγονότα τε καὶ εἰρημένα τῇ τοῦ ἀρχιερέως αὐλῇ τοῖς ἰδίοις ἐγκατατάττειν συγγράμμασιν, ἀναγκαιοτάτην ὥσπερ καὶ τὴν τοῦ δεδυνῆ- c σθαι συνεισδραμεῖν ἀπολογίαν ἡμῖν ἐποιήσατο· γνωστὸς γὰρ ἦν φησι τῷ ἀρχιερεῖ. συνεισβάλλει τοιγαροῦν ἀδιακωλύτως, τῆς εἰς τὸν ἡγούμενον γνώσεως· φιλίαν γὰρ οὐκ ἠξίωσεν εἰπεῖν· ἀπαραπόδιστον αὐτῷ προξενούσης τὴν εἰς τὸ εἴσω διέλευσιν. ἵνα τοίνυν πιστεύηται καὶ τὰ ἐν τῇ αὐλῇ πεπραγμένα συντιθεὶς, ὡς οὐ διὰ τῆς ἑτέρων δεδιδαγμένος φωνῆς, ἀλλ᾽ αὐτὸς τῶν πεπραγμένων θεωρός τε ἅμα καὶ αὐτήκοος καταστὰς, χρησιμωτάτην ἡμῖν ἐποιήσατο καὶ τὴν περὶ τῆς d γνώσεως ἐξήγησιν.

16 Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τοῦ ἀρχιερέως, καὶ εἶπε τῇ θυρωρῷ καὶ εἰσήγαγε τὸν Πέτρον.

Οὐκ ἂν ὑστέρησεν, ὅσον ἧκεν εἰς προθυμίαν τῆς ἰδίας ψυχῆς, τοῦ συνεισβαλεῖν ὁ Πέτρος, εἰ μὴ τῆς προθυραίου

1. ἐξαίρετα E. ἐξαίρεται Ed. 9. μαθητὴς] ματθαῖος (sic) E. 26. τοῦ ἀρχιερέως E. τῷ ἀρχιερεῖ Ed.

παιδὸς ἡ τήρησις οὐκ ἀκίνδυνον ἐτίθει τοῖς οὐ πρότερον ἐγνωσμένοις τὴν εἰς τὸ εἴσω παραδρομήν. καὶ βιασθῆναι μὲν τὸ γύναιον ὑπ' ἀνδρὸς ἦν δήπου πάντως οὐ χαλεπὸν, τῶν γεμὴν τελούντων εἰς ἀταξίαν ἐγκλημάτων οὐκ ἐλεύθερον. e
εἴργεται τοίνυν, ὡς ἐξ ἀνάγκης, καίτοι λίαν ἀλύων ὁ μαθητὴς, μέχρις ἂν οὐ μετρίως λελυπῆσθαι διὰ ταύτην αὐτὸν τὴν αἰτίαν ἐννοήσας ὁ ἕτερος, συνεισκεκόμικεν ἑαυτῷ, τῇ τοῖς πυλῶσι προσεδρευούσῃ λαλήσας, καὶ χάριν αἰτήσας τοῦ συζηλοῦντος αὐτῷ τὴν συνεισβολήν.

a **1023 A.**

Λέγει οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός Μὴ καὶ σὺ ἐκ τῶν 17
μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος Οὐκ εἰμί.

Προηγγελκότος ἤδη τῷ Πέτρῳ τὴν εἰς τρίτον ἐσομένην ἐξάρνησιν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ὅτι πρὶν ὄρνιθα φωνῆσαι τὸν ᾠδὸν ἀτονήσει πως περὶ τὴν πίστιν, ἐξηγεῖται λοιπὸν ἀνὰ μέρος ὁ θεσπέσιος Εὐαγγελιστὴς, ὅποι τε καὶ ὅπως τὸ πρᾶγμα τετέλεσται. διαπυνθάνεται τοίνυν ἡ τοῖς b
πυλῶσιν ἐνιδρυνθεῖσα γυνὴ, μὴ ἄρα τις εἴη τῶν τελούντων ἐν μαθηταῖς τοῦ τὴν ἄδικον ὑπομένοντος κρίσιν. ἀποφάσκει δὲ ὁ Πέτρος, καὶ ὥσπερ τι τῶν ἐγκλημάτων ἀποσκευάζεται, λέγων Οὐκ εἰμὶ, καὶ οὐχὶ δὴ πάντως καταδείσας τὸ ἁλῶναι τυχὸν, οὐδὲ τὴν τῆς ἀληθείας ἀνάῤῥησιν παραιτούμενος, ἀλλὰ τὸ πᾶν ὁτιοῦν ὑπομεῖναι καὶ τῶν ἀβουλήτων, εἰ τύχοι, δεύτερον ὥσπερ τι καὶ ὀπίσω τιθεὶς τοῦ συνεῖναι Χριστῷ. c
ἐξ ἀγάπης οὖν ἄρα τὸ πταῖσμα, καὶ ῥίζαν πως ἔχει τὴν φιλοθεΐαν ἡ ἄρνησις, οὐκ ἐξ ἀκριβοῦς μὲν λίαν συμβαίνουσα λογισμοῦ, μνωμένη δ' οὖν ὅμως τῷ συνεῖναι ποθοῦντι τὸ σπουδαζόμενον.

25. *μὲν* assumptum ex E. Catt.

18 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακίαν πεποιηκότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ καὶ ὁ Πέτρος
d ἑστὼς μετ' αὐτῶν καὶ θερμαινόμενος.

Εἴσω θυρῶν ἐλάσας ὁ Πέτρος καὶ τοῖς οἰκέταις ἐναπολη-φθεὶς, τὰ ἐκείνων δρᾶν ὑποκρίνεται, καίτοι τῇ λύπῃ κεκακωμένος, καὶ δύσοιστον ἔχων ἐν καρδίᾳ τὴν ἀθυμίαν, ἵνα μὴ τῷ κατηφεῖ καὶ συμμεμυκότι προσώπῳ κατάφωρος εὑρεθεὶς, ὡσανεὶ τῷ κρινομένῳ συναλγύνεσθαι φιλῶν, τῆς τῶν ποθουμένων ἐκπέμπηται θήρας. ἀπίθανον γὰρ κομιδῇ τὸ φιλοσαρκεῖν οὕτως οἴεσθαι τὸν μαθητὴν, ὡς ἐν τοσαύταις ὄντα βαρυθυμίαις, τῶν ἐκ χειμῶνος καταψυγμάτων ἐκμηχανᾶσθαι
e τὴν ἄκεσιν· ἀλλ' οὐδ' ἂν εἰ μετῆν καὶ τῶν ἔτι μειζόνων ἀπολαῦσαι χρηστῶν, κάμνοντος οὕτω Χριστοῦ τυχεῖν ἠνέσχετο. οἰκονομικῶς δὲ λίαν τῇ τῶν θεραπόντων ἀκηδίᾳ συμπλάττεται, καὶ ὡς μηδενὸς τὸ παράπαν κατωθοῦντος εἰς ἀθυμίαν τὰ ἐκ τοῦ χειμῶνος ἀποκρούεται βλάβη, ἵν' ὥσπερ τις τῶν τῆς οἰκίας γνωρίμων καὶ διὰ τούτου πιστεύηται, διαδράσαι τε οὕτω λοιπὸν καὶ τὸ εἴπερ τις ἔροιτο πάλιν ἀρνήσασθαι. ἀλλ' οὐκ ἦν διαψεύσασθαι τοῦ Σωτῆρος τὸν λόγον. ὃ γὰρ ἔγνω πάντως ἐσόμενον ὡς Θεὸς, τοῦτο τῷ μαθητῇ προμεμήνυκεν.

1024 A. a

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

Ὁ νομομαθὴς καὶ διδάσκαλος, ᾧ καὶ τὸ θεῖον διαγορεύει κήρυγμα Κρῖμα δίκαιον κρίνετε, καθάπερ τινὰ τῶν διαβοήτων ἁρπάσας λῃστῶν τὸν Κύριον, διά τε σπείρας στρατιωτῶν ὡπλισμένων καὶ πληθύος ἀνοσίων ὑπηρετῶν, περὶ διδαχῶν καὶ μαθητῶν ἐρωτᾷ, τὴν τῶν ἐγκλημάτων ἀπορίαν διὰ τούτου

Cf. Deut. i. 16, xvi. 18.

5. *κεκακωμένος*] Ita et Cord. Cr. Legendumne *κεκαρωμένος*? 12. *ἀλλ' οὐδ' ἂν εἰ μετῆν*] *γρ. ἀλλ' οὐδ' ἀνειμένως καὶ τῶν ἔτι* F mg. unde "al. *ἀλλ' οὐδ' ἀνειμένως*" Aub. in notis. 18. *διαδράσαι* E. *διαδράσῃ* Ed.

σημαίνων. οὐ γὰρ ᾔδει τὸ ἁμαρτεῖν ὁ κρινόμενος. ἐρωτᾷ δὲ περὶ τῆς διδαχῆς αὐτοῦ, πότερόν ποτε τοῖς διὰ Μωυσέως ἀπῳδός ἐστι νόμοις, ἤγουν τοῖς πάλαι τεθεσπισμένοις ὁμο- b στιβὴς καὶ σύνδρομος, καὶ τίς ἄρα τοῖς ὑπ' αὐτῷ μεμαθητευμένοις ἐνυπάρχει σκοπὸς, τοῖς ἀρχαίοις ἔθεσι παιδαγωγεῖσθαι φιλεῖν, ἤγουν τινὰ ξένην καὶ καινοπρεπῆ τῆς λατρείας ἐπιτηδεύειν τὴν ἀγωγήν. ἐποίει δὲ τοῦτο δυστρόπως· ᾤετο γὰρ ὅτι κατερεῖ μὲν ἐναργῶς τοῦ νόμου Χριστὸς, ἀπόβλητα δὲ τὰ διὰ Μωυσέως εἰπὼν, αὐτὸς καθ' ἑαυτοῦ τῆς τῶν Ἰουδαίων γλωσσαλγίας ἀνακινήσει θράσος, ἵνα καὶ φαίνηται λοιπὸν δικαίαν ὥσπερ ἀποτιννὺς τοῦ θεομαχεῖν ἑλέσθαι τὴν δίκην. θεομαχεῖν γὰρ ἄντικρυς ἦν τὸ τοῖς c θείοις ἀντιτάττεσθαι νόμοις, εἴπερ τις ἄρα τῶν καθ' ἡμᾶς ἥλω τι τοιοῦτον εἰπὼν ἢ δράσας. ὡς ἀνθρώπῳ δὲ ἔτι ψιλῷ προσέχουσι τῷ Χριστῷ, καὶ τὸν τοῦ νόμου Κύριον ἐπὶ τῇ τοῦ νόμου παραβάσει δικαίως εὐθύνειν νομίζουσιν, οὐ μεμνημένοι τοῦ λέγοντος "Ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρα- Hiob xxxiv. 18.
"νομεῖς."

Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Ἐγὼ παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ, 20
ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

d

Τὸ πᾶσι, φησὶν, ἐγνωσμένον ὡς ἀφανὲς ἐπιζητεῖν, εἰκαῖον ἂν ἔχοι τὸν πόνον, καὶ ᾧπερ ἂν ἕποιτο τὸ μὴ ἀγνοεῖσθαι τυχὸν, πῶς ἂν ἔτι προσείη τοῦ λαθεῖν ἡ ὑπόληψις; καὶ δοκεῖ μέν πως ἡμῖν ταυτὶ δὴ φάναι Χριστὸς, ὑπὲρ τοῦ τὰς αἰτίας ἀποφορτίζεσθαι διὰ τῆς τῶν ἡγουμένων πονηρίας συντεθειμένας τε ἤδη καὶ δυσμηχάνως ἐξηρτυμένας· οἶμαι δέ τι καὶ ἕτερον ὑποδηλοῦν διὰ τούτων αὐτόν. ἐγὼ γάρ φησιν ἐν παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ, τουτέστι, τὰ διὰ τῆς Μωυσέως ὑμῖν μεσιτείας κεχρησμῳδημένα διὰ

4. μεμαθητευμένοις E. μεμαθητευομένοις Ed. 8. ἀργῶς E. 12–18 citat p. 17. Ἀσεβὴς] + ἐστιν p. 20. ἐν] + τῇ Ed. invito E. 23. ἔχει E. 30. τῆς] + τοῦ Ed. invito E.

τύπων ἔρχεται καὶ σκιᾶς, καὶ ἀναφανδὸν οὐ διδάσκει τὸ δοκοῦν τῷ Θεῷ, πλάττεται δὲ μᾶλλον τῆς ἀληθείας ἐφ' 1025 A. a ἑαυτοῖς τὴν ὑπόληψιν, καὶ τῇ παχύτητι τοῦ γράμματος κατημφιεσμένα γυμνὴν οὐκ εἰσφέρει τῶν ἀναγκαίων τὴν εἴδησιν· *ἐγὼ ἐν παῤῥησίᾳ λελάληκα τῷ κόσμῳ*· αἰνιγμάτων γὰρ δίχα καὶ σκιᾶς τῆς τῶν ἀγαθῶν ἰδέας παρέδειξα τὴν κατόρθωσιν, καὶ πλαγίας ἁπάσης ἐξῃρημένης εὐθυτενῆ τῆς εἰς Θεὸν εὐσεβείας ἀπέδειξα τὴν ὁδόν. *ἐγὼ λελάληκα τῷ κόσμῳ*, οὐχ ἑνί φησι γένει τῶν ἐξ Ἰσραήλ· εἰ γὰρ καὶ μήπω τυχὸν τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔκπυστά πως ἐστὶ τὰ ἡμέτερα, ἀλλ' ἔσται κατὰ καιρούς. *ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ*. καὶ τί τοῦτό ἐστι, πῶς οὐκ ἀναγκαῖον b ἰδεῖν; εἰς ἀνάμνησιν, ὡς ἔοικε, καὶ οὐχ ἑκόντας καλεῖ τοὺς τῶν Ἰουδαίων προεστηκότας προφητείας ἐχούσης ὧδε περὶ αὐτοῦ. τί γὰρ ἔφη πάλιν ἡμῖν ὁ θεῖος Ἡσαΐας, ὡς ἐκ Es. xlv. 19. προσώπου Χριστοῦ "Οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν Ib. lxv. 2. "τόπῳ γῆς σκοτεινῷ," καὶ πάλιν "Ὅλην τὴν ἡμέραν "ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ "ἀντιλέγοντα." τὸ γὰρ μήτε ἐν κρυφῇ μήτε ἐν τόπῳ λαλεῖν σκοτεινῷ, τί ἂν ἕτερον εἴη λοιπὸν, ἢ τὸ ποιεῖσθαι μὲν *ἐν παῤῥησίᾳ* τὰς διαλέξεις, λαλεῖν δὲ ἐν τόποις οὐκ ὀλίγην c ἔχουσι τῶν ἀκροωμένων τὴν σύνοδον; καλῶς δὲ σφόδρα καὶ ἀναγκαίως τῆς τοῦ προφήτου πρὸς ἀνάμνησιν ἄγει φωνῆς, ἵνα δὴ μάθοιεν, ὅτι κρίνουσι δυσσεβῶς τὸν ἐν Rom. ix. 4. ἐλπίσιν αὐτοῖς χρεωστούμενον. Ἰουδαίων γὰρ ἡ ἐπαγγελία, κατὰ τὴν τοῦ Παύλου φωνήν.

21 Τί με ἐρωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ.

Ἐπιπλήττει τοῖς νομομαθέσιν, ὡς καὶ αὐτὸν ἠδικηκόσι τὸν ἐφ' ᾧ σεμνύνονται νόμον. *τῷ γὰρ οὔπω κατεγνωσμένῳ*

5. ἐγὼ ἐν] ἐγὼ E. ἐγὼ δὲ ἐν Ed.

πρόωρον ὥσπερ ἐπενεγκόντες τὴν κόλασιν, περιττῶς ἔτι ζητοῦσι τὰ πταίσματα. τί τοίνυν φησὶν ἐρωτᾷς καὶ καλεῖς d εἰς ἀπολογίαν τὸν ἤδη παθόντα τὴν ἔφοδον, πρεσβυτέραν τε τῶν ἐλέγχων λαχόντα τὴν τιμωρίαν; προσβαλεῖς δὲ καὶ ἑτέρως τοῖς εἰρημένοις. οἱ μεμισηκότες ἤδη, φησὶ, καὶ ταῖς οὕτω δειναῖς ἀτιμίαις περιβεβληκότες, εἴτι περ λέγοιμι τῶν κατ' ἐμαυτὸν, οὐκ ἂν ἴσως ὀκνήσαιεν καὶ τὸ ψεύδη βοᾶν. οὐκοῦν παρὰ τῆς ἑτέρων διδάσκεσθε φωνῆς. ἀταλαίπωρος παντελῶς τῶν μαρτύρων ἡ ζήτησις· οἵδε γὰρ γεγόνασι τῶν ἐμῶν κατήκοοι λόγων. καὶ νομιεῖ μέν τις τυχὸν, ὅτι καρδίας εἰδὼς καὶ νεφροὺς, ὑπέδειξέ τινας τῶν παρεστηκότων ὡς ἐκ τοῦ παρατυχόντος ἀκροασαμένους αὐτοῦ. τὸ δὲ οὐχ οὕτως ἔχει. παρέδειξε γάρ τινας τῶν ὑπηρετῶν, οἳ καὶ πάλαι τὴν παρ' αὐτοῦ διδαχὴν τεθαυμάκασι, καὶ πῶς ἢ πότε, πάλιν εἰπεῖν ἀναγκαῖον ὑπὲρ σαφηνείας τῶν εἰρημένων. οὐκοῦν a 1026 A. αὐτὸς ἡμῖν οὑτοσὶ πάλιν ὁ θεσπέσιος Εὐαγγελιστὴς λελάληκέ τι τοιοῦτον, ὡς ἐξηγουμένου ποτὲ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ τοῖς συνδεδραμηκόσιν Ἰουδαίοις τὸν περὶ τῆς τῶν οὐρανῶν βασιλείας διαπτύσσοντος λόγον, διεπρίοντο πάλιν οἱ τῶν Ἰουδαϊκῶν ταγμάτων ἡγούμενοι, καὶ θερμὸν ἐπ' αὐτῷ τὸν φθόνον ὠδίνοντες, ἐκ μέσου ποιεῖν ἐσπούδαζον. λέγει δὲ οὕτως ὁ Εὐαγγελιστής " Καὶ ἀπέστειλαν οἱ ἀρχιε- Supra vii. 32. " ρεῖς καὶ οἱ Φαρισαῖοι ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν." ἀλλ' ὡς πολὺς καὶ μακρὸς ὁ παρὰ τοῦ Σωτῆρος ἡμῶν ἐξετείνετο b λόγος, οἱ παρὰ τῶν Ἰουδαίων ἀπεσταλμένοι τοῖς ἄλλοις ἅπασι συνεπείθοντο, καὶ τεθαυμάκασι πλέον ἤπερ τις ἕτερος τῶν τελούντων εἰς ὄχλους. λέγει δὲ οὕτω πάλιν ὁ Εὐαγγελιστής " Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Ib. 45–47. " Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι Διατί οὐκ ἠγάγετε " αὐτόν; ἀπεκρίθησαν οἱ ὑπηρέται Οὐδέποτε ἐλάλησεν " οὕτως ἄνθρωπος. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι " Μὴ καὶ ὑμεῖς πεπλάνησθε;" ἀκούεις ὅπως ἀναπεπεισμέ- c

24. παρὰ E. περὶ Ed. 26. ἤπερ emendavi. εἴπερ Ed. 27. οὔπω (sic) E.

νους ἤδη τοὺς ὑπηρέτας καὶ τεθαυμακότας εὑρίσκοντες, ἀγωνιῶσιν οἱ Φαρισαῖοι. τοῦτο τοιγαροῦν εἰδὼς ὁ Σωτήρ Ἐρώτησόν φησι τοὺς ἀκηκοότας· ἴδε οὗτοι ἴσασιν ἃ εἶπον ἐγώ. αὐτοὺς γὰρ ἐκείνους τοὺς τότε παρεστηκότας ὁρῶν, τό Οὗτοι φησὶν, ἢ κἀκεῖνο σημαίνων, ὅτι καὶ αὐτοὶ τεθαυμάκασι τῆς ἐμῆς διδασκαλίας τὸ κάλλος οἱ τῆς ὑμετέρας ἀνοσιότητος ὑπουργοί.

22 Ταῦτα δε αὐτοῦ εἰπόντος εἷς παρεστηκὼς τῶν ὑπηρετῶν
d ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπὼν αὐτῷ Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ;

Προκεκήρυκται μὲν διὰ τῆς τοῦ προφήτου φωνῆς ὡς
Es. l. 6. ἐσόμενον ἐπὶ Χριστῷ καὶ τοῦτο· "Τὸν νῶτόν μου δέδωκα," φησὶν, "εἰς μάστιγας καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα." διεξάγεται γεμὴν εἰς τὸ πάλαι προαναφωνούμενον πέρας, εἰς κρῖμα μὲν τῆς Ἰουδαίων ἀλαζονείας, εἰς ἀναίρεσιν δὲ καὶ καταστροφὴν τῆς ὀφειλομένης ἡμῖν ἀτιμίας, ἐπείπερ ἡμάρ-
e τομεν ἐν Ἀδὰμ τῷ πρώτῳ τὴν θείαν πατήσαντες ἐντολήν. ἀτιμάζεται γὰρ ὑπὲρ ἡμῶν, ἐπείπερ αὐτὸς τὰς ἁμαρτίας
Ib. liii. 4. ἡμῶν αἴρει, κατὰ τὴν τοῦ προφήτου φωνὴν, καὶ περὶ ἡμῶν ὀδυνᾶται. ὥσπερ γὰρ θανάτου λύσιν εἰργάζετο, θανάτῳ παραδοὺς τὸ ἴδιον σῶμα· τὸν αὐτὸν οἶμαι τρόπον τῆς ἐπηρτημένης ἡμῖν ἀτιμίας διὰ τὴν παράβασιν καὶ τὴν ἀρχέκακον ἁμαρτίαν, λύσιν ἔχει τὸ ῥάπισμα τὴν ἐπὶ Χριστῷ πληροῦν ἀτιμίαν. εἷς γὰρ ὁ πάντων ἀντάξιος ὑπὲρ πάντων
1027 A. a ἠτιμάζετο. πλὴν ὅλην ἂν οἶμαι φρίξαι τὴν κτίσιν, εἴπερ ἐν αἰσθήσει κέκλητο τοῦ τολμήματος· ὁ γὰρ τῆς δόξης Κύριος τῇ τοῦ παιόντος ἀνοσίᾳ χειρὶ κατῃκίζετο.

Οὐκ ἀμοιρῆσαι γεμὴν ἐρεύνης ἂν οἶμαι φιλομαθοῦς τὸ ἐθελῆσαι μαθεῖν, ἀνθ' ὅτου τυχὸν ὁ πάντολμος οὑτοσὶ καὶ ἀνοσιουργὸς ὑπηρέτης ῥαπίζει τὸν Ἰησοῦν, σκληρὸν μὲν ὅλως ἢ δύσοργον εἰπόντα μηδὲν, πρᾳοτάτην δὲ λίαν τὴν ἐφ' ἅπασι

7. ὑπουργὸς E. 23. ἀρχίκακον E. 24. πληροῦντι (pro more) E.

τοῖς ἐπενηνεγμένοις ἀπολογίαν ποιούμενον. ἀλλ' οὐδ' ἂν αὐτὸν ἴδοι τις τῶν Ἰουδαίων τὸν προεδρεύοντα παίειν αὐτῷ διατεταχότα, καὶ τοῖς οὕτω παραλόγοις ἐπιπηδᾶν δυσσεβήμασι. b καὶ προβαλοῦνται μὲν ἴσως τινὲς τὴν τοῖς ὑπηρέταις ἐντριβῆ καὶ μελετωμένην συνήθειαν, οἳ τοῖς ἡγουμένοις προσάγοντες τοὺς ἐπί τισι τῶν ἔξω νόμου κατειρημένους, λαλεῖν μὲν ἐπιεικέστερον καὶ οὐχ ἑκόντας ἀναγκάζουσι, παραφθεγξαμένους δέ τι τῶν ἀπηχεστέρων ἔσθ' ὅτε καὶ ἀτιμάζουσιν. ἀλλ' οὐ ταύτην οἶμαι τὴν αἰτίαν τῆς ἐπὶ Χριστῷ μανίας συμβῆναι τότε, πρόφασιν δὲ τοῦ τολμήματος ἑτέραν εὑρήσομεν, τοῖς ἤδη προειρημένοις τὸν νοῦν ἐνερείσαντες. ἐλέ- c γομεν γὰρ ἀρτίως, ὅτι τοῖς ἡγουμένοις προσκεκρούκασι τῶν ὑπηρετούντων τινὲς, οἳ προσετάχθησαν μὲν συλλαβέσθαι τὸν Ἰησοῦν, ἐπανῆκον δὲ οὕτω μεμυσταγωγημένοι καὶ τεθαυμακότες αὐτὸν, ὡς διαῤῥήδην εἰπεῖν "Οὐδέποτε ἐλά- (Supra vii. 46.) "λησεν οὕτως ἄνθρωπος." ἐφ' ᾧ καὶ σφόδρα λελυττηκότες ἔφασκον οἱ Φαρισαῖοι "Μὴ καὶ ὑμεῖς πεπλάνησθε; μή τις (Ib. 47-49.) "ἐκ τῶν Φαρισαίων ἢ ἐκ τῶν ἡγουμένων ἐπίστευσεν εἰς "αὐτόν; ἀλλ' ὁ ὄχλος οὗτος οἱ μὴ εἰδότες τὸν νόμον "ἐπάρατοί εἰσιν." ἐπειδὴ τοίνυν τοῦ Σωτῆρος ὁ λόγος πρὸς ἀνάμνησιν ἐκάλει τοὺς ἡγουμένους τῆς κατὰ τῶν ὑπηρετῶν d κεκινημένης τότε βαρυθυμίας· μάρτυρας γὰρ αὐτοὺς τῆς ἑαυτοῦ διδασκαλίας παρεκόμιζε λέγων "Ἴδε οὗτοι ἴσασιν ἃ (Supra ver. 21.) "εἶπον ἐγώ" ἀποκρουόμενος τῆς εἰς αὐτὸν εὐνοίας τὴν ὑποψίαν, καὶ τῶν ἡγουμένων τὸν νοῦν ἐφ' ἑτέρας ὥσπερ παρατρέπων ἐννοίας ὁ ἐπὶ τῷ θαυμάσαι Χριστὸν παρ' ἐκείνοις ἐγκαλούμενος, ἐπιστομίζει ῥαπίσματι, τὰ λυποῦντα λέγειν οὐκ ἐφιεὶς τῶν ὑπηρετεῖν τεταγμένων τὸ φιλοκίνδυνον e στῖφος.

17. ἔφασκον] αὐτὸν ἔφασκον E. 25. ὑποψίαν E. ὑπόληψιν Ed.

23 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

Ἀδικοῦντα μὲν λίαν ἐλέγχει τὸν ὑπηρέτην, καὶ εἴπερ τις ἦν ὁ κρινόμενος τῶν οὐ σφόδρα λαμπρῶν. πλήττει γὰρ ἀσυνέτως ὃν ἥκιστα χρῆν, οὐκ ἐκθέσμοις ῥήμασιν εἰς τοῦτο
1028 A. a κεκινημένος, ἤγουν ἑτέραν τινὰ τοῦ θράσους ἔχων τὴν ἀφορμὴν, ἐκ μόνης δὲ μᾶλλον τῆς ἐμφύτου μανίας εἰς ἠθῶν ἀγριότητα θηριοπρεπῆ κατωθούμενος. κατηγόρησον γὰρ, εἰ δοκεῖ, καὶ τῶν ἡμετέρων καταγωνίζου λόγων, ὡς οὐκ ὀρθῶς εἰρημένων· εἰ δὲ τοῦτο ποιεῖν οὐ δύνασαι, πλήττεις ἀνθ' ὅτου λοιπὸν τὸν ἀνεγκλήτως φθεγξάμενον;

Τετριμμένος μὲν οὖν οὑτοσὶ καὶ σφόδρα συνήθης τοῖς θεωρήμασι λόγος· οἶμαι δὲ ἔγωγε τὴν τοῦ προκειμένου
b δύναμιν ἑτέρωσέ ποι χωρεῖν. διελέγχει γὰρ ἴσως τὸν ὑπηρέτην, ὡς ἀδικοῦντα μειζόνως, οὐχ ὅτι πέπαικεν ἁπλῶς, ἀλλ' ὅτι προτεθαυμακὼς ἤδη τὸν διδάσκαλον, ἐπ' οὐδενὶ δὲ νυνὶ καταγνοὺς, ἀτιμάζειν ἠνέσχετο. εἰ μὲν γὰρ οὐχ ἥλως ποτὲ τοῖς παρ' ἐμοῦ, φησὶ, λόγοις· εἰ μή σοι τὰ κάλλιστα διδάσκειν ἐδόκουν καὶ παράδοξός τις εἶναι πεπίστευμαι τῶν ἱερῶν γραμμάτων ἐξηγητής· εἰ μὴ αὐτὸς ἦσθα τότε βοῶν
Supra vii. 46. "Οὐδέποτε ἐλάλησεν οὕτως ἄνθρωπος·" τάχα τις ἦν λόγος ταῖς σαῖς ἀπειρίαις ἐπιδιδοὺς τὸν ἔλεον, καὶ τῆς ἐπὶ τούτοις
c αἰτίας ἔξω τιθείς· ἐπειδὴ δὲ ἔγνως τε καὶ τεθαύμακας καὶ οὐκ ἂν ἴσως, φησὶ, τῶν ἐμῶν κατεμαρτύρησας λόγων, εἰ τὸ τῆς ἑαυτοῦ διαμεμνῆσθαι φωνῆς ἕν γε τῷ παρόντι διελογίζου καλὸν, πῶς οὐκ ἀπροφάσιστον ἔχοις τὴν ἁμαρτίαν; καὶ προσβαλεῖς μὲν τοιῶσδε τοῖς θεωρήμασι· πλὴν ἔστιν ἰδεῖν, ὡς ἀσύγκριτόν τινα καὶ ὑπερφυᾶ τῆς εἰς ἄκρον ἀνεξικακίας ἐν τούτοις ἡμῖν ὁ Σωτὴρ καταγράφει τὸν τύπον, καὶ τῆς ἀνωτάτω καὶ ὑπερφεροῦς ἡμερότητος τὴν ἰδέαν, ὡς ἐν εἰκόνος
d τάξει λαμπρᾶς ἀνατυποῖ τὰ καθ' ἑαυτόν. ὁ γὰρ ἑνὶ καὶ

25. γε E. τε Ed.

μόνῳ νεύματι πάντας ἄρδην Ἰουδαίους ἀπολέσαι δυνάμενος, δουλοπρεπῶς ῥαπίζεται· καὶ δρᾷ μὲν οὐδὲν, ἀντεπάγει δὲ τῶν ἀδικούντων οὐδενὶ τὴν παραχρῆμα κόλασιν, ἐπεὶ μηδέ ἐστι καθ᾽ ἡμᾶς ἀσθενὴς, ἢ ὀργαῖς ἢ λύπαις τυραννούμενος, ἢ τῷ τῆς πλεονεξίας βάρει νικώμενος, δυσωπεῖ δὲ πράως τὸν ἐφεστηκότα, τὸν οὐδὲν ἐκτόπως λαλήσαντα μὴ χρῆναι παίειν εἰπὼν, καὶ αὐτοῖς δὲ τοῖς δοκοῦσιν εἶναι δεινοῖς ἐναποληφθεὶς τῶν οἰκείων ἐπιτηδευμάτων οὐκ ἀλογεῖ. λογισμῷ γὰρ ἀναπείθει τῷ δέοντι τῆς ἐν τούτοις προπετείας ἀποχωρεῖν τῆς c τῶν Ἰουδαίων ὑπεροψίας τὸν ὑπουργὸν, κομισάμενος μὲν αὐτὸς "πονηρὰ ἀντὶ ἀγαθῶν," κατὰ τὸ γεγραμμένον, ἀντι- [Ps. xxxiv. 12.] διδοὺς δὲ τοῖς ἀτιμάζουσιν ἀντὶ πονηρῶν ἀγαθά.

Ἀλλ᾽ ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς καὶ ῥαπιζόμενος ἀνεξικακεῖ, καίτοι Θεὸς ὑπάρχων ἀληθινὸς, γῆς τε καὶ οὐρανοῦ Κύριος· ἡμεῖς δὲ οἱ τάλανες, οἱ "γῆ καὶ σποδὸς," οἱ σμικροὶ [Gen. xviii. 27.] καὶ ἐλάχιστοι, καὶ τῇ τῶν λαχάνων χλόῃ παρεικασμένοι· "Ἄν- [Ps. cii. 15.] "θρωπος γὰρ ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, καὶ ὡσεὶ ἄνθος a **1029 A.** "τοῦ ἀγροῦ οὕτως ἐξανθήσει," κατὰ τὸ γεγραμμένον· τινὸς ἔσθ᾽ ὅτε τῶν ἀδελφῶν διαπεσόντος εἰς λόγον, καὶ βραχύ τι παραφθεγξαμένου τῶν εἰωθότων λυπεῖν, δρακόντων μὲν δίκην ἐκπικραίνεσθαι δεῖν ἐπ᾽ αὐτῷ λογιζόμεθα, μυρίοις δὲ ἀνθ᾽ ἑνὸς κατασφενδονῶντες λόγοις οὐ κορεννύμεθα, οὐ ταῖς ἀνθρωπίναις μικροψυχίαις κιχρῶντες τὴν ἄφεσιν, οὐ τὴν κοινὴν τῆς φύσεως ἐννοοῦντες ἀσθένειαν, οὐ τῷ φιλαλλήλῳ b καταχωννύντες τρόπῳ τὰς ἐντεῦθεν ὀργὰς, οὐκ εἰς αὐτὸν ἀποβλέποντες "τὸν τῆς πίστεως ἡμῶν ἀρχηγὸν καὶ τελειω- [Heb. xii. 2.] "τὴν Ἰησοῦν," ἀλλ᾽ ἑαυτοὺς ἐκδικεῖν σπουδάζοντες, καὶ [Rom. xii. 19.] τοῦτο πικρῶς, καίτοι τῆς θείας λεγούσης γραφῆς, ποτὲ μὲν ὅτι "ὁδοὶ μνησικάκων εἰς θάνατον," ποτὲ δὲ πάλιν "Τὴν [Prov. xii. 27.] "κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακείτω ἐν [Zach. vii. 10.] "ταῖς καρδίαις ὑμῶν." ἀλλὰ γὰρ εἰς τύπον ἡμῖν ἡμερότητος

5. τὸ Aub. correxi ex E. 11. ἀντὶ E. ἀντ᾽ Ed. [ἀντὶ ἀγαθῶν Alex.]
15. οἱ ult. E. καὶ Ed. 19. τι assumptum ex E.

c τῆς εἰς ἀλλήλους καὶ τῆς ὑπὲρ λόγου ἀνεξικακίας αὐτὸς ὁ πάντων Δεσπότης προκείσθω Χριστὸς, ὃς καὶ ταύτης ἕνεκα τῆς αἰτίας πρὸς ἡμᾶς που φησίν "Οὐκ ἔστι μαθητὴς ὑπὲρ "τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ."

S.Matth. x. 24.

d

ΚΕΦΑΛΑΙΟΝ

ΤΟ ΕΝ ΤΩι ΔΩΔΕΚΑΤΩι ΒΙΒΛΙΩι.

α. Ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, κἂν εὑρίσκηται δι' ἡμᾶς Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῶν, προκειμένου ῥητοῦ Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ... ... [1086]

e

Lib. XII. Codex E. (F hic illic exhibitus). 1–6 om. E. 2. τὸ ἐν τῷ ιβ βιβλῳ [βιβλίῳ?] F. τοῦ δωδεκάτῳ βιβλίου Ed. 3. Θεὸς κατὰ φύσιν hoc ordine F. 4–6. προκειμένου—ὑμῶν accesserunt ex F.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ

ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ

a 1030 A.

᾿Απέστειλεν οὖν αὐτὸν ὁ ῎Αννας δεδεμένον πρὸς Καϊάφαν τὸν 24
ἀρχιερέα. ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος· 25
εἶπον οὖν αὐτῷ Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ;
ἠρνήσατο ἐκεῖνος, καὶ εἶπεν Οὐκ εἰμί. λέγει εἷς ἐκ τῶν 26
δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ
ὠτίον Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾿ αὐτοῦ; πάλιν οὖν 27
ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

b

᾿ΑΝΑΚΟΠΤΕΙ *χρησίμως καθάπερ ἵππον ὀξυδρομοῦντα τὸν τῆς ἐξηγήσεως τρόπον ὁ θεσπέσιος Εὐαγγελιστὴς, καὶ ὀπίσω πάλιν ἀνακομίζεται. διὰ ποίαν αἰτίαν; χρῆν γὰρ δήπου προεπιδεῖξαι τῶν ἐφεξῆς τὴν εἰς τρίτον γενομένην ἄρνησιν τοῦ Πέτρου, καὶ τοῦτον ἔχοντος τοῦ πράγματος τρόπον τὸν αὐτῷ μάλιστα πρέποντά τε καὶ ἐπιτήδειον, καθ᾿ ὃν καὶ τετέλεσται. οἰκονομικῶς τοιγαροῦν ἀναλαμβάνει τὰ ἐν ἀρχαῖς, καὶ ἀπεστάλθαι μὲν λέγει τὸν ᾿Ιησοῦν παρὰ τοῦ* Cf. supra ver. 13.

1–5 retinui ex Ed. *τοῦ μακαρίου κυρίλλου εἰς τὸ κατὰ ἰωάννην εὐαγγέλιον κεφάλαιον τὸ ἐν τῷ δωδεκάτῳ βιβλίῳ* E. 19. *ὃν*] ὁ E. *ἀναλαμβάνουσι* (sic) E.

Ἄννα πρὸς Καϊάφαν· διερωτώμενον δὲ δείκνυσι τὸν Πέτρον 1031 A. a παρά τε τῶν συνθερμαινομένων οἰκετῶν, καὶ παρά τινος τῶν ἐκ γένους τοῦ πληγέντος ὑπ᾿ αὐτοῦ, καὶ τρίτην ἐν τούτοις ἀποπληροῦντα τὴν ἄρνησιν. εἶτα τῆς τοῦ ἀλεκτρυόνος διαμέμνηται φωνῆς, κατ᾿ οὐδὲν διαπίπτοντα τὸν τοῦ Σωτῆρος ἡμῶν ἀποφαίνων λόγον, προεγνωκότος τε καὶ προηγγελκότος τοῦ ἰδίου μαθητοῦ τὴν ἐν θορύβοις ἀσθένειαν, ἧς οὐδ᾿ ἂν ὅλως ἐπεμνήσθη τάχα, θεοδίδακτος ὤν, ὁ τόδε τὸ σύνταγμα γραφῇ παραδούς, εἰ μὴ τὰς τῶν μισοθέων ἐνενόησε φιλοψογίας τε καὶ ἀθυρογλωττίας. εἶπον γὰρ ἄν τινες εὐθὺς τῶν ὅτι μάλιστα πολεμεῖν ἐγνωκότων ταῖς τοῦ Σωτῆρος εὐκλείαις b Ἐπιδείξατε τοῦ Πέτρου τὴν ἄρνησιν, πῶς δὲ καὶ ὅποι τετέλεσται τὸ προηγγελμένον διὰ Χριστοῦ, καίτοι τὸ ψευδομυθεῖν καθ᾿ ὑμᾶς οὐκ εἰδότος. ἀλήθειαν γὰρ εἶναί φατε, καὶ ἐξ ἀληθοῦς ἀναλάμψαι Πατρός. ἀναγκαιοτάτην τοιγαροῦν ὁ θεσπέσιος Εὐαγγελιστὴς καὶ τούτων ἡμῖν ἐποιήσατο τὴν ἐξήγησιν, ἀληθεύοντα πανταχῇ δεικνὺς τὸν Κύριον.

Ἀλλ᾿ ἴσως τοῦ μὲν ἔτι τοιούτοις ἡμᾶς κατακρούειν λόγοις ἀφέξεταί τις τῶν δι᾿ ἐναντίας, δεινὸς δὲ τοῦ Πέτρου φανεῖται κατήγορος, καὶ δειλίας ἀσυγκρίτου τὸν γνήσιον γράψεται μαθητὴν, εὐχερῆ δὲ οὕτως ἐρεῖ πρὸς τὴν ἐν λόγοις γενέσθαι c διάπτωσιν, ὡς ἤδη καὶ τρίτον διολισθεῖν εἰς ἀπάρνησιν, οὐδ᾿ ὅσον τῆς τῶν δεινῶν ἁψάμενον πείρας, ἤγουν πρὸς αὐταῖς γεγονότα ταῖς τοῦ κινδύνου θύραις. ἀλλ᾿ εἰπεῖν μὲν ἁρμόσει τὰ τοιαῦτα τυχὸν τοῖς ἀμυήτοις ἔτι· ἐγὼ δὲ ὡς πορρωτάτω τὰ τοιαῦτα μεθεὶς, καὶ ταῖς ἐκείνων τερθρείαις ἐρρῶσθαι φράσας, εἰς τὴν ὑπὲρ τοῦ γεγονότος ἀπολογίαν τετράψομαι, τοῖς ἤδη κατειθισμένοις νοεῖν μυστήρια τὰ ἐκ τῆς μυστικῆς οἰκονομίας παρατιθεὶς εἰς ἀπόδειξιν. ἔδει γὰρ ἔδει καὶ τῶν τοιούτων εὖ μάλα διαμεμνῆσθαι πραγμάτων τὸν σοφώτατον Εὐαγγελιστὴν, ὑπὲρ τοῦ συνιέναι τοὺς ἀκροωμένους τίνες d μὲν ἦσαν καὶ αὐτοὶ τῆς οἰκουμένης οἱ διδάσκαλοι πρὸ τῆς

6. προηγγελτικότος (sic) E. 12. ἐπεδείξατε E. 32. οἱ om. E.

ἀναστάσεως τοῦ Χριστοῦ, καὶ πρὸ τῆς καταφοιτήσεως τῆς ἐπ᾿ αὐτοὺς γενομένης τοῦ Ἁγίου Πνεύματος, καὶ τίνες ἐν τοῖς μετὰ ταῦτα, κομισάμενοι τὴν διὰ τοῦ Πνεύματος χάριν, ἣν καὶ "ἐξ ὕψους δύναμιν" ὠνόμασεν ὁ Χριστός. προθυ- S. Luc. xxiv. 49. μοτάτους μὲν γὰρ εἰς ἀνάληψιν ἀρετῆς, εὐζωνοτάτους δὲ λίαν εἰς τὸ θέλειν ἕπεσθαι τῷ Χριστῷ, καὶ παντὸς κινδύνου καταθλεῖν καὶ σφόδρα πλειστάκις ἐπιχειρήσαντας θεωρῆσαι τις ἄν. ἀλλ᾿ οὔπω κατηργηκότος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τοῦ θανάτου τὸ κράτος, σκληρός πως ἦν ἔτι καὶ ἀπρόσιτος παντελῶς ὁ ἐξ αὐτοῦ φόβος· οἱ δὲ οὔπω τὸ Πνεῦμα λαβόντες, ἀλλ᾿ οὐδὲ διὰ τῆς ἄνωθεν κεχαλκευμένοι χάριτος, εἰς τὴν ὑπὲρ φύσιν ἀνδρείαν οὔπω παντελῶς ἐλευθέραν τῆς ἀνθρωπίνης μικροψυχίας τὴν διάνοιαν ἔχοντες, οὐκ ἄθραυ- a 1032 A. στοι κομιδῇ τοῖς ἐκ τοῦ παθεῖν ἐφαίνοντο δείμασιν. ὅνπερ γὰρ τρόπον ὁ σίδηρος, καίτοι κατὰ φύσιν ὑπάρχων σκληρὸς, οὐκ ἂν ἀλωβήτως ὁμιλῆσαι τοῖς τῶν λίθων ἀπηνεστέροις, εἰ μὴ τὴν ἐκ τοῦ στομοῦσθαι προσλάβοι δύναμιν· οὕτως ἡ ἀνθρώπου ψυχὴ κἂν σφόδρα νεανιεύηται ταῖς εἰς πᾶν ὁτιοῦν ἀγαθὸν ἀπαρατρέπτοις ἐπιθυμίαις, ἀλλὰ τῆς τῶν ἐντεῦθεν ἀγώνων σκληρότητος οὐ περιέσται ποτὲ, μὴ οὐχὶ πρότερον τῇ διὰ τοῦ θείου Πνεύματος ἁδρυνθεῖσα χάριτι. οὐκοῦν ἀσθενέστεροι μέν πως τὸ ἐν ἀρχαῖς καὶ αὐτοὶ τυχὸν ἦσαν οἱ μαθηταὶ, κομισάμενοι δὲ τὸ Πνεῦμα τοῦ ὑπὲρ πάντας Θεοῦ, b τὴν ἑαυτῶν ἤδη παρελάσαντες ἀσθένειαν, εἰς τὴν ἐκείνου στεῤῥότητα μετεπλάττοντο, τῇ κοινωνίᾳ τῇ πρὸς αὐτὸ πρὸς τὴν ὑπὲρ φύσιν ἀνατρέχοντες εὐτολμίαν.

Ἀναγέγραπται τοίνυν χρησίμως καὶ ἡ τῶν ἁγίων ἀσθένεια πρὸς ἔπαινόν τε καὶ δόξαν Θεοῦ, μετατιθέντος εἰς δύναμιν τὸ ἠσθενηκὸς, καὶ ὥσπερ τινὰ πύργον ἀνιστάντος ἄμαχον τὸ καὶ ψιλοῖς εὐανάτρεπτον φόβοις, καὶ μόναις ἔσθ᾿ ὅτε ταῖς ἐκ τοῦ τι παθεῖν ὑποψίαις κατεῤῥαγός. εἴη δ᾿ ἂν

8. ἡμῶν assumptum ex E. 11. κεχαλκευμένοι F. Ed. mg. κεχαλμένοι Ed. 30. ψιλοῖς] + καὶ Ed. invito E. Pro μόναις iterum φόβοις exhibet E.

c εἰς τύπον τε καὶ παραψυχὴν ἡμετέραν, τὸ ἐνί που τυχὸν ἢ ὀλίγοις τῶν ἁγίων συμβεβηκός. διδασκόμεθα γὰρ ἐντεῦθεν μὴ ταῖς ἑαυτῶν ἀσθενείαις ἐνορῶντας ἔσθ' ὅτε καταναρκᾶν ἀβουλότατα τὸ δουλεύειν τῷ Θεῷ, πεποιθέναι δὲ μᾶλλον ἐπὶ τῷ πάντας νευροῦν ἰσχύοντι, καὶ τοῖς ὑπὲρ φύσιν ἐναβρύνεσθαι κατορθώμασι καὶ παρ' ἐλπίδα χαριζομένῳ.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

d

Exod. xxiii. 7; cf. Deut. i. 16.

Κρῖμα δίκαιον κρίνετε, καὶ "ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς," διαῤῥήδην οὕτως ἀνακεκραγότος τοῦ νόμου καὶ τῆς θείας ἐντολῆς, ἐπερυθριῶσι μέν πως τῇ τῶν αἰτιῶν ἐρημίᾳ καὶ οὐχ ἑκόντες οἱ δείλαιοι· ἀπροφάσιστον δὲ ἤδη τὴν κατὰ Χριστοῦ μανίαν εὑρίσκοντες, εἰργόμενοί τε τῆς αὐτοκτονίας διὰ τὸν ἐπικείμενον ἁγνισμόν· ἔμελλον γὰρ ἤδη θύειν τὸ πάσχα, κατὰ τὸν οὐδὲν παρ' αὐτοῖς ἰσχύοντα νόμον· Πιλάτῳ προσάγουσιν, ἐκ πολλῆς ἄγαν ἀσυνεσίας τοῖς τῆς ἀδίκου μιαιφονίας ἐγκλήμασιν οὐκ ἂν ὅλως ἐνσχεθῆναι πιστεύσαντες, εἰ αὐτόχειρες μὲν οὐκ ἂν εἶεν αὐτοί, προσοίσειαν δὲ μᾶλλον ταῖς ἑτέρου χερσὶν ἐκεῖνο πεισόμενον, κἂν τοῖς διὰ Μωυσέως ἀπᾴδῃ νόμοις ὅπερ ἦν αὐτοῖς κατὰ νοῦν. γελοιό-
1033 A. a τατον δὲ σφόδρα κἀκεῖνο πρὸς τούτῳ πεπραχότες ἁλώσονται. εὐθύνοντες γὰρ ὡς ἐπὶ τοῖς ἐσχάτοις κατεγνωσμένον τὸν ἡμαρτηκότα μηδὲν, καὶ τὴν οὕτω φρικωδεστάτην ἀσέβειαν τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς, τὸν τοῦ πραιτωρίου φεύγουσιν οὐδὸν, ὡς ἐσόμενον αὐτοῖς παραίτιον μολυσμοῦ, καὶ τὸ ἀνδράσιν ἐπιμίσγεσθαι τοῖς ἀνάγνοις ἔτι παραιτοῦνται διὰ σπουδῆς. λίθους γὰρ, οἶμαι, καὶ ἀνθρώπων τῶν ὁμογενῶν σώματα καταμολύνειν δύνασθαι πεπιστεύκασι τὴν ἀνθρώπου ψυχήν· τὸ δὲ δὴ πάντων αἴσχιστον τῶν κακῶν,

5. τῷ] τὸν E. 6. χαριζόμενον E. 13. δήλαιοι E.

τὴν ἀδικωτάτην μιαιφονίαν, οὐδὲν ὅλως αὐτοῖς προστρί- b
βεσθαι νενομίκασι βλάβος. καὶ τό γε παράδοξον, μᾶλλον
δὲ τῶν ἄλλων εὐηθέστερόν τε καὶ ἀλογώτερον, ἁγνεύουσι
διὰ τὴν τοῦ προβάτου σφαγὴν, ἕτερον ἡμῖν ἀνατυποῦντος
οὐδὲν ἢ τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν σκιάν· οἱ δὲ τὸν
τύπον τιμῶντες τοῦ πράγματος εἰς αὐτὴν ὑβρίζουσι τὴν
ἀλήθειαν. πλαττόμενοι γὰρ ἐπ᾽ αὐτῷ τὴν ἁγνείαν, τῇ κατὰ
Χριστοῦ μιαιφονίᾳ μεμόλυνται. καλῶς οὖν ἄρα, ὁτὲ μὲν
τάφους κεκονιαμένους αὐτοὺς ὠνόμαζε, τοῖς ἔξωθεν καὶ ἐκ S.Matth. xxiii. 27.
τέχνης αὐτοῖς ἐπηωρημένοις περιβλήμασιν ἐξωραϊσμένους, c
ἔσωθεν γεμὴν δύσοσμον καὶ δυσαχθεστάτην ἔχοντας τὴν
ἀκαθαρσίαν· ὁτὲ δὲ πάλιν, διυλίζειν μὲν ἔφη τὸν κώνωπα, Ib. 24.
καταπίνειν δὲ τὸν κάμηλον. ἀκριβολογούμενοι γὰρ πολ-
λάκις ἐπὶ τοῖς ἁπάντων, ὡς ἔπος εἰπεῖν, ἐλαχίστοις τε καὶ
μείοσιν, ἢ καὶ ἐπὶ μηδενὶ παντελῶς· τί γὰρ ὅλως ὁ κώνωψ;
τὰ τῶν ἐγκλημάτων περιπληθέστερα τίθενται παρ᾽ οὐδὲν,
καὶ ποτηρίου μὲν καὶ πίνακος ἀπονίζουσι τὸ ἔξω, λόγος δὲ Ib. 25.
αὐτοῖς παντελῶς οὐδεὶς τῆς ἔνδον ἀκαθαρσίας. ἰδοὺ γὰρ
ἰδοὺ καίτοι τοῦ προφήτου λέγοντος Ἱερεμίου σαφῶς "Ἀπό- Hier. iv. 14.
"πλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλὴμ, ἵνα
"σωθῇς," τὴν μὲν ἔσω καὶ ἐν διανοίαις ἀσέβειαν οὐδὲν εἶναι d
κομιδῇ διαπεπιστεύκασι· προσάγοντες δὲ Πιλάτῳ Χριστὸν,
παραιτοῦνται τόπους ὡς ἐναγεῖς καὶ ἀνδρῶν ἀπεριτμήτων
σώματα, καὶ εἰ μὴ δρῷεν αὐτοὶ ταῖς ἰδίαις χερσὶ τὸ παρά-
νομον, ὑπουργὸν δὲ ὥσπερ τῆς ἑαυτῶν ὠμότητος ποιοῖντο
Πιλάτον, ἔξω δὴ πάσης αἰτίας διαμένειν ἐξ ἀνοίας ὑπολαμ-
βάνουσι. θαυμάσειε δ᾽ ἄν τις οὐδὲ ταύτην αὐτῶν ἠγνοη-
κότας τὴν ἀσέβειαν τοὺς ἁγίους εὑρίσκων προφήτας· ἔφη
γάρ που περὶ αὐτῶν ὁ μακάριος Ἡσαΐας "Οὐαὶ τῷ ἀνόμῳ· Es. iii. 11.
"πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται
"αὐτῷ." Ἰεζεκιὴλ δὲ πάλιν "Καθὼς ἐποίησας, οὕτως ἔσται Obad. 15.

4. ἀνατυποῦντες (pro more) E. 11. δύσοσμον F. Ed. mg. δύσσομον (sic) E. δύσομον Ed.

“ σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφα-
“ λήν σου.” καὶ μὴν καὶ αὐτὸς ὁ θεῖος ἀναφωνεῖ μελῳδός
Ps. xxvii. 4. “ Ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς, κατὰ τὰ ἔργα τῶν
1034 A. a “ χειρῶν αὐτῶν δὸς αὐτοῖς.” ὥσπερ γὰρ αὐτοὶ τὸν ἁπάντων
Σωτῆρα καὶ Χριστὸν τοῖς Ῥωμαίων προσήγαγον στρατη-
γοῖς, οὕτω τὸ ἴσον ἐξ ἀντιστροφῆς ὑπομένοντες τῇ τῶν
Ῥωμαίων παραδέδονται δυναστείᾳ, καὶ τῇ τῶν τότε κρα-
τούντων χειρὶ δεδαπάνηνται. δεινὸς γὰρ οὕτω κατ᾽ αὐτῶν
ἐξεκαύθη πόλεμος, καὶ ἀπηχεστάταις οὕτω κεκοινωνήκασι
συμφοραῖς, ὡς εἴπερ ἐξῆν, ὄρεσί τε καὶ πέτραις εἰσδύνοντας
ἐντεθνάναι τινὰς πρὸ τῆς τοῦ πολέμου θέας ἥδιον ἂν ἑλέ-
b σθαι, καὶ τοῦτο πολλούς· ὃ δὴ αἱρήσεσθαι προαγγέλλων ὁ
S. Luc. xxi. 20. Κύριος ἔφασκεν “ Ὅταν ἴδητε κυκλουμένην ὑπὸ στρατο-
Ib. xxiii. 30. “ πέδων τὴν Ἱερουσαλὴμ, τότε ἐρεῖτε τοῖς ὄρεσι Καλύψατε
“ ἡμᾶς καὶ τοῖς βουνοῖς Πέσατε ἐφ᾽ ἡμᾶς.”

29 Ἐξῆλθεν οὖν ὁ Πιλάτος ἔξω πρὸς αὐτοὺς καί φησι Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;

Παραιτοῦνται μὲν, ὡς ᾤοντο, τὸν ἐκ λίθων καὶ τοίχων
c μολυσμὸν, ἔξεισι δὲ ὁ Πιλάτος, καὶ διαπυνθάνεται μὲν τῆς
πρὸς αὐτὸν ἀφίξεως τὴν αἰτίαν, ἐξαιτεῖ δὲ εἰπεῖν τὰ τοῦ
προσοισθέντος ἐγκλήματα, κατακρίνων καθ᾽ ἕτερον τοὺς τῶν
Ἰουδαίων καθηγητάς. ἀνὴρ γὰρ ἀλλογενὴς τὸν τῶν Ἰου-
δαίων δυσωπεῖται θεσμὸν, καὶ τὸ κρατῆσαν παρ᾽ ἐκείνοις
ἔθος ἐξ εὐλαβείας αἰσχύνεται. ἐξέθει γὰρ ἀσυνήθως τοῦ
φροντιστηρίου, τὸ ὅσον εἰπεῖν ἐπὶ τῇ δυνάμει τοῦ πράγ-
ματος τοῖς Ἰουδαίοις διὰ τούτου φράσας, ὅτι χρὴ τηρεῖσθαι
τὸν νόμον· οἱ δὲ τοῖς θείοις ἐντάλμασι φρονοῦντες τὰ
d ἐναντία, καὶ μικρὰ κομιδῇ τῶν διὰ Μωυσέως τεθεσπισμένων
φροντίσαντες, ἄδικον ἐργάζονται φόνον, καὶ ὁ μὲν ἔξω νόμου

14. ὄρεσι—βουνοῖς hoc ordine E. ὄρεσι et βουνοῖς inter se tr. Ed. 15. πέσατε E. cf. supra 517 b. in xii Proph. 148 b. πέσετε Ed.

τοῦ παρ᾽ αὐτοῖς φιλοπευστεῖ τὰ ἐγκλήματα καὶ περιεργάζεται τὰς αἰτίας, τοὺς οὐδὲν ἡμαρτηκότας εὐθύνεσθαι δεῖν ἤγουν εἰσπράττεσθαί τινα δίκην, τῶν ἀτόπων εἶναι παραδεικνύς· οἱ δὲ λέγειν ἔχοντες οὐδὲν, ὡς τῶν ἀγρίων ἕνα προσκομίζουσι λῃστῶν. εὐλογώτατα τοίνυν πρὸς τὴν τῶν Ἰουδαίων εἴρηται συναγωγήν "Ἐδικαιώθη Σόδομα ἐκ σοῦ." Cf. Ezek. xvi. 52. καὶ αὐτὸς δέ που φησὶν ὁ Χριστὸς τὰς ἐν τούτοις τῶν ἐξ c Ἰσραὴλ παροινίας καταιτιώμενος "Ἀλλ᾽ οὐδὲ κατὰ τὰ "δικαιώματα τῶν ἐθνῶν ἐποίησάς μοι." Ezek. v. 7. καὶ ἀληθὴς ὁ λόγος, εἴπερ Ἕλληνες μὲν τοῖς ἐν ὑπολήψει γεγονόσι θεῶν λίθοις τε καὶ ξύλοις, οὐκ ἂν τὰ συνήθη προσοίσειαν θύματα μεμολυσμέναις τε καὶ ἀνίπτοις χερσὶν, ἀλλ᾽ οὐδ᾽ ἂν ἀνέλοιέν τινα μὴ οὐχὶ τοῖς ἐσχάτοις ἐναλόντα κακοῖς· οἱ δὲ καίτοι θύειν τῷ κατὰ φύσιν Θεῷ τὸ πάσχα μέλλοντες, αἵμασιν ἀθῴοις ἔνοχον τὴν οἰκείαν καθιστῶσι ψυχὴν, καὶ ἀδίκως ἀποκτεῖναι a **1035 A.** σπουδάζουσι τὸν ἁπάσης ἁμαρτίας ἀλλότριον.

Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ 30 ἄν σοι παρεδώκαμεν αὐτόν.

Ἀποροῦσι μὲν αἰτίας εὐλόγου, περιστέλλονται δέ πως τῆς ἀσεβείας τὸ αἶσχος καὶ τὸ δοκεῖν ἀδίκως ἑλέσθαι φονᾶν, σοφιζόμενοι ὡς οὐδόλως ἀποτίσοντα δίκην προσεκόμισαν ἂν b τὸν Ἰησοῦν, εἰ μή τι καὶ πταίσας ἥλω, φασίν. ὑποπλάττονται γὰρ ἔτι τοῦ νόμου τὴν τήρησιν, ὁσίαν ἐφ᾽ ἅπασι κρίσιν ποιεῖσθαι προστάττοντος, καὶ τό γε παράδοξον καὶ αὐτὴν ἐξοπλίζουσι τὴν εἰς τὸν νόμον .... πιστεύεσθαι γὰρ ἀξιοῦσιν ὡς νομοφύλακες, οἱ τοῦ νομοθέτου κατηγορεῖν οὐκ ὀκνήσαντες. κακὸν δὲ δρᾶσαί φασι τὸν ἐπ᾽ ἀναιρέσει φαυλότητος ἀφιγμένον, ἵνα φαίνηται πάλιν ὁ Χριστὸς διὰ τῆς τοῦ προφήτου φωνῆς Ἡσαΐου περὶ αὐτῶν εἰπών "Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ᾽ ἐμοῦ, δείλαιοί εἰσιν c Hos. vii. 13.

3. ἤγουν om. E. Statim εἰσάπράττεσθαι E. 9. ἐποίησαν E. 11. ξύλα E. 14. ἀθῴοις E. 25. ἐξωπλίζουσι E. Lacuna 20 fere litt. in E.

“ *ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ* “ *δὲ κατελάλησαν κατ᾽ ἐμοῦ ψευδῆ.*”

31 Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ
τὸν νόμον ὑμῶν κρίνατε αὐτόν.

Τὸν ἐπ᾽ οὐδενὶ, φησὶ, τῶν ἀτόπων ἐληλεγμένον, ἀδιάκριτον δὲ παρ᾽ ὑμῶν ὑπομένοντα τὴν καταῤῥησιν ταῖς ἐκ νόμων ὑποθεῖναι ποιναῖς, ἐμοὶ μὲν οὐ θέμις, κρίνατε δὲ d *μᾶλλον αὐτοὶ κατὰ τὸν ὑμέτερον νόμον, εἴπερ ἄρα, φησὶ, καὶ τὸν ἀνυπαίτιον παντελῶς κολάζεσθαι δεῖν διετάξατο. γέλως δὲ ὄντως οὐ μικρὸς, μᾶλλον δὲ θρήνου διηνεκοῦς ἄξιον, εἰ οἱ μὲν παρ᾽ Ἕλλησι δικαιοῦσι νόμοι τὸν Κύριον, ὡς καὶ κολάζειν ὀκνῆσαι Πιλάτον αὐτὸν ἐπ᾽ ἀσήμοις οὕτως ἐγκλήμασι προσηγμένον, οἱ δὲ καὶ δεῖν ἀποτεθνάναι φασὶ, καίτοι νόμῳ τῷ θείῳ παιδαγωγεῖσθαι μεγαλαυχούμενοι.*

Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι
32 e οὐδένα, ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε σημαίνων
ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

Κώλυμα γενέσθαι φασὶν αὐτοῖς, καὶ ὥσπερ τι βιαιότατον παραπόδισμα τῆς ἀνοσίου μιαιφονίας, τὸν ἐπὶ τοῦ προβάτου σφαγῇ πληρούμενον ἁγνισμὸν, εἴπερ τις ἦν ὅλως παρὰ τοῖς ἐκεῖνα τετολμηκόσιν. ἦ γὰρ ἂν καὶ λίαν ἑτοίμως εἰς ἀσέβειαν ἦσαν αὐτουργοὶ, τῆς ἑτέρου συμπνοίας δεηθέντες οὐδαμῶς. εὐπετέστατος γὰρ τῶν Ἰουδαίων ὁ νοῦς εἰς τὸ 1036 A. a *πᾶν ὁτιοῦν ἐργάζεσθαι πονηρὸν, καὶ μηδενὸς φείσασθαι τῶν ἐκτόπων, ἤγουν ἐπερυθριᾶσαί τινι τῶν ἀπᾳδόντων Θεῷ. ἀξιοῦσι τοιγαροῦν δανεῖσαι Πιλάτον αὐτοῖς τὴν οἰκείαν ὠμότητα, καὶ τῆς Ἰουδαϊκῆς ἀπονοίας γενέσθαι μιμητὴν, ὑπηρετῆσαι δὲ σφίσιν ἔν γε τῷ παρόντι τυχὸν οὐκ ἐλευθέραν πως ἔχουσι τὴν εἰς μανίαν ἀποδρομήν. ἀλλὰ καὶ*

6. ὑμῶν E.F. ἴσ. ἡμῶν Ed. mg. Neutrum habet Ed. 17. ἔμελλεν E. 20. ἦν om. Migne. 26. Πιλάτον E. Migne. Πιλάτου Aub. 28. γε assumptum ex E.

τοῦτό φασιν ἀληθεύοντα πάλιν ἀποφῆναι τὸν Χριστὸν, καὶ προεγνωκότα μὲν πῶς ἢ τίνα τεθνήξεται τρόπον, προμηνύσαντα δὲ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς. τί γὰρ ἔφη πρὸς αὐτούς; "Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ b S. Matth. xx. 18, xxvi. 45, xvii. 23. *"ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ σταυρώ-"σουσιν αὐτὸν, καὶ ἀποκτενοῦσι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερ-"θήσεται." ἀναγκαία δὲ καὶ τούτων ἡ μνήμη. προεγνωκότα γὰρ ἔδει παθεῖν, ἵνα μήτις οἴηται τοῖς ἀβουλήτοις περιπεσεῖν τὸν ᾧ πάντα ἐστὶ "γυμνὰ καὶ τετραχηλισμένα," πιστεύηται* Heb. iv. 13. *δὲ μᾶλλον ὡς ἐθελοντὴς τὸν ὑπὲρ ἡμῶν καὶ δι' ἡμᾶς ὑπέστη σταυρόν.*

Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλάτος καὶ ἐφώνησε 33
τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; c

Οὐδὲν ἔχοντες τὸ παράπαν ἐγκαλεῖν, ἤγουν τι παρακομίσαι τῶν ὅσα δικαίαν ἐπισύρεσθαι δοκεῖ τοῖς δεδρακόσι τὴν κόλασιν, ἐγκειμένου δέ πως καὶ τὰς αἰτίας τῆς προσαγωγῆς ἐξαιτοῦντος Πιλάτου, πεπλημμεληκέναι φασὶν εἰς Καίσαρα τὸν Ἰησοῦν, τὴν ἐκείνῳ πεπορισμένην κατὰ τῶν Ἰουδαίων ἀρχὴν εἰς ἑαυτὸν ἁρπάζοντα, καὶ μετατιθέντα τῆς βασιλείας τὴν δόξαν εἰς ἰδίαν ὑπόληψιν. πονηρῶς τε σφόδρα μεμη- d *χάνηται τὸ σκαιώρημα καὶ ὁ τῆς συκοφαντίας ἐξηρτύθη τρόπος· ᾔδεσαν γὰρ ὅτι καὶ οὐχ ἑκὼν ὁ Πιλάτος προνοήσει μὲν πάντως τῆς καθ' ἑαυτὸν ἀσφαλείας, τιμωρήσεται δὲ τάχα καὶ προαλέστερον τὸν ἐπὶ τούτοις ὅλως καταβοώμενον. σεσαλευμένων γὰρ ἀεὶ πρὸς θορύβους καὶ στάσεις, καὶ μεταχωρούντων εὐκόλως ἐπὶ τὸν τῆς ἀντάρσεως τρόπον τὴν τῶν Ἰουδαίων οἰκούντων χώραν, πικρότεροί πως εἰς τοῦτο λοιπὸν οἱ παρὰ Καίσαρος ἐγίνοντο δικασταὶ, καὶ ἀσφαλέστεροι μὲν* e *τῆς εὐταξίας φύλακες, προπετεστάτας δὲ τοῖς εἰς τοῦτο καὶ μάτην ἔσθ' ὅτε κατειρημένοις τὰς τιμωρίας ἐπῆγον. ἔγκλημα*

1. *φασιν*] Legendum ut vid. *φησιν*. 4–7. Hanc citationis formam videsis supra 1019 b et (ultimis verbis exceptis) infra 1058 d. 10. *ἐθελοντὶς* E. 26. *τῶν τὴν* bene Migne. 27. *πικρότερόν* E.

τοιγαροῦν Ἰουδαῖοι ποιοῦνται Χριστῷ τὸ βασιλεῦσαι τοῦ
Ἰσραήλ. τοιγάρτοι δικαίως ἐξώσθησαν, προσελήφθη δὲ καὶ
ὑπεζεύχθη τὰ ἔθνη, καὶ ὑπὸ τὴν βασιλείαν τέθεινται τοῦ
Ps. ii. 8. Χριστοῦ. "Αἴτησαι γὰρ παρ' ἐμοῦ, φησὶ, καὶ δώσω σοι
"ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ
"πέρατα τῆς γῆς." παροιστρήσαντος γὰρ ἑνὸς ἔθνους τοῦ
1037 A. a ἐξ Ἰσραὴλ, πάντα τὰ ἔθνη δίδοται τῷ Χριστῷ, καὶ ἀντὶ
μιᾶς γῆς, φημὶ δὴ τῆς Ἰουδαίων, τὰ τῆς οἰκουμένης πέρατα.
Rom. xi. 12. ὡς γὰρ ὁ Παῦλός φησι "Τὸ παράπτωμα αὐτῶν πλοῦτος
"κόσμου καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν."

Ὅπερ οὖν ἀκήκοεν ὁ Πιλάτος διαγογγυζόντων τῶν Ἰουδαίων, ἐναργῶς ἤδη φησὶ, καὶ ἀπολογεῖσθαι κελεύει τὸν Κύριον, εἰ κατὰ ἀλήθειαν αὐτὸς εἴη τῶν Ἰουδαίων ὁ βασιλεύς. ἀγωνιᾷ δὲ, ὡς εἰκὸς, καὶ κινδυνεύειν οἴεται τὴν Καίσαρος
b ἀρχὴν, φιλοπευστεῖ τε καὶ διὰ τοῦτο λίαν, ὡς ἤδη τὴν δέουσαν ἐπανόρθωσιν ἐπικομίσων τοῖς δεδραμένοις, ἵνα καὶ ἀνέγκλητον ἀποδείξῃ τὴν ἐπιτετραμμένην αὐτῷ παρὰ Ῥωμαίων ἀρχήν.

34 Ἀπεκρίθη Ἰησοῦς Ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι εἶπόν σοι περὶ ἐμοῦ;

Κατειρηκότος, φησὶν, ἐναργῶς οὐδενὸς ἐπὶ τούτοις ἐμοῦ,
c πόθεν ἄρα σοι πρόεισιν ὁ περὶ τούτων λόγος; ἀλλ' οὐδαμόθεν ἀμφίβολον ὅτι τῆς Ἰουδαίων κακονοίας τὸ κακούργημα, καὶ ὁ πικρὸς οὑτοσὶ διεσκεύασται δόλος· οὐ γὰρ δήπου, φησὶν, ἔσῃ μὲν αὐτὸς δικαστὴς, ἔσῃ δὲ καὶ κατήγορος. ἐλάλει δὲ ταυτὶ Χριστὸς, εἰς ἐννοίας ἀνακομίζων Πιλάτον, ὡς οὐκ ἂν αὐτόν τι διαλάθοι καὶ τῶν ἀφανεστέρων καὶ ἐν παραβύστῳ κατεσκευασμένων τε καὶ εἰρημένων, ἵνα
d λοιπὸν ἐννοήσας τὴν ὑπὲρ ἄνθρωπον φύσιν, ὀκνηρότερόν πως ἴοι πρὸς ὑπουργίαν τῆς τῶν προσαγόντων ὠμότητος,

6–8 citant Catt. in Ps. ii. 9. Τὸ assumptum ex E. 26. δὲ] + καὶ Ed. invito E. εἰς ἐννοίας ἀνακομίζων Πιλάτον post εἰρημένων (28) transponit E.

ὁμοῦ δὲ κἀκεῖνο διδάσκων, ὅτι λίαν ἀδικεῖ τῆς ἑτέρων φωνῆς ὑπέχειν δίκας ἐκβιαζόμενος τὸν ἐπ᾽ οὐδενὶ τῶν τοιούτων ἐληλεγμένον.

Ἀπεκρίθη ὁ Πιλάτος Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ 35
σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;

Ἐκφανὲς ἤδη ποιεῖ τὸ τῶν Ἰουδαίων ληστήριον, καὶ τὴν τῶν κατηγόρων πληθὺν μονονουχὶ παρεκόμισεν εἰς μέσον. e
ὅμοιον γὰρ ὡσεὶ λέγοι τυχόν Οὐκ ἐμοὶ μᾶλλον ἁρμόσει τὸ εἰδέναι τὰ σὰ, εἰμὶ γὰρ οὐκ Ἰουδαῖος, πρέποι δ᾽ ἂν μάλιστα τοῖς συνέθνοις καὶ συντεθραμμένοις, οἳ καὶ ἴσως ἐγνωκότες τεθνηξόμενον ἄγουσι. κατηγορεῖ τοιγαροῦν τῆς ἑαυτοῦ κεφαλῆς. τὸ γὰρ εἰπεῖν Τί ἐποίησας, οὐδὲν ἕτερον ἢ τοῦτο μᾶλλον ὑποδηλοῖ. σπουδὴ δὲ πολλὴ τῷ ἁγίῳ γέγονεν Εὐαγγελιστῇ, καὶ τὰ ἐπ᾽ αὐτῇ μάλιστα τῇ κρίσει κατὰ λεπτὸν διηγήσασθαι καὶ ὅτι Πιλάτος Τί πεποίηκας ἠρώτα τὸν Ἰησοῦν. ἦν γὰρ διὰ τούτου μάλιστα μαθεῖν τὴν τῶν ἐγκλημάτων ἀπορίαν, καὶ ὅτι παραδειχθέντος οὐδενὸς, ἤγουν a 1038 A.
ἐλεγχθέντος ἐπί τισι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, δυσσεβὴς καὶ ἀδικωτάτη λοιπὸν ἡ τοῦ θανάτου ψῆφος ἐκβέβηκεν.

Ἀπεκρίθη Ἰησοῦς Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου 36
τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο ἂν ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

Ἔλυσε τῷ Πιλάτῳ τὸν φόβον, ἅτε δὴ τῆς τοῦ Καίσαρος βασιλείας κεχειροτονημένῳ φύλακι· ᾤετο μὲν γὰρ b
νόμῳ δὴ πάντως τῷ καθ᾽ ἡμᾶς μελετᾶσθαι παρὰ Χριστοῦ τὴν ἀνταρσιν, πεφλυαρηκότων καὶ τοῦτο τῶν Ἰουδαίων. τοῦτο γὰρ δὴ καὶ ὑπῃνίττοντο λέγοντες "Εἰ μὴ ἦν οὗτος "κακοποιῶν, οὐκ ἂν σοι παρεδώκαμεν αὐτὸν," τὴν ἀνταρσιν Supra ver. 30.

6. ληστηριον E. Ed. *μυστήριον* F. *ἴσ. μυστήριον* Ed. mg. 28. δὴ] + *πάντως* e supra (ut solet) E.

εἶναι λέγοντες τὸ κακόν. ὑπεπλάττοντο γὰρ εὐνοεῖν ἐθέλειν
οὕτω Ῥωμαίοις, ὡς μηδόλως ἀνέχεσθαι κἂν γοῦν διὰ
γλώττης ἔχειν τὸ τῆς ἀποστάσεως ὄνομα. ταύτης οὖν ἕνεκα
c τῆς αἰτίας προσαγηοχέναι τε φασὶ καὶ δίκας ἀποτίσοντα
παρενεγκεῖν. ἀπολογούμενος δὲ πρὸς ταῦτα Χριστὸς, τὸ
μὲν εἶναι βασιλεὺς οὐκ ἠρνήσατο· λέγειν γὰρ ἔδει τὸ
ἀληθές· ὅτι δὲ τῆς τοῦ Καίσαρος βασιλείας οὐ πολέμιος
ἦν ἀπελέγχει σαφῶς, οὐκ ἐπίγειον οὖσαν τὴν ἑαυτοῦ ση-
μαίνων ἀρχὴν, ἀλλ' οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἔτι
μειζόνων θεοπρεπῶς ἐξάρχουσαν.

Τίς οὖν ἄρα λοιπὸν ἡ ἀπόδειξις, καὶ πόθεν ἡ τῆς ἐπὶ
τούτοις ὑποψίας ἀναίρεσις; τὸ μὴ δορυφόροις τισὶ καὶ
d προασπισταῖς ἀποκεχρῆσθαι πώποτε, ἤγουν ὅλως ἔχειν τοὺς
ἀνθοπλίζεσθαι δεῖν ἑλομένους, καὶ οὐχ ὅπως ἂν τῆς βασι-
λείας μὴ ἀποπέσοι μόνον, ἀλλὰ γὰρ οὐδ' ἵνα διαδρῴη τὸν
ἐπαρτηθέντα κίνδυνον αὐτῷ καὶ τοῦτο διὰ τῆς Ἰουδαίων
χειρὸς ἐπιῤῥιπτούμενον· μήτι γε καὶ αὐτοῦ τοῦ κρατοῦντος
Ἰουδαίων, τουτέστι, τοῦ Καίσαρος. λελυμένης οὖν ἄρα τῆς
εἰς τοῦτο καταβοῆς διὰ τῆς οὕτως ἐναργοῦς ἀποδείξεως,
ἀπροφάσιστον ἤδη Πιλάτῳ τὸ κατὰ Χριστοῦ φαίνεται
θράσος. οὐδενὸς γὰρ ἐπαναγκάζοντος, ἤγουν ἐξ ἀκολουθίας
εἰς τοῦτο καθέλκοντος, ταῖς τῶν Ἰουδαίων ἡδοναῖς τῆς
e ἑαυτοῦ ψυχῆς χαρίζεται τὴν ἀπώλειαν, καὶ μερίζεται σὺν
αὐτοῖς τῆς χριστοκτονίας τὰ ἐγκλήματα. εἰρηκὼς γεμὴν ὁ
Χριστὸς ὑπερκόσμιόν τινα εἶναι τὴν ἑαυτοῦ βασιλείαν, οὐ
μόνον τοῦ φόβου Πιλάτον ἐξίστησι, καὶ ὑπονοίας ἐλευθεροῖ
τῆς κατὰ τὴν ἄνταρσιν, ἀλλά τι καὶ μέγα περὶ ἑαυτοῦ νοεῖν
ἀναπείθει, καὶ ἀπάρχεταί πως διὰ τῆς ἀπολογίας τῆς ἐπ'
αὐτῷ κατηχήσεως.

25. τινα εἶναι hoc ordine E.

a 1039 A.
Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος Οὐκοῦν βασιλεὺς εἶ σύ; 37

Ἔγκλημα ποιεῖται κατὰ Χριστοῦ τὴν ἀλήθειαν. ἀκούσας δὲ ὅτι "Ἡ ἐμὴ βασιλεία οὐκ ἔστιν ἐντεῦθεν," φόβου μὲν ἤδη τοῦ κατὰ τὴν ἄνταρσιν ἀπαλλάττεται· ἵστησι δ' οὖν ὅμως εἰς ὁμολογίαν τοῦ πράγματος, καὶ εἰς ἐγκλήματος ὁρίζει δύναμιν τὸ καὶ ὅλως εἰπεῖν, ὅτι βασιλείαν ἔχει, κἂν μὴ ἐπίγειον εἶναι δισχυρίζηται. συνελαύνων οὖν ὥσπερ εἰς τοῦτο τὸν Ἰησοῦν Συνωμολόγηκας ἤδη, φησὶν, ὅτι βασιλεὺς εἶ σύ.

Supra ver. 36.

Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Σὺ λέγεις ὅτι βασιλεύς εἰμι. ἐγὼ εἰς b
τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα
μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει
μου τῆς φωνῆς. λέγει αὐτῷ ὁ Πιλάτος Τί ἐστιν ἀλήθεια; 38

Οὐκ ἀρνεῖται τῆς ἑαυτοῦ βασιλείας τὴν δόξαν, οὐδὲ ταῖς τοῦ Πιλάτου φωναῖς ἀπονέμει μόναις τὴν ἐπὶ τούτῳ βεβαίωσιν· βασιλεὺς γάρ ἐστιν, ὡς Θεὸς, καὶ εἰ μή τις βούλοιτο τυχόν· ἀλλ' ἔδειξε πάλιν τῆς ἀληθείας τὴν δύναμιν, καὶ οὐχ ἑκόντα Πιλάτον ἀναπειθούσης εἰπεῖν τοῦ κρινομένου τὴν δόξαν· σὺ γὰρ εἴρηκας, φησὶν, ὅτι βασιλεύς εἰμι ἐγώ. διά c γε τοι τοῦτο γεγεννῆσθαί τε καὶ ἀφικέσθαι φησὶν εἰς τόνδε δηλονότι τὸν κόσμον, ὅτε γέγονεν ἄνθρωπος, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ, τουτέστιν, ἵνα τοῦ κόσμου τὸ ψεῦδος ἐξελὼν, καὶ τὸν ἐξ ἀπάτης τυραννήσαντα καταστρέψας δαίμονα, βασιλεύουσαν τῶν ὅλων ἐπιδείξῃ τὴν ἀλήθειαν, τουτέστι, τὴν ἀληθῶς τε καὶ φυσικῶς βασιλίδα φύσιν, ᾗ καὶ τὸ κατάρχειν δύνασθαι καὶ κρατεῖν οὐρανοῦ τε καὶ γῆς καὶ παντὸς ἁπαξαπλῶς τοῦ παροισθέντος εἰς γένεσιν, οὐκ ἐκ πλεονεξίας πεπόρισται, ἀλλ' οὐδὲ ἐπακτὸν ἢ ἔξωθεν, οὐσιωδῶς δὲ καὶ φυσικῶς ἐνυπάρχον φαίνεται. ἵνα δὲ πάλιν ἀποφήνῃ Χρι- d στὸς ὅτι τῆς Πιλάτου δυσηκοΐας οὐκ ἠγνόησε τὸ σκληρὸν

24. τῇ ἀληθείᾳ E. 26. τε om. E.

καὶ δυσπαρακόμιστον εἰς τὸ φρονεῖν ἐθέλειν ὀρθῶς, ἐπάγει χρησίμως Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. εὐπαράδεκτος γὰρ τῆς ἀληθείας ὁ λόγος τοῖς ἤδη μαθοῦσί τε καὶ ἀγαπῶσιν αὐτὴν, τοῖς δὲ μὴ τοιούτοις, οὐκέτι. καὶ
Es. vii. 9. *γοῦν ὁ προφήτης ἔλεγεν Ἡσαΐας πρός τινας "Ἐὰν μὴ "πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε." ὃ καὶ εὐθὺς ἀληθὲς ὑπάρχον ἀποδεικνὺς ὁ Πιλάτος ἔφη Τί ἐστιν ἀλήθεια; ὅνπερ γὰρ τρόπον τοῖς τὴν τοῦ σώματος ὄψιν λελωβημένοις, καὶ ἐκπεπτωκόσι παντελῶς τῆς δι' ὀφθαλμῶν αἰσθήσεως, ἐν οὐδενὶ τέτακται παντελῶς, ὅσον ἧκεν εἰς εὐχροίας δύναμιν, καὶ εἰ χρυσόν τις παρακομίσειε, καὶ εἰ λαμπρὸν καὶ πολύ-*
1040A. a *τιμον ἐπιδείξαι λίθον· ἀλλὰ καὶ αὐτὸ τῆς ἡλίου μαρμαρυγῆς ἀθαύμαστον ἔσται τὸ φῶς, οὐδεμίαν αἴσθησιν ἐνιέντος αὐτοῖς τοῦ πράγματος, ἤγουν ἀπόνασθαί τινος τῶν τοιούτων ἐξόν· οὕτω τοῖς ἔχουσι πεπηρωμένον τὸν νοῦν ἀκαλλεστάτη τις εἶναι δοκεῖ καὶ δυσειδὴς ἡ ἀλήθεια, καίτοι νοητήν τε καὶ θείαν μαρμαρυγὴν ταῖς τῶν ὁρώντων αὐτὴν ἐνιεῖσα ψυχαῖς.*

Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει
39 αὐτοῖς Ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν. ἔστι δὲ συνή- θεια ὑμῖν ἵνα ἕνα δέσμιον ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα·
b βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;

Εἰς κατάκριμα τῆς Ἰουδαίων ἀφιλοθεΐας τε ὁμοῦ καὶ ὠμότητος, τὴν τοῦ δικαίου καὶ πρέποντος προΐσχεται γνῶσιν, ὁ μὴ τοῖς θείοις μαθήμασιν ἐπαυχῶν, ἀνθρωπίνων δὲ φύλαξ διορισμάτων, καὶ ὧν δῶρον εἶχε τὴν ἀρχὴν, τούτων ὅτι δὴ μάλιστα τὰ θεσπίσματα δυσωπούμενος. ὁ δρῶντάς τε καὶ φρονεῖν ἑλομένους τοὺς τῶν Ἰουδαϊκῶν ταγμάτων καθηγητὰς, ἣν ἂν δήπου καὶ λίαν εἰκὸς τὴν τοῦ διαβόλου
c *πάγην ὑπεκθέοντας, καὶ τὸ τῶν ἄλλων ἁπάντων μυσαρώ-*

8. *καὶ* om. E. 20. Ἐγὼ] + δὲ E. 21. ἀπολύσω E. ἀπολύω Ed.

τατον ὑπεκκλῖναι κακὸν, τὴν κατὰ Χριστοῦ δὲ δηλονότι μιαιφονίαν φημί. παραιτεῖται τοιγαροῦν ὁ Πιλάτος ἐπ' οὐδενὶ τῶν ἀτόπων ἁλόντος ἢ ἐληλεγμένου καταδικάσαι Χριστοῦ, καὶ τὸν αἰτίας ἁπάσης ὡς πoῤῥωτάτω μὴ δὴ χρῆναι δίκας εἰσπράττεσθαι λέγει, ἀπῳδόν τε εἶναι παντελῶς καὶ τοῖς κατ' αὐτὸν τοῦτο νόμοις εὖ μάλα διισχυρίζεται, τὴν κατὰ τοῦ θείου νόμου φρικωδεστάτην ἀπόνοιαν τῶν Ἰουδαίων ἐκδυσωπῶν. ᾤετο γὰρ δεῖν ἅτε δὴ καὶ τὸν τοῦ δικαίου τε καὶ ἴσου λόγον πρεσβεύειν ἐπαγγελλομένους ἀναπείσειν παραχρῆμα τῇ τοῦ δικαίου καὶ πρέποντος παραθέσει. d διενθυμηθεὶς δὲ πάλιν κατά γε τὸ εἰκὸς, ὅτι τῆς τῶν Ἰουδαίων προπετείας οὐ μετρίως κατηγορήσειεν ἂν τὸ πάσης αἰτίας ἀπολελύσθαι τὸν προσηγμένον, ἵνα μὴ διὰ τοῦτο τυχὸν ἰταμώτερον ἐγκέοιντο, καὶ φιλονεικοῖεν ἀτόπως, ὁδὸν ὥσπερ τῷ πράγματι καὶ χρῶμά τι κάλλιστον ἐπινοεῖ, λέγων Ἔστι συνήθεια ὑμῖν ἵνα ἕνα δέσμιον ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα, βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; βασιλέα δὲ τῶν Ἰουδαίων ὀνομάζων τὸν Ἰησοῦν, χαριεντίζεταί τε ὁμοῦ καὶ ὑποχαλᾷ τῷ γελοίῳ τὴν τῶν λελυττηκότων ὀργὴν, ἐν ταὐτῷ τε δεικνύει καὶ μάλα σαφῶς, ὡς ἐπ' αὐτῷ δὴ τούτῳ κατηγορεῖται μάτην· μὴ γὰρ ἂν ἀφέσεως ἀξιῶσαί ποτε τὸν ἐπὶ τυραννίδι καὶ νεωτερισμῷ τῷ κατὰ Ῥωμαίων κατεγνωσμένον, a 1041 A. τὸν Ῥωμαίων στρατηγόν. δι' ὧν οὖν ἀνεῖναι προτρέπει, μεμαρτύρηκεν αὐτῷ τὸ παντελῶς ἀνυπαίτιον.

Ταυτὶ μὲν οὖν οἶμαι τὸν τῶν προκειμένων δηλῶσαι σκοπόν· διασκεπτομένῳ δέ μοι καὶ σκοποῦντι κατ' ἐμαυτὸν, πόθεν ἄρα τοῖς Ἰουδαίοις ἐν ἔθει γέγονεν ἐξαιτεῖν ἑνὸς ἄφεσιν, ἢ λῃστοῦ τυχὸν ἢ φονευτοῦ, λογισμὸς μὲν ἐπῆλθεν, ὡς οὐκέτι μὲν πάντα κατὰ τὸν θεῖον αὐτοῖς ἐπράττετο νόμον, ἔθεσι δὲ μᾶλλον ἰδίοις ἀποκεχρῆσθαι δοκοῦν, πρὸς ἐξίτηλον

1. Χριστὸν E. 2. δηλοῖ pro φημί E. 3. καταδικάσαι E.F. Ed. mg. καταδικάσῃ Ed. 5. πράττεσθαι E. 9. ἐπαγγελλομένους E. Migne. ἐπαγγελομένους Ed. 12. κατηγορίσειεν E. 20. δείκνυσι Cord. 21. μηδὲ Cord. 22. ἐπὶ] ἐν τῇ Cord. Desunt haec verba in a. 26. σκοποῦντα E. 27. Ἰουδαίων E. ἐξαιτεῖν] τὸ ἐξαιτεῖν Catt.

ἐτράποντο πολιτείαν, καὶ οὐ σφόδρα συνᾴδουσαν τοῖς διὰ b Μωυσέως τεθεσπισμένοις. ἀλλά μοι τὴν θείαν διερευνῶντι γραφὴν καὶ φιλοθηροῦντι πανταχόθεν τὴν τοῦ πράγματος αἰτίαν, παρέπιπτέ τι τῶν θείων λογίων, ὃ καὶ καλεῖ πως εἰς ὑποψίαν τὸν ἡμέτερον νοῦν, μὴ ἄρα τι πληροῦντες τῶν κατὰ τὸν νόμον καίτοι δυσάγωγοι λίαν ὄντες Ἰουδαῖοι τὴν τοῦ κακουργοῦντος ἐζήτουν ἄφεσιν. γέγραπται τοίνυν ἐπὶ τέλει τοῦ βιβλίου τοῦ καλουμένου τῶν ἀριθμῶν ὁ περὶ τοῦ φονεύοντος νόμος ἀκουσίως ἤγουν ἑκουσίως· διωρισμένης δὲ τῆς c δίκης ἐναργῶς τῆς ἐπὶ τῷ κατὰ βούλησιν φονευτῇ, μέτεισιν εὐθὺς ὁ λόγος εἰς τὸν περὶ τοῦ φονεύοντος ἀκουσίως, εἶτα καὶ οὕτω φησὶ μεθ' ἕτερα [Num. xxxv. 22–25.] "Ἐὰν δὲ ἐξάπινα οὐ δι' ἔχθραν ὡς αὐτὸν ᾖ, ἐπιῤῥίψῃ δὲ ἐπ' αὐτὸν πᾶν σκεῦος οὐκ ἐξ ἐνέδρου, ἢ ἐν παντὶ λίθῳ ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ οὐκ εἰδὼς, καὶ πέσῃ ἐπ' αὐτὸν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν οὐδὲ ζητῶν κακοποιῆσαι αὐτὸν, καὶ κρινεῖ ἡ συναγωγὴ ἀνὰ μέσον τοῦ πατάξαντος καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα, καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ ἀποκαταστήσουσιν αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου οὗ ἔφυγε." τοιαύτης οὖν ἄρα d γεγραμμένης ἐντολῆς, εἶτά τινων ὡς εἰκὸς τοῖς τοιούτοις περιπιπτόντων πταίσμασιν, ἵνα πως δοκοῖεν τῶν τῇδε τεθεσπισμένων οὐ παντελῶς ἀλογεῖν, κατὰ πληθὺν συνιόντες Ἰουδαῖοι, τῶν τοιούτων ἐξῄτουν ἕνα. ἔργον γὰρ ὅλης τοῦτο τῆς Συναγωγῆς ὁ νόμος γενέσθαι προσέταττεν. ἀπολύειν γεμὴν ἐξὸν αὐτοῖς, κατά γε τὸ δοκοῦν τῷ νόμῳ, τοῦτο δρᾶν αἰτοῦσι Πιλάτον. καταδεξάμενοι γὰρ ἅπαξ τὴν Ῥωμαίων

1. συνᾴδουσαν] συνῳδὸν Catt. 12. ἐξαπίνης Catt. (Alex. VII) cf. De Ad. 282 a, ab Holmes. cit. ὡς αὐτὸν ᾖ] ὥσῃ αὐτὸν Catt. cum omnibus A. T. libris. 13. αὐτὸν alt. E. Cord. αὐτῷ Ed. 14. ἐν primum om. Cord. et l. c. [habent (IV. 108, 118)]. ᾧ] αὐτῷ E. 17. τοῦ πατάξαντος καὶ ἀνὰ μέσον assumpta ex Cord. Cr. 20. καταστήσει Cord. cf. ἀποκαταστήσει (Alex. X) καταστήσουσι a. Cr. 21. ἄρα γεγραμμένης] ἀναγεγραμμένης Catt. 25. ἐζήτουν a. ἐξῄτουν habet Cord. τοῦτο ὅλης inverso ordine a. invito Cord. 26. ἀπολύσειν Cord. 27. τοῦτο] αὐτοὶ τοῦτο a. 28. αἰτοῦσι] + τὸν a.

ἀρχὴν, τὰ πλεῖστα λοιπὸν τῶν καθ' ἑαυτοὺς τοῖς ἐκείνων παρεχώρουν νόμοις. καὶ γοῦν φονεύειν ἐξὸν τὸν ἐπί τισι τῶν ἀτόπων κατεγνωσμένον, ὡς ἕνα τῶν τοιούτων Πιλάτῳ προσῆγον τὸν Ἰησοῦν, λέγοντες "Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι "οὐδένα." εἰ γὰρ καὶ ἐπλάττοντο τυχὸν τὸν ἐπὶ τῷ ἁγνισμῷ τοῦ πάσχα καθαρισμὸν, ἀλλ' οὖν ἐν τούτῳ δὴ μάλιστα κολακεύουσιν, ὡς τοῖς Ῥωμαίων ἐπιτρέποντες νόμοις καὶ ἅπερ αὐτοῖς ἄνωθεν τὸ θεῖον ἐδίδου πρόσταγμα.

Supra ver. 31.

a 1042A.

Ἐκραύγασαν οὖν πάλιν λέγοντες Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής. 40

Ἐξελέγχονται πάλιν κἀν τούτῳ δὴ σφόδρα παρανομήσαντες Ἰουδαῖοι, καὶ ταῖς οἰκείαις μᾶλλον εἴκοντες ἡδοναῖς, ἤγουν τιμῶντες τὰ πάλαι τεθεσπισμένα· τοῦ γὰρ νόμου τοῦ διὰ Μωυσέως, τὸν ἀκουσίως ἁλόντα φονευτὴν ἀνεῖσθαι κελεύοντος, οὐχ ἕνα τῶν τοιούτων· πόθεν; περιβόητον δὲ b μᾶλλον ἐξαιτοῦσι λῃστήν. ὅτι δὲ ἀπηνής τε καὶ ἄγριος ὁ μνημονευθεὶς καὶ τῶν τῆς μιαιφονίας ἐγκλημάτων οὐκ ἀμοιρήσας ὁρᾶται, σαφηνιεῖ δὴ λέγων ὁ θεσπέσιος Πέτρος πρὸς τοὺς τῶν Ἰουδαίων λαούς "Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον "ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν." τὸν γὰρ διὰ τοῦτο τῆς ἰσότητος τῆς πρὸς Θεὸν καὶ Πατέρα καταφρονήσαντα καὶ τὴν ἡμετέραν πτωχείαν μετημφιεσμένον, ἵν' ἡμᾶς ἐξέληται τοῦ κατὰ ἀλήθειαν φονευτοῦ, τουτέστι, τοῦ σατανᾶ, τῆς εἰς ἕνα λῃστὴν ἀγάπης ὀπίσω c τάττουσιν, οἱ τῇ κατὰ νόμον ἱερωσύνῃ λελαμπρυσμένοι καὶ ὑψηλὴν ἐπὶ τούτοις ἀνατείνοντες τὴν ὀφρὺν, παρελάσαντες δὲ καὶ ὡς οὐδὲν ὅλως παρωσάμενοι τό "Κρῖμα δίκαιον κρί- "νετε," δικαιοῦσι τὸν φονευτὴν, Χριστὸν κατακρίνοντες, παμψηφεὶ δὲ λέγουσι Μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν. Ἰουδαῖοι μὲν οὖν τῆς ἐπὶ τούτῳ δυσσεβείας ἀποτίσουσι δίκας· θαυ-

Acta SS. Ap. iii. 14.

Zach. vii. 9.

3. κατεγνωσμένον τῶν ἀτόπων inverso ordine a. invito Cord. τῷ πιλάτῳ a. 9. πάλιν] + πάντες Ed. invito E. 16. ἀπηνές E. 22. καταφρονήσαντες E.

μάσαι γεμὴν ἀναγκαῖον τὴν θεόπνευστον γραφὴν ὡς ἐκ
προσώπου Χριστοῦ καὶ τῆς οὕτως ἀπεγνωσμένης ἐπιγνω-
d σθεῖσαν καταβοῆς· λέγει γὰρ οὕτως ὁ προφήτης Ἱερεμίας
Hier. xii. 7, 8. "Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν
"μου, ἔδωκα τὴν ἠγαπημένην μου ψυχὴν εἰς χεῖρας ἐχθρῶν
"αὐτῆς· ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ,
"ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς." τί γὰρ ὁ λέων ἐν δρυ-
μοῖς ἐργάζεται, καλὸν ὡς ἔοικεν εἰπεῖν. φασὶ τοιγαροῦν, ὡς
ὅταν τι τῶν ἐν ταῖς ὕλαις κτηνῶν ἀγρεῦσαι βούληται τὸ
μέγα τουτὶ καὶ φρικωδέστατον θηρίον, ἐπί τινα πρῶνα τῶν
e ἐν τοῖς ὄρεσιν ἀρθεὶς, βρυχᾶταί τι μέγα καὶ ἐξαίσιον, καὶ
τοσαύτην ἐνεργάζεται τοῖς ἀκροωμένοις τὴν πτοίαν, ὡς οὐκ
ἐνεγκόντας τῆς ἀπειλῆς τὸ δυσαχθὲς ἀποκτύπημα, παρα-
χρῆμα πεσεῖν, κἂν ἄνθρωπος εἴη κἂν ζῷον ἕτερον, καὶ φωνῆς
ἔργον τῷ θηρὶ γίγνεται τὸ πεσόν. πιστοῦται δέ πως τὸν
ἐπὶ τούτῳ λόγον καὶ διὰ τοῦ προφήτου Θεὸς οὕτως εἰπών
Amos iii. 8. "Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται;" γέγονε τοίνυν
ἡ τῶν Ἰουδαίων Συναγωγὴ, καθάπερ λέων ἐν δρυμῷ τῷ
1043 A. a Σωτῆρι Χριστῷ, κατά γε τὸ ἐγχείρημα τῆς ἐπ' αὐτῷ γλωσ-
σαλγίας· πτοίας γὰρ ὅλως ἢ δείματος ἡ θεία φύσις οὐκ
ἀνέχεται. καταβοήσασα γὰρ ἀπέκτεινεν αὐτὸν, καίτοι Πιλά-
του προτείνοντος ἑλέσθαι τὴν ἄφεσιν, ἵνα καὶ τῶν διὰ νόμου
πεπαιδευμένων ἀμείνους εὑρίσκωνται διὰ πραγμάτων αὐτῶν
καὶ οἱ τὸν θεῖον οὔπω μαθόντες νόμον.

Κεφ. ιθ'. Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε, καὶ
2 οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν
b αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν,
3 καὶ ἤρχοντο πρὸς αὐτὸν καὶ ἔλεγον Χαῖρε ὁ βασιλεὺς τῶν
Ἰουδαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα.

Μαστιγοῖ μὲν ἀδίκως, καὶ τὸν τῶν στρατιωτῶν ἐφίησιν

2. ἐπιγνωσθεῖσαν] οἶμαι ἐπιμνησθεῖσαν F mg. "Trapez. legisse videtur ἐπιμνησθεῖσαν" adnotat Aub. "meminit" Georg. Trap. γνωσ (ut opinor) ex verbo praecedenti iterum repetit Codicis illius e quo E. simul et F. scriba. 6. ἐγενήθη E. 7. τὴν assumptum ex E. 27. περιέβαλλον E. 29. ἐδίδουν E.

ἐσμὸν ἐμπαίζειν αὐτῷ, στεφάνῳ τε τῷ ἐξ ἀκανθῶν περιβαλεῖν, καὶ ἁλουργὲς ἱμάτιον ἐπιῤῥίπτειν, καταικίζεσθαί τε ῥαπίσμασι καὶ ταῖς ἄλλαις ἀτιμίαις. ᾤετο γὰρ δή πως ἐκδυσωπήσειν ἠρέμα τοὺς τῶν Ἰουδαίων λαοὺς, εἰ καὶ μόνην c θεάσοιντο καὶ ταύτην ἐκ περιττοῦ παθόντα τὴν κόλασιν τὸν ἁπάσης ἔξω κείμενον αἰτίας. ἐμαστίχθη μὲν ἀδίκως, ἵνα δικαίας ἡμᾶς ἀπολύσῃ πληγῆς, ἐνεπαίχθη καὶ ἐῤῥαπίσθη, ἵν' ἡμεῖς ἐμπαίξωμεν τῷ ἐμπαίξαντι σατανᾷ, καὶ τὴν ἐκ τῆς παραβάσεως προστετριμμένην ἡμῖν διαφύγωμεν ἁμαρτίαν. οἰησόμεθα γὰρ φρονοῦντες ὀρθῶς, πάντα δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὰ Χριστοῦ γενέσθαι παθήματα, λυτικήν τε καὶ ἀποτρεπτικὴν ἔχοντα δύναμιν τῶν ἡμῖν συμβεβηκότων εὐλόγως διὰ τὴν ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. ὥσπερ γὰρ ἤρκεσεν εἰς d τὸ καταργῆσαι τὸν ἁπάντων θάνατον, τὸ ὑπὲρ τῆς ἡμετέρας ζωῆς τὴν ἰδίαν προέσθαι σάρκα τὸν οὐκ εἰδότα θάνατον· εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν· οὕτω συνιέναι δίκαιον, ὡς ἐξαρκέσαι πάλιν εἰς τὸ ἀπολῦσαι πάντας καὶ μαστίγων καὶ ἀτιμίας τὸ ταῦτα παθεῖν ὑπὲρ ἡμῶν τὸν Κύριον. ἐπεὶ κατὰ τίνα τρόπον "τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," κατὰ τὸ Es. liii. 5. γεγραμμένον; πάντες μὲν γὰρ ἐπλανήθημεν, ἕκαστος "τῇ e Ib. 6. "ὁδῷ αὐτοῦ," καθά φησιν ὁ μακάριος προφήτης Ἡσαΐας, "καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ Ib. 4. "περὶ ἡμῶν ὀδυνᾶται." μεμαλάκισται γὰρ διὰ τὰ παραπτώματα ἡμῶν· καὶ τὰ μὲν ἴδια νῶτα δέδωκεν "εἰς μάστιγας, Ib. l. 6. "τὰς δὲ σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα," καθὰ καὶ αὐτός που φησίν. οἱ μὲν οὖν στρατιῶται καθάπερ τινὰ τῶν ψευδοτυράννων ἑλόντες τὸν Ἰησοῦν ἐμπαίζουσι στρατιωτικῶς. διὰ γάρ τοι τοῦτο στέφανος μὲν ὁ ἐξ ἀκανθῶν ἐπενήνεκται, τὸ ἐπ' ἄκροις ἠρτημένον μετώποις, τῆς ἐπιγείου βασιλείας σύνθημα a1044 A. δηλῶν. τὸ δὲ πορφυροῦν ἱμάτιον, τῆς ἁλουργίδος εἰκὼν ὥσπερ

1. περιβάλλειν E. 8. ἵν' E. ἵνα Ed. τῆς assumptum ex E.F. 9. προστετριμμένην edidi. προστετρ͞ιμμένην (sic) F. ἴσ. προστετριμμένην Ed. mg. προστετραμμένην Ed. 14. ἡμετέρας E.F. Ed. mg. ὑμετέρας Ed. 16. ὡς E.F. Migne. ὡς οὐκ Ed. "forte delenda negativa particula" Aub. in notas.

τις καὶ τύπος, ἀλλὰ καὶ ἡ τοῦ γέλωτος αἰτία προστέθειται· προσήεσαν γὰρ λέγοντες, φησί Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων.

Ἐπυθόμην δὲ τινῶν, μᾶλλον δὲ λίαν ἀρέσκει τισὶ, στέφανον μὲν τὸν ἐξ ἀκανθῶν τὴν τῶν εἰδωλολατρούντων ἔτι κατασημαίνειν πληθὺν, ἀναληφθησομένην ὥσπερ εἰς διάδημα τῷ Χριστῷ διὰ πίστεως τῆς εἰς αὐτὸν, οἳ καὶ ἀκάνθαις b ἀγόνοις τε καὶ ἀχρήστοις τὰ ἔθνη παρεικάζουσι διὰ τὸ καρπὸν εὐσεβείας ἔχειν οὐδένα, πεφυκέναι δὲ μᾶλλον ἐπιτηδείαν εἰς πυρὸς τοῦ παμφάγου τροφὴν, καθάπερ ἀμέλει καὶ τὸν ἐν ἀγροῖς συρφετὸν, ἤτοι τὴν ἀγρίαν καὶ γεωργίας τινὸς δίχα φυομένην ἄκανθαν· τὸ δὲ ἀλουργὲς ἄμφιον, ἤτοι τὸ ἱμάτιον τὸ πορφυροῦν, τὴν ἐσομένην κατὰ παντὸς τοῦ κόσμου βασιλείαν φάσκουσι δηλοῦν. παραδεκτὸν δὲ ἅπαν ὃ μὴ τοῦ εὐθέος ἐκπίπτει λόγου, μήτε μὴν ὡς ἀνόητον ἔσται c πεπιστευμένον. οὐκ ἀπόβλητος τοίνυν τῆς θεωρίας ὁ τρόπος, ἀστειοτάτην ἔχων τὴν ἐπιτήρησιν.

4 Καὶ ἐξῆλθε πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

Ὁμολογεῖ μὲν τὸ πταῖσμα, καὶ οὐκ αἰσχύνεται. μαστιγῶσαι γὰρ ἔφη διακενῆς, ἐπιδείξειν δὲ καὶ αὐτοῖς ἐπαγγέλλεται, κατακορέσειν ὥσπερ αὐτῶν τὴν ἀτίθασον ὀργὴν διὰ d τῆς οὕτως ἐλεεινῆς ὑποτοπήσας θέας· μόνον δὲ οὐχὶ καὶ καταιτιᾶται λοιπὸν, ὡς φονῶντας ἀδίκως, καὶ τοῦτο ἐκ παῤῥησίας, καὶ ἀναφανδὸν παρανομεῖν ἀναγκάζοντας, τὸν ᾧπέρ ἐστι τῶν ἰδίων νόμων οὐκ ἀζήμιος ἡ παράβασις. πληροῦται γεμὴν ἐπὶ Χριστῷ, καὶ ἀληθὲς ὑπάρχον ὁρᾶται τὸ εἰρημένον, ὅτι "ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ "εὑρήσει οὐδέν." ἄθρει γὰρ ὅπως ἄνω καὶ κάτω πάντα διακυκήσας ὁ σατανᾶς, οὐδὲν ὅλως ἀνευρίσκει τῶν ἐκβεβλη- e μένων παρὰ Θεοῦ καὶ εἰς δύναμιν ἁμαρτίας κατατεταγμένων,

Supra xiv. 30.

11. ἄμφιόν τοι E. 14. εὐθέως E. 16. ἐπιτήρησιν] ἐπιχείρησιν Catt.
21. καὶ assumptum ex E. 24. τούτω E. 30. γρ. διακυκλήσας F mg.

ὅπερ ἂν ἴσως, εἰ ἐπενήνεκτο τῷ Σωτῆρι Χριστῷ, κατακρίνεσθαί τε δικαίως ἐποίει καὶ ταῖς παρ' αὐτοῦ κατηγορίαις ἔνοχον. ὅνπερ οὖν τρόπον ἐν Ἀδὰμ ὅλην ἐν ἑνὶ τὴν ἀνθρώπου νενίκηκε φύσιν, κατάφορον ἁμαρτίαις ἀποδείξας αὐτήν, οὕτω κἀνθάδε νενίκηται παρ' αὐτῆς. ἄνθρωπος γὰρ ἦν εἰ καὶ φύσει Θεὸς ὁ μὴ ἐσχηκὼς ἁμαρτίαν, καὶ ὥσπερ ἡ ἐκ τοῦ παραβῆναι κατάκρισις δι' ἑνὸς εἰς πάντας τοῦ πρώτου τετέλεσται, κατὰ τὸν ἴσον δὴ τρόπον ἡ ἐκ τοῦ δικαιωθῆναι Χριστὸν εὐλογία δι' ἑνὸς τοῦ δευτέρου πρὸς πάντας ἐκτείνεται. καὶ τούτου μάρτυς ὁ Παῦλος λέγων "Ὥσπερ γὰρ δι' Rom. v. 18.
"ἑνὸς εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω δι' ἑνὸς a 1045 A.
"εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς." οὐκοῦν νενοσήκαμεν διὰ μὲν Ἀδὰμ τοῦ πρώτου τὴν παρακοὴν καὶ τὴν ἐκείνης ἀρὰν, πεπλουτήκαμεν δὲ διά γε τοῦ δευτέρου τὴν ὑπακοὴν καὶ τὴν ἐξ αὐτῆς εὐλογίαν. ὁ γὰρ τοῦ νόμου Κύριος ὡς Θεὸς, γέγονε μεθ' ἡμῶν νομοφύλαξ ὡς ἄνθρωπος. καὶ γοῦν εὑρήσομεν λέγοντα πρὸς ἡμᾶς "Ὁ ἀγαπῶν Cf. supra xiv. 23.
"με τὰς ἐντολάς μου τηρήσει, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Supra xv. 10.
"Πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ." βλέπε γὰρ ὅπως ἐντέταλται μὲν ἡμῖν ὡς νομοθέτης καὶ Θεὸς τὰς αὐτοῦ τηρεῖν ἐντολὰς, ὡς δὲ μεθ' ἡμῶν νομοφύλαξ b
τηρῆσαι δισχυρίζεται καὶ αὐτὸς τὴν τοῦ ἰδίου Πατρός.

Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον 5
καὶ τὸ πορφυροῦν ἱμάτιον, καὶ λέγει αὐτοῖς Ἰδοὺ ὁ ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκ- 6
ραύγασαν λέγοντες Σταύρωσον σταύρωσον.

Ἐπέδειξε μὲν ἀνοσίως κατῃκισμένον, καὶ τοῖς τῶν στρατιωτῶν ἐμπαίγμασιν ἀφορήτως ἐξυβρισμένον τὸν ἁπάντων c
Κύριον, κατακορεσθήσεσθαί πως καὶ καταλήξειν ἤδη πιστεύσας τὸν ἄκρατον τῶν Ἰουδαίων θυμὸν καὶ ἀπὸ μόνης τῆς

7–9. *τοῦ πρώτου—πρὸς πάντας* accesserunt ex E. 11. *ἑνὸς* prius] + *παραπτώματος* Ed. invito E. 12. *εἰς πάντας ἀνθρώπους* assumptum ex E.

οὕτως οἰκτροτάτης τε καὶ ἀτιμοτάτης θέας. οἱ δὲ ἀφεστᾶσι τοσοῦτο τοῦ καὶ εἰπεῖν τι καὶ δρᾶσαι φιλάνθρωπον ἐπ᾽ αὐτῷ καὶ τῶν εἰς χρηστότητα τελούντων ἅψασθαι λογισμῶν, ὡς καὶ ὠμότητος θηριοπρεποῦς πεσόντας ἐπέκεινα πρὸς τὸ μεῖζον αἵρεσθαι τοῦ κακοῦ καὶ θερμοτέραν ποιεῖσθαι τὴν καταβοὴν ἀπηνεστάτῳ θανάτῳ καταδικάζοντας, καὶ τὰ πάντων αἴσχιστα παθεῖν ἀναγκάζοντας. ποῖον γὰρ οὕτω πικρὸν d ἂν γένοιτο κολαστήριον, ὡς ὁ ἐπὶ ξύλου σταυρός; μόνοις δὲ, ὡς εἰκὸς, τὴν τῆς τοσαύτης δυσσεβείας ἀρχὴν προσῆψεν ὁ σοφώτατος Εὐαγγελιστὴς τοῖς Ἰουδαίων καθηγηταῖς. ἄθρει γὰρ ὅπως μετὰ δριμείας ὥσπερ τῆς ἐπιτηρήσεως λέγει Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες Σταύρωσον σταύρωσον. τοῦ γὰρ ἀγελαίου πλήθους κἂν γοῦν μετρίως τοῖς κατὰ Χριστοῦ γεγονόσιν ἐπερυθριῶντος κακοῖς· διεμέμνηντο γὰρ ἴσως τῶν παρ᾽ αὐτοῦ παραδόξως τετελεσμένων· αὐτοὶ καὶ πρῶτοι τῆς καταῤῥήσεως ἄρχονται, καὶ εἰς ἐκτόπους ἀγριότητας τὸν τῶν ὑπὸ χεῖρα λαῶν ἀνακαίουσι θυμόν. ἀληθὲς οὖν ἄρα τὸ εἰρημένον παρὰ Θεοῦ περὶ Hier. x. 21. αὐτῶν ἐν προφήταις "Ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ "τὸν Κύριον οὐκ ἐξεζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα **1046 A.** a "ἡ νομὴ, καὶ διεσκορπίσθησαν." καὶ ἀληθὴς ὁ λόγος. ἐπειδὴ γὰρ τῆς τῶν ἡγουμένων ποδηγίας οὐκ ἔτυχον εἰς τὸ ἐπιγνῶναι Χριστὸν οἱ νομῆς ἐν τάξει κείμενοι, τουτέστιν, ὁ ἀγελαῖος ὄχλος, διόλωλέ τε καὶ κατώλισθον εἰς ὀλέθριον ἀβουλίαν τὴν ἐπὶ Χριστῷ. ἀναμετρείτω γάρ τις εἰ βούλεται τὴν τῆς δυσσεβείας ἀρχὴν, καὶ ταῖς τῶν ἡγουμένων αὐτὴν ἀναθήσει κεφαλαῖς. αὐτῶν γὰρ ἡ ἐν ἀρχαῖς ἀνοσιωτάτη γέγονε σκέψις, αὐτοὶ τὸν προδότην τοῖς ἱεροῖς ἐκπριάμενοι χρήμασι καταπωλῆσαι σφίσιν ἀνέπεισαν, αὐτοὶ τὴν σπεῖραν b τοῖς ὑπηρέταις συζεύξαντες, καθάπερ τινὰ τῶν ἀτιμοτάτων λῃστῶν καταδεσμεῖν ἐκέλευον αὐτοὶ Πιλάτῳ προσήγαγον,

1. οἰκτροτάτης E. ἀκροτάτης Ed. 2. τοσοῦτο E. τοσοῦτον Ed. καὶ εἰπεῖν τι E. εἰπεῖν τε Ed. 19. οἰφρονεύσαν E. 23. νομεῖς E.

καὶ νῦν μεμαστιγωμένον ὁρῶντες καὶ ταῖς παρὰ πάντων ἀτιμίαις μονονουχὶ μεθύοντα προσεκτείνουσι τὴν ὀργὴν, καὶ τὰ ἐξ ἀμέτρου φθέγγονται φθόνου. σκοπὸς γὰρ αὐτοῖς τὸν τοῦ ἀμπελῶνος ἀποκτεῖναι δεσπότην· ᾤοντο γὰρ ἕξειν ἀκινδύνως τὴν κληρονομίαν αὐτοῦ, καὶ εἰ γένοιτο τυχὸν ἐκ μέσου Χριστὸς, αὐτοὶ καθηγήσεσθαι πάλιν καὶ ταῖς παρὰ πάντων τιμαῖς ἐντρυφᾶν. ἀλλ' ὡς ὁ ψάλλων φησὶν "Ὁ κατοικῶν c Ps. ii. 4. "ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτη"ριεῖ αὐτούς." οὐ γὰρ ἐκβέβηκέ τι τῶν κατὰ γνώμην αὐτοῖς, ἀλλ' εἰς πᾶν τοὐναντίον ἐξ ἀντιστρόφου μεταβολῆς ἡ τῶν πραγμάτων μετακεχώρηκε φύσις.

Λέγει αὐτοῖς ὁ Πιλάτος Λάβετε ὑμεῖς αὐτὸν, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

d

Καταπλήττεται Πιλάτος εἰ ἄρα πως καὶ εἰς τοῦτο κατοιχήσεται τόλμης τῶν Ἰουδαίων ὁ δῆμος, καὶ ἡ τῶν ἀρχιερέων ἀπανθρωποτάτη πληθὺς, ὥστε καὶ τὸν οὕτω φρικτὸν ἐπιθεῖναι θάνατον μὴ παραιτεῖσθαι Χριστῷ, καίτοι τῆς εἰς τοῦτο καλούσης αὐτὸν αἰτίας οὐδαμόθεν ἐξηυρημένης. διὰ γάρ τοι τοῦτό φησι, μονονουχὶ καὶ ὡς ὑβρισμένος ἀγανακτῶν Ἐμὲ ταυτησὶ τῆς ἀδίκου μιαιφονίας ἐποιήσασθε βραβευτήν; ἐγὼ παρὰ πάντας τοὺς Ῥωμαίων νόμους καὶ τῶν ἀνεγκλήτων ἔσομαι φονευτὴς, ταῖς δὲ ὑμετέραις ἀναπεπεισμένος φωναῖς τὸ ἐμαυτοῦ προήσομαι χρήσιμον, καὶ ταῖς παρ' ὑμῶν e αἰτήσεσι ῥιψοκινδύνως ὑπηρετῶν, οὐκ ἐν ἐλπίσιν ἔσομαι τοῦ παθεῖν τὰ δεινά; εἰ μὴ γὰρ οἴεσθε τῶν ἀνοσίων τι δρᾶν, εἰ μὴ χαλεπὸν εἶναι τὸ πρᾶγμα λογίζεσθε, ὑμεῖς αὐτοὶ, φησὶν, οἱ τοῖς θείοις ἐπαυχοῦντες μαθήμασιν, οἱ ἐπὶ νόμων εἰδήσει τὴν ὀφρὺν ἔχοντες ὑψηλὴν, πήξατε τὸν σταυρὸν, τολμήσατε τὸν φόνον, ἀνοσιουργήσατε δι' ἑαυτῶν, αὐτοὶ τῆς ἑαυτῶν καταχέοντες κεφαλῆς τὰ ἐκ τῆς τοσαύτης δυσσεβείας a **1047 A.**

4. ἕξιν E. 22. δὲ om. F. Statim ὑμετέραις E.F. Ed. mg. ἡμετέραις Ed.

ἐγκλήματα, Ἰουδαϊκὸν ἔστω τὸ θράσος, καὶ τὸ τῆς μιαιφονίας εἰς ὑμᾶς αὐτοὺς τετράφθω κακόν. εἰ νόμος ἐστὶ παρ' ὑμῖν, ὁ ποιναῖς ταῖς οὕτω πανδείνοις ὑποτιθεὶς τὸν ἡμαρτηκότα μηδὲν, ὁ κολάζων τὸν ἀνυπαίτιον, πραττέσθω καὶ τοῦτο δι' ὑμῶν, ἐγὼ τῆς ἐπὶ τούτῳ συμπνοίας οὐκ ἀνέξομαι. καὶ ταυτὶ μὲν ἂν οἴοιτό τις τυχὸν τὸν Πιλάτον εἰπεῖν· ὠδίνει γάρ πως ὁ παρ' αὐτοῦ λόγος τῶν τοιούτων τὴν ἔμφασιν. b καταπλαγείη δ' ἄν τις κἂν τούτῳ δὴ πάλιν τὴν τῶν Ἰουδαίων ἀναισχυντίαν, ἐπεὶ μηδὲ ἀνδρὸς ἀλλογενοῦς δικαιοκρισίας αἰσχύνονται, καίτοι τοῦ θείου νόμου περὶ αὐτῶν εἰρηκότος "Ὅτι χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον "ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ."

Mal. ii. 7.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ
c τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν.

Ἐληλεγμένης ἑώλου τῆς παρ' αὐτῶν ἐν ἀρχαῖς συντεθειμένης συκοφαντίας, καὶ νεωτερισμοῦ μὲν ἤγουν ἀντάρσεως τῆς κατὰ τοῦ Καίσαρος ἀρχῆς οὐδεμιᾶς ἀποδεδειγμένης· ἀπεσκευάζετο γὰρ τὰς ἐπὶ τούτοις αἰτίας ὁ Κύριος λέγων "Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ "τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ d "ἐμοὶ ἠγωνίζοντο ἂν ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις·" Πιλάτου τε πρὸς ταῦτα καθηκόντως τε καὶ ἀδεκάστως καὶ οὔπω πρὸς χάριν δικάζοντος, λέγοντός τε διαῤῥήδην μηδεμίαν ηὑρῆσθαι πρόφασιν ἐν αὐτῷ, παντελῶς πρὸς ἕτερόν τι μεταχωροῦσιν οἱ πάντολμοι· νόμον γὰρ ἔχειν δισχυρίζονται καταδικάζοντα τοῦ Σωτῆρος τὸν θάνατον. καὶ τίς ὁ νόμος; ὁ τοῖς βλασφημοῦσιν ἐπαρτήσας, φησὶ, ζημίαν· γέγραπται γὰρ ἐν βιβλίῳ τῷ καλουμένῳ Λευϊτικῷ, ὅτι τινὲς τελοῦντες εἰς Ἰουδαίους ἐμαχέσαντο κατὰ τὸ γεγραμμένον ἐν τῇ παρεμβολῇ, ὧν ὁ ἕτερος τοῦ θείου φησὶν ὀνόματος ἐπιμνησθεὶς,

Supra xviii. 36.

Supra ver. 4.

1. τῆς μιαιφόνου E. 21. ἡ prius assumptum ex E. 30. εἰρημένον E.

ηὐλόγησεν, ἀντὶ τοῦ κατηράσατο καὶ δεδυσφήμηκεν, εἶτα e τεθνάναι προστάττεται, καὶ τῆς ἀνοσίου γλώττης πικρὰς ἀποτῖσαι δίκας, Θεοῦ λέγοντος ἐναργῶς "Ἄνθρωπος ὃς ἂν Lev. xxiv. 15, 16. "καταράσηται Θεὸν ἁμαρτίαν λήψεται, ὀνομάζων δὲ τὸ "ὄνομα Κυρίου θανατούσθω· λίθοις λιθοβολησάτωσαν αὐ-"τὸν πᾶσα συναγωγὴ Ἰσραήλ· ἐάν τε προσήλυτος ἐάν τε "αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα Κυρίου "τελευτάτω."

Ἀλλ' ἴσως τις πρὸς τοῦτο τυχὸν ἐνδοιάσας ἐρεῖ Τί ἄρα φησὶν ὁ νόμος, τί δέ μοι βούλεται διὰ τούτου δηλοῦν; τὸ μὲν γὰρ τεθνάναι, φησὶ, τὸν ταῖς εἰς Θεὸν δυσφημίαις ἔνοχον, οὐκ ἂν ἔξω φέροιτο τοῦ εἰκότος, πάθοι δ' ἂν αὐτὸ a 1048 A. καὶ σφόδρα δικαίως. ἀλλὰ τί δήποτε κἂν εἰς ἕνα τις τῶν ψευδωνύμων ἐξυβρίσῃ θεῶν, ἁμαρτίας οὐκ ἀμοιρεῖ; ἐὰν γάρ τις, φησὶ, καταράσηται Θεὸν, ἁμαρτίαν λήψεται. καὶ τί πρὸς τοῦτό φαμεν; ἀσφαλὴς ὁ νομοθέτης· τὸ γὰρ οἶμαι διαλοιδορεῖσθαι φιλεῖν καὶ τοῖς κατὰ φύσιν οὐκ οὖσι θεοῖς, μελέτη τις ὥσπερ ἐστὶ καὶ τρίβος πρὸς τὴν ἐπὶ τῷ κατὰ φύσιν Θεῷ γλωσσαλγίαν ἡμᾶς παροτρύνουσα. διὰ τοῦτο καὶ δι' ἑτέρων αὐτὸ πάλιν ἀπείργει λέγων "Θεοὺς οὐ κακο-"λογήσεις." Exod. xxii. 28. ᾤετο γὰρ δεῖν τὸ τῆς θεότητος ὄνομα, καὶ εἰ ψευδὲς ἐνυπάρχοι τισὶ, ταῖς αὐτῷ πρεπούσαις καταγεραίρεσθαι δόξαις. καὶ οὐχὶ πάντως ἡμᾶς τοῖς πεπλανημένοις b θεοῖς ἀπονέμειν τινὰ τιμὴν ὁ νόμος διεκελεύσατο, σεπτὸν δὲ ἡγεῖσθαι διδάσκει τὸ τῆς θεότητος ὄνομα καὶ εἰ κλέπτοιτο παρά τινων.

Νόμου τοιγαροῦν θανάτῳ τιμᾶσθαι προστάττοντος τὸν ὑποπίπτοντά πως τοῖς ἐκ δυσφημίας ἐγκλήμασιν, ὑποκεῖσθαι τῇ δίκῃ φασὶ τὸν Κύριον· υἱὸν γάρ φησι Θεοῦ ἑαυτὸν ἐποίησε. χρὴ δὲ ἡμᾶς διαμεμνῆσθαι πάλιν, ποῖ δὴ καὶ πῶς τὸ τοιοῦτο εἴρηται παρὰ Χριστοῦ. οὐκοῦν ἐπὶ τῇ κολυμβή-

13. εἰς] εἰ E. 14. θεῶν E. θεὸν Ed. 22. ἐνυπάρχοι E. ἐνυπάρχει Ed. 23. δόξης E. πάντας E. 27. νόμος E.

θρᾳ ποτὲ τῇ ἐπίκλην προβατικῇ, τοῦ μακροῦ τε καὶ δυσα- c χθοῦς ἀῤῥωστήματος ἀπέλυσε τὸν παράλυτον ἐν ἡμέρᾳ σαββάτου. οἱ δὲ θαυμάσαι δέον τὸν οὕτω τερατουργὸν, ἐσκανδαλίζοντο πάλιν τὴν τοῦ νόμου λύσιν ἐπιφημίζοντες διὰ μόνον τὸ σάββατον. ἀλλὰ καὶ τότε Χριστὸς ἀπελογεῖτο (Supra v. 17.) λέγων “ Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζο- (Ib. 18.) “ μαι·” εἶτά φησιν ἐπὶ τούτοις ὁ Εὐαγγελιστής “ Διὰ τοῦτο “ οὖν ἐδίωκον αὐτὸν Ἰουδαῖοι τὸν Ἰησοῦν, ὅτι οὐ μόνον ἔλυε “ τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεὸν, ἴσον “ ἑαυτὸν ποιῶν τῷ Θεῷ.” ἐσκανδαλίζοντο τοιγαροῦν Ἰουδαῖοι, Πατέρα καλοῦντος ἴδιον Χριστοῦ τὸν ἁπάντων Κύριον, d ὅτε πρὸς τοῦτο πρᾳοτάτην ἐποιεῖτο τὴν πρὸς αὐτοὺς διάλεξιν (Ib. x. 34–36.) οὕτω λέγων “ Ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν Ἐγὼ “ εἶπα θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. εἰ δὲ ἐκείνους “ εἶπε, φησὶ, θεοὺς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ “ οὐ δύναται λυθῆναι ἡ γραφή· ὃν ὁ Πατὴρ ἡγίασε καὶ “ ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, “ ὅτι εἶπον Θεοῦ υἱός εἰμι;” ἀλλ᾽ οὐδενὸς τῶν τοιούτων διαμεμνημένος τῶν Ἰουδαίων ὁ δῆμος, ἔγκλημα ποιοῦνται τῇ ἀληθείᾳ τὴν ἀλήθειαν, καὶ ἐπείπερ ὅπερ ἐστὶ κατὰ φύσιν εἴρηκεν ὁ Χριστὸς, διὰ ταύτην αὐτὸν τὴν αἰτίαν τεθνάναι πρέπειν δισχυρίζονται. ἀλλὰ γὰρ τῇ τοῦ προφήτου κεχρή- (Hier. viii. 8.) σομαι διὰ τοῦτο φωνῇ “ Πῶς ἐρεῖτε ὅτι σοφοί ἐσμεν ἡμεῖς, “ καὶ νόμος Κυρίου μεθ᾽ ἡμῶν ἐστιν;” ἢ γὰρ οὐκ ἔδει δι᾽ **1049 A.** a ἐρεύνης ἀκριβοῦς ἰέναι πρότερον, τίς καὶ πόθεν ἐστὶν ὁ Χριστός· καὶ εἰ μὲν ἥλω ψευσάμενος, εὐθύνειν δὴ τότε καὶ μάλα δικαίως, ἤγουν τ᾽ ἀληθῆ λέγοντα προσκυνεῖν; τί τοίνυν ἀφέντες τὴν ζήτησιν, καὶ τὴν ἐκ τῶν ἱερῶν γραμμάτων πληροφορίαν, ἐπὶ μόνην οἴχεσθε τὴν καταῤῥησιν, καὶ κατηγορίας πρόφασιν ἐποιήσασθε τὴν ἀλήθειαν; ἔδει Πιλάτῳ λέγοντας ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν, ἐγκαλεῖν

3. δὲ τὸν E. 19. ποιοῦνται E. ποιεῖται Ed. 22. δισχυρίζονται E. δισχυρίζεται Ed. 26. δὴ om. E. 27. λέγω E. 28. τὴν prius om. E.

αὐτῷ καὶ τὰ τῆς θεότητος ἔργα καὶ τὴν ἐπὶ τοῖς παραδόξοις καταιτιᾶσθαι μεγαλουργίαν· ἔδει μετ' ἐκεῖνο βοᾶν, ὅτι τεθρήμερος μὲν ἀνεβίω νεκρὸς διὰ μιᾶς τοῦ Σωτῆρος φωνῆς b (Supra xi. 39.) παλινδρομήσας εἰς ζωήν· ἔδει παρενεγκεῖν τὸν μονογενῆ τῆς χήρας υἱὸν, καὶ τοῦ ἀρχισυναγώγου τὸ κόριον· ἔδει καὶ τῆς θεοπρεπεστάτης ἐκείνης διαμεμνῆσθαι φωνῆς, ἐπὶ μὲν τῷ τῆς χήρας υἱῷ "Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι," (S. Luc. vii. 14.) ἐπὶ δὲ τῷ κορίῳ "Ἡ παῖς ἔγειραι·" (Ib. viii. 54.) ἐχρῆν ἐπὶ τούτοις διδάσκειν, ὅτι τυφλοῖς μὲν τὸ βλέπειν, λεπροῖς δὲ τὴν κάθαρσιν ἐχαρίσατο, καὶ πρὸς τούτοις, ὅτι μιᾷ κατεστόρεσεν ἀπειλῇ καὶ θαλάττης ἀγρίας κίνησιν καὶ πνευμάτων ῥαγδαίων καταφορὰν, καὶ εἴ τι πρὸς τούτοις εἴργασται Χριστός. ἀλλ' ἐκεῖνα μὲν ἀχαρίστοις καταχωννύουσι σιωπαῖς, καὶ τὰ δι' ὧν ἦν αὐτὸν c ὁρᾶσθαι Θεὸν παρέντες δυστρόπως ἐπὶ μόνους βαδίζουσι παραλογισμούς· ἀνδρὶ δὲ ἀλλογενεῖ καὶ τὴν θείαν ὅλως οὐκ εἰδότι γραφὴν, ἄνθρωπον ὁρῶντι τὸν Ἰησοῦν, ἐπιβοῶσιν οἱ δείλαιοι Υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησε, καίτοι τῆς θεοπνεύστου γραφῆς ἐν ἀνθρωπείῳ σχήματι τὸν τοῦ Θεοῦ Λόγον ἐπιφοιτήσειν ποτὲ τῷ κόσμῳ βοώσης· "Ἰδοὺ γὰρ, φησὶν, ἡ παρ- (S. Matth. i. 23, ex Es. vii. 14.) "θένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ "ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον Μεθ' "ἡμῶν ὁ Θεός." τὸ δὲ ἐκ παρθένου τεχθὲν, τί ἂν ἕτερον εἴη λοιπὸν ἢ ἄνθρωπος καθ' ἡμᾶς, ὅσον εἰς τὴν τοῦ σώματος d ὄψιν τε καὶ φύσιν; ἦν γὰρ μετὰ τοῦ εἶναι ἄνθρωπος καὶ Θεὸς ἀληθῶς.

Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, 8
καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ 9
Πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

Περιτρέπεται τοῖς Ἰουδαίοις τὸ κακούργημα πρὸς τὸ παρ' ἐλπίδα. οἱ μὲν γὰρ εἰς ὕψος τὴν τοῦ ἐγκλήματος αἴρουσιν

1. αὐτὸν E. 2. ἐκείνων E. 10. κατεστόρεσεν F. Ed. mg. κατεστόρησεν E. κατεστήρησεν Ed. 10–12. καὶ alt.—μὲν om. E. 23. ὅσον] + ἢ E.

ἀφορμὴν, εἰς αὐτὸ διεπταῖσθαι λέγοντες τὸ θεῖον τὸ ἐγχείρημα τῷ Χριστῷ· ὁ δὲ τὴν τοῦ πράγματος ὑπεροχὴν, εὐλαβείας ποιεῖται προσθήκην, καὶ φορτικωτέραν δέχεται τὴν ἐκ τοῦ δείματος ἀπειλὴν, ἀκριβής τε γίνεται περὶ αὐτὸν ἢ
1050 A. a πρότερον ἦν, καὶ φιλοπευστεῖ λεπτότερον, τίς δὴ ἄρα καὶ πόθεν ἐστὶν, οὐκ ἀπιστήσας, ὥς γε μοι φαίνεται, ὅτι καὶ ἄνθρωπος ὢν, υἱὸς εἶναι δύναται Θεοῦ. δέχεται γεμὴν τὴν ἐπὶ τούτῳ διάληψίν τε καὶ πίστιν, οὐκ ἐκ τῶν ἱερῶν γραμμάτων, ἀλλ' ἐκ πλάνης Ἑλληνικῆς· ἡμιθέους γὰρ καὶ θεῶν καλοῦσι παῖδας οἱ παρ' Ἕλλησι μῦθοι πολλούς. Ῥωμαῖοι δὲ πάλιν δεισιδαιμονέστερόν πως τὰ τοιαῦτα δρῶντες, ἀεὶ τὴν θείαν ἐπωνυμίαν τοῖς ἐπιφανεστέροις τῶν ἰδίων ἐχαρίζοντο βασιλέων· βωμοὺς δὲ ἱστάντες, καὶ τεμένη δειμάμενοι,
b πολλοὺς ἀνεστήλωσαν. περιεργάζεται τοιγαροῦν ὁ Πιλάτος πικρότερόν τε καὶ ἀκριβέστερον ἤπερ ἐν ἀρχαῖς, τίς δὴ ἄρα καὶ πόθεν ἐστὶν ὁ Χριστός. ὁ δὲ, φησὶν, οὐκ ἀπεκρίθη αὐτῷ λόγον, τῶν ἰδίων, κατά γε τὸ εἰκὸς, ἐπιμνησθεὶς ῥημάτων.
Supra xviii. 37. τί γὰρ ἔφη πρὸς αὐτόν; "Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει "μου τῆς φωνῆς." εἰδωλολάτρης δὲ ὢν ὁ Πιλάτος, πῶς ἂν ἐπήκουσε τῆς τοῦ Σωτῆρος φωνῆς, ἀλήθειάν τε καὶ τῆς ἀληθείας τέκνον ἑαυτὸν εἶναι φάσκοντος; ἢ πῶς ἂν ὅλως τὸ
c τῆς ἀληθείας ὄνομα παρεδέξατο καὶ τετίμηκεν, ὁ καὶ ἐν
Ib. 38. ἀρχαῖς αὐτὸ διαπτύσας καὶ εἰπὼν "Τί ἐστιν ἀλήθεια," διὰ τὸ τοῖς ψευδωνύμοις ἔτι λατρεύειν θεοῖς καὶ τῷ τῆς ἀπάτης ἐγκεχῶσθαι σκότῳ;

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

Ὠιήθη ὁ Πιλάτος ἀπονοίας ἔργον εἶναι τὴν σιωπήν. διὰ τοῦτο τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν, καθάπερ τινὰ ῥάβδον

1. λέγοντες et ante et post τὸ θεῖον exhibet E. 4. ἀκριβές E. 6. ἀπεστήσας E. 11. πάλιν E. μᾶλλον Ed. 24. τῆς ψευδωνύμου E. 26. οὖν assumptum ex E.

ἐπανατείνεται, καὶ παρατρέψειν δύνασθαι καὶ οὐχ ἑκόντα τῷ d φόβῳ νομίζει πρὸς ἀνόνητον ἀπολογίαν. ῥέψειν γὰρ ἀπαραποδίστως ἐφ' ὅπερ ἂν βούλοιτό φησιν, εἴτ' οὖν κολάζειν, εἴτε καὶ ἐλεεῖν ἕλοιτο τυχόν· παρωθοῦντος δὲ οὐδενὸς εἰς ἀβούλητον κρίσιν, ἐπ' αὐτῷ δὴ κεῖσθαι καὶ μόνῳ τὴν ἐπὶ τῷ κατηγορουμένῳ ῥοπήν. καταιτιᾶται τοίνυν, ὡς ὑβρισμένος διὰ σιωπῆς οὐκ εὐκαίρου, καὶ ὅσον ἧκεν εἰς τοῦτο παρατεθηγμένος ἤδη πρὸς μανίαν τὴν κατ' αὐτοῦ. ἐνενόει γὰρ οὐδαμῶς τῆς σιωπῆς τὸ μυστήριον. ἐπαθρήσεις γεμὴν κἂν e τούτῳ καλῶς πληρούμενον τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς προαγγελθέν "Ὡς πρόβατον γάρ, φησὶν, ἐπὶ σφαγὴν ἤχθη, Es. liii. 7, 8. "καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως "οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ "κρίσις αὐτοῦ ἤρθη." καὶ ταυτὶ μὲν ἡμῖν ὁ μακάριος Ἡσαΐας ἔφη· τὸ δὲ Χριστοῦ πρόσωπον ἀναλαβὼν φησί που πάλιν ὁ μελῳδὸς ἐν Πνεύματι "Ἐθέμην τῷ στόματί Ps. xxxviii. 2, 3. "μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον "μου. ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν." a **1051 A.** νοήσεις δὲ τὸ ἐξ ἀγαθῶν, ἀντὶ τοῦ κακῶν. εὐφήμως γὰρ ἔθος τῇ θείᾳ γραφῇ τὰ τοιαῦτα λαλεῖν, ὅταν εἰς αὐτὸ τὸ θεῖον φέρηται πρόσωπον.

Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' 11 ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. διὰ τοῦτο ὁ παραδιδούς με σοι μείζονα ἁμαρτίαν ἔχει.

Τίς μὲν ἢ πόθεν ἢ τίνος ἐξέφυ πατρὸς, ἐναργέστερον οὔ φησι. μυστικὸν γὰρ οὕτως ἐπασωτεύεσθαι λόγον εἰς ἀλλο- b γενοῦς ἀκοὰς οὐδὲ ἡμῖν αὐτοῖς ἐφίησι, λέγων "Μὴ δῶτε τὰ S. Matth. vii. 6. "ἅγια τοῖς κυσὶ, μηδὲ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμ-"προσθεν τῶν χοίρων·" προϊσχομένῳ γεμὴν τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν, καὶ πρὸς πᾶν ὁτιοῦν περιτρέπειν δύνασθαι

13. *αὐτοῦ* alt. assumptum ex E. (cf. Acta SS. Ap. viii. 33.) 22. *οὐδεμίαν* om. E.

κατὰ τὸ αὐτῷ καὶ μόνῳ δοκοῦν τὴν ἐπ' αὐτῷ κρίσιν ἀσυνέτως ὑπισχνουμένῳ, χρησιμώτατα λίαν ἀντεξάγει τὴν παρ' ἑαυτοῦ δύναμίν τε καὶ ἐξουσίαν, διωκωλύει δὲ ὥσπερ εἰκαίῳ τε καὶ ἀσυνέτῳ φυσήματι καὶ κατ' αὐτῆς τῆς θείας c ἐξογκούμενον δόξης. καὶ γάρ τοι κατὰ ἀλήθειαν οὐ μετρίαν ἂν ἐνεποίησέ τισι τὴν ζημίαν, τὸ πρὸς ἀβουλήτους αἰκίας καθειλκύσθαι νομίζειν καὶ οὐχ ἑκόντα Χριστὸν, καὶ τῆς Ἰουδαίων ἡττῆσθαι πλεονεξίας, καίτοι κατὰ φύσιν ὄντα Θεὸν, καὶ τῶν ὅλων βασιλέα κεκηρυγμένον παρὰ τῆς ἁγίας καὶ θεοπνεύστου γραφῆς. ἔλυσε τοίνυν ἡμῖν τοῦ σκανδάλου τὴν ἀφορμὴν, καὶ τὴν ἐπὶ τούτῳ πλάνησιν πρόῤῥιζον ὥσπερ καταστρέφει λέγων Εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. ἄνωθεν δὲ δεδόσθαι τὴν ἐξουσίαν τῷ Πιλάτῳ φησὶν, οὐχ ὡς ἀβούλητον ἐπιφέροντος τοῦ Θεοῦ καὶ Πατρὸς τῷ ἰδίῳ γεννήματι τὸ ἐπὶ τῷ σταυρῷ πάθος, ἀλλ' ὡς αὐτοῦ μὲν τοῦ Μονογενοῦς ἐπι-
d δόντος ἑαυτὸν τῷ παθεῖν ὑπὲρ ἡμῶν, ἀφέντος δὲ τοῦ Πατρὸς τὸ ἐπ' αὐτῷ πληροῦσθαι μυστήριον. δόσις μὲν οὖν ἄρα σαφῶς ἐν τούτοις ἡ παρὰ Πατρὸς συναίνεσίς τε καὶ συγχώρησις, καὶ αὐτὴ δὲ ἡ θέλησις τοῦ Υἱοῦ νοεῖταί τε καὶ λέγεται. ὅτι γὰρ οὐκ ἂν ἐβιάσατο τὴν τοῦ Σωτῆρος δύναμιν ἡ πληθὺς, ἀμφίβολον μὲν οὐδαμῶς· πλὴν εἰδέναι ῥᾴδιον, ἐξ ὧν πολλάκις ἐπιβουλεύσαντες, ὤνησαν μὲν οὐδὲν, ἐλεγχθέντες δὲ μόνον, ὡς ὑβρισταὶ κατεκρίθησαν. καὶ γοῦν ἠθέλησαν αὐτὸν πιάσαι, καθά φησιν ὁ Εὐαγγελιστὴς, ἀλλ' ἐξελθὼν "διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆγεν οὕτως." τὸ δέ Οὕτως φησὶν, ἀντὶ τοῦ, οὐχ ὑπεσταλμένως, οὐ περιδεὴς, οὐ τὸ τῶν διαδιδρασκόντων ἐπιτηδεύσας σχῆμα, ἀνειμένως δὲ μᾶλλον καὶ βαδίσματι τῷ κατὰ συνήθειαν καὶ
1052A. a θορύβου παντὸς ἐλευθέρῳ. θείᾳ γάρ τινι καὶ ἀποῤῥήτῳ δυνάμει κατακρύψας ἑαυτὸν, τοὺς τῶν φονώντων τότε διέλαθεν ὀφθαλμούς· οὐ γὰρ ἤθελέ πω παθεῖν, ἀλλ' οὐδὲ

S. Joan. viii. 59, cf. S. Luc. iv. 30.

5. ἐξογκούμενον E. ἐξογκουμένην Ed. 27. ἀνειμένως E.

ἐφεὶς τὸ δύνασθαι ταῖς τῶν διωκόντων ὀργαῖς ἀνεθέλητον
ὥσπερ ἑλέσθαι τὸν κίνδυνον. νεύματι τοιγαροῦν ἰδίῳ, καὶ
εὐδοκίᾳ Θεοῦ καὶ Πατρὸς δεδόσθαι φησὶ τῷ Πιλάτῳ τὴν
ἐξουσίαν, τοῦ καὶ ὅλως δεδυνῆσθαί τι δρᾶν εἰς αὐτὸν, ὧν ἤδη
τετόλμηκεν. ἀχείρωτος γὰρ παντελῶς καὶ οὐκ ἂν ἁλοίη
παρά του τῶν ὄντων ἡ θεία τε καὶ ἀνωτάτω φύσις, ᾗ καὶ τὸ
πάντων δύνασθαι κρατεῖν ἔνεστι φυσικῶς. μείζονα δὲ κατα- b
γράφει τὴν ἁμαρτίαν, δῆλον δὲ ὅτι τὴν εἰς ἑαυτὸν, τῷ
Πιλάτῳ προσκεκομικότι, καὶ σφόδρα δικαίως. ὁ μὲν γὰρ
ἀρχή τις ὥσπερ καὶ θύρα τῆς εἰς αὐτὸν δυσσεβείας ἐγένετο·
τολμημάτων δὲ ἀλλοτρίων ὁ δικαστὴς ὑπουργὸς, καὶ μερι-
στὴς τῆς Ἰουδαίων ἀνοσιότητος ἐξ ἀκαίρου δειλίας ἀνε-
δείκνυτο. τίς οὖν ὁ παραδοὺς, βλέπει δὲ εἰς τίνα τῶν
ἐγκλημάτων ἡ πρωτουργία; οἶμαι μὲν ὅτι τὸν εὐωνότατον
μαθητὴν, μᾶλλον δὲ προδότην ἤδη καὶ τῆς ἰδίας λυμεῶνα c
ψυχῆς, ἤγουν ἐπ' ἐκείνῳ τῶν ἡγουμένων τὸν ὄχλον, καὶ
αὐτὸν δὲ τῶν Ἰουδαίων τὸν δῆμον, ᾧ καὶ τῆς δυσσεβείας
ἀναθεὶς τὸ πλέον, οὐκ ἔξω ταύτης παντελῶς τὴν τοῦ Πι-
λάτου τέθεικε κεφαλήν.

Ἐκ τούτου ὁ Πιλάτος ἐζήτει αὐτὸν ἀπολῦσαι· οἱ δὲ Ἰουδαῖοι 12
ἔκραζον λέγοντες Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ
Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ
Καίσαρι.

Ἐπιτείνεται μὲν τῷ Πιλάτῳ τὸ δεῖμα, καὶ γοργοτέραν d
ἐνεργάζεται τὴν εὐλάβειαν, ὄκνον τε τὸν εἰς τὸ φονεύειν
ἐμποιεῖ τὸ διὰ τῶν Ἰουδαίων ἀναφωνούμενον. ἐπεβόων γὰρ
"Ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν," ὃν δὴ καὶ μάλιστα Supra
κινδύνου μὲν ἀνεῖναι παντὸς, συκοφαντίας δὲ ἁπάσης ἐλευ- ver. 7.
θεροῦν προετεθύμητο, πτοίαν ἔχων εἰς νοῦν τὴν ἐπὶ τούτῳ
δεινήν. ὃ δὴ συνέντες οἱ ἐξ Ἰσραὴλ, πρὸς τὴν ἐν ἀρχαῖς

1. ἐφεὶς E. ἀφεὶς Ed. ταῖς om. E. 16. ψυχὴν E.

ὑπονοστοῦσι ψευδομυθίαν, δημαγωγῆσαι λέγοντες τὸν Ἰησοῦν, πλημμελῆσαί τε κατ' αὐτῆς τῆς τοῦ Καίσαρος ἀρχῆς, e καὶ τῆς Ῥωμαίων καταστρατεύσασθαι βασιλείας, ὅσον εἰς δύναμιν ἐγχειρήματος· βασιλέα γὰρ, φησὶν, ἑαυτὸν ἐποίησε. καὶ ὅρα τὸ δυσμήχανόν τε καὶ δυσοργότατον τῶν συκοφαντεῖν ἑλομένων κίνημα. πρῶτον μὲν γὰρ, κατὰ τῆς τοῦ Καίσαρος ἀρχῆς δεδρᾶσθαι τὸ τόλμημα διετείνοντο παμψηφεὶ βοῶντες οἱ δείλαιοι. ἀλλ' ὡς οὐ σφόδρα κατηγωνίζοντο, (Supra xviii. 36.) τὴν ἑαυτοῦ βασιλείαν οὐκ ἐπίγειον εἶναι φάσκοντος τοῦ Χριστοῦ, καίτοι τὰς Ῥωμαίων τιμὰς διεκδικοῦντι Πι- 1053 A. a λάτῳ τὴν εἰς αὐτὸ τὸ θεῖον ἁμαρτίαν εἰσήγαγον λέγοντες "Υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησεν." ᾤοντο γὰρ οἱ τάλανες ἀκονήσειν διὰ τούτου καὶ οὐχ ἑκόντα Πιλάτον εἰς ἀδιάκριτον ὀργὴν, εὐτολμότατον δὲ καταστήσειν εἰς τὸ καθορίσαι τοῦ Σωτῆρος τὸν θάνατον, τῆς εἰς Θεὸν εὐσεβείας πρόσχημα, τὴν εἰς τοῦτο κίνησιν ποιησάμενον· ἀλλ' ὡς ἀνήνυτον αὐτοῖς τὸ κακουργηθὲν ἀπεδείκνυτο, πάλιν ἐπὶ τὸ ἐξ ἀρχῆς ἀναθέουσι θράσος, κατὰ τῆς τοῦ Καίσαρος ἀρχῆς τετολμῆσθαι λέγοντες τὰ ἐγχειρήματα, καὶ τῆς ἐκείνου καθο- b πλίζεσθαι δόξης τὸν δικαστὴν ἀνέδην ἐπιβοῶντες, εἰ μὴ βούλοιτο διεκδικεῖν καὶ τῇ πρεπούσῃ καθυποθεῖναι δίκῃ τὸν ἀντειρηκότα Καίσαρι κατ' αὐτοὺς, διὰ τοῦ καὶ ὅλως ἀνέχεσθαι λαβεῖν τοῦ βασιλέως τὴν κλῆσιν, καίτοι τοῦ Καίσαρος οὐ τὴν ἐπουράνιον διεκδικοῦντος ἀρχὴν, ἧς δὴ καὶ μάλιστα Χριστὸς ἦν δεσπότης, ἀλλὰ τὴν κάτω καὶ ἐπίγειον, (Prov. viii. 15, 16.) ἣ καὶ τῆς ἐξουσίας ἤρτητο τοῦ Χριστοῦ. δι' αὐτοῦ γὰρ c βασιλεῖς βασιλεύουσι, κατὰ τὸ γεγραμμένον, καὶ τύραννοι δι' αὐτοῦ κρατοῦσι γῆς. ἀθυρογλωττοῦσι τοιγαροῦν οἱ πάντων ἀνθρώπων ἀνοσιώτατοι, καὶ τὴν τοῦ Σωτῆρος διασύρουσι δόξαν ἐκ πολλῆς ἄγαν ἀφιλοθεΐας, οἷς καὶ δικαίως (Es. lvii. 3, 4.) ὁ μακάριος προφήτης Ἡσαΐας ἐπιπλήττει λέγων "Ὑμεῖς δὲ

7. παμψηφὶ E. 12. τάλαντες E. 14. εὐτολμώτατον E.
22. ἀντηρηκότα E.

" προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης,
" ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσ-
" σαν ὑμῶν, καὶ ἐπὶ τίνι ἠνοίξατε τὸ στόμα ὑμῶν; οὐχ d
" ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον;" οὐ γὰρ καθ'
ἑνὸς τῶν τυχόντων ἐποιοῦντο τὴν καταβοὴν, καὶ τὴν ἀπύ-
λωτον ἁπλώσαντες γλῶσσαν, πᾶν εἶδος ἁπλῶς ἐπετήδευον
συκοφαντίας, ἀλλὰ κατ' αὐτοῦ τοῦ ἰδίου Δεσπότου καὶ τοῦ
πάντων κρατοῦντος μετὰ τοῦ Πατρός. τοιγάρτοι δικαίως καὶ
τέκνα ἀπωλείας καὶ ἄνομον σπέρμα κεχρηματίκασί τε καὶ
γεγόνασιν ἀληθῶς.

῾Ο οὖν Πιλάτος ἀκούσας τὸν λόγον τοῦτον ἤγαγεν ἔξω τὸν 13
᾿Ιησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθό-
στρωτον, ῾Εβραϊστὶ δὲ Γαββαθά· ἦν δὲ παρασκευὴ τοῦ πάσχα, 14
ὥρα ἦν ὡσεὶ ἕκτη, καὶ λέγει τοῖς ᾿Ιουδαίοις ῎Ιδε ὁ βασιλεὺς e
ὑμῶν.

῞Ολον ὥσπερ ἐπιγράφει ταῖς ᾿Ιουδαίων μάλιστα κεφαλαῖς
τῆς ἐπὶ Χριστῷ μιαιφονίας τὸ ἔγκλημα ταῦτα λέγων ὁ
Εὐαγγελιστής. νενικῆσθαι γὰρ μονονουχὶ καὶ οὐχ ἑκόντα
Πιλάτον ταῖς παρ' αὐτῶν ἐνστάσεσιν ἀναφανδὸν ἤδη φησὶ,
καὶ τὸν μὲν τοῦ δικαίου παρώσασθαι λόγον, ὀλίγα δὲ
σφόδρα τῆς ἀκολουθίας φροντίσαι· διά τε τοῦτο κατεσπά-
σθαι πρὸς τὸ τοῖς φονῶσι δοκοῦν, καίτοι πολλάκις αὐτοῖς
προσλαλήσαντα καὶ διαῤῥήδην προσπεφωνηκότα, μηδενὸς a 1054 A.
τὸ παράπαν ὑπαίτιον ηὑρῆσθαι τὸν ᾿Ιησοῦν, ὃ δὴ καὶ αὐτὸν
ταῖς ἐσχάταις ὑποθήσει δίκαις. κατόπιν γὰρ τοῦ δοκοῦντός
τισι τὴν τοῦ δικαίου πέμψας τιμὴν, καὶ τὸν ἐπ' οὐδενὶ τῶν
ἀτόπων ἐληλεγμένον ταῖς ᾿Ιουδαίων μανίαις δωρούμενος,
αὐτομάρτυς τῆς ἑαυτοῦ δυσσεβείας ἁλώσεται γεγονώς.
ἄνεισι τοίνυν ἐπὶ τοῦ συνήθους βήματος, ὡς ἂν ἤδη φονικὴν
ἐξοίσων κατὰ Χριστοῦ τὴν ψῆφον. ἐπισημαίνεται δὲ τήν τε

8. καὶ assumptum ex E. 27. ἐληλεγμένον E.F. Ed. mg. ἐληλεγμένων Ed.

b ὥραν καὶ τὴν ἡμέραν ὁ θεσπέσιος Εὐαγγελιστὴς χρησίμως καὶ ἀναγκαίως, διά τε αὐτὴν τὴν ἀνάστασιν, καὶ τὸ παρὰ τοῖς ὑποχθονίοις τριήμερον, ἵνα φαίνηται πάλιν ἀληθεύων ὁ Κύριος τοῖς Ἰουδαίοις εἰπὼν "Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ "κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως "ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς "ἡμέρας καὶ τρεῖς νύκτας." ἐπ' αὐτοῦ δὲ τοῦ βήματος ἐπιδείξας τὸν Ἰησοῦν ὁ Ῥωμαίων στρατηγὸς Ἴδε φησὶν ὁ βασιλεὺς ὑμῶν. καὶ τί δὴ τοῦτο πάλιν ἐστίν; ἢ γὰρ τοῖς
c ὄχλοις προσπαίζει λοιπὸν καὶ χαρίζεται μετὰ γέλωτος τὸ ἀθῷον αἷμα τοῖς ἀδίκως αὐτὸ διψήσασιν, ἢ τάχα πως καὶ ὀνειδίζει διασύρων εἰς ὠμότητα τὸν Ἰουδαῖον, ἅτε δὴ καὶ ἀνασχόμενον ὅλως τοσούτοις ἰδεῖν περιπεσόντα κακοῖς, ὃν αὐτοί φασι καὶ ὀνομάζουσιν ὅλως βασιλέα τοῦ Ἰσραήλ.

S.Matth. xii. 40.

15 Ἐκραύγασαν οὖν ἐκεῖνοι Ἆρον ἆρον σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλάτος Τὸν βασιλέα ὑμῶν σταυρώσω;

d Ἐπιβοῶσι μὲν οὐδὲν ἧττον τὰ ἐν ἀρχαῖς, οὐκ ἐξιστάμενοι τῆς μιαιφονίας, οὐ πρὸς ἡμερότητα μετατιθέμενοι διὰ τὰ ἐμπαίγματα, οὐ ταῖς ἐπενηνεγμέναις αἰκίαις αὐτῷ πρὸς ἠπιότητά πως μεταχωρήσαντες, πρὸς ἀπηνεστέραν δὲ μᾶλλον ἀποταυρούμενοι γνώμην, σταυροῦσθαι παρακαλοῦσι τὸν ἐγείραντα παρ' αὐτοῖς τοὺς νεκροὺς, καὶ τοσούτων αὐτοῖς θαυμάτων ἀναδεδειγμένον ἐργάτην, ἐφ' ᾧ δὴ καὶ λίαν λυπεῖται Πιλάτος, εἰ καὶ τὸν οὕτω λαμπρὰν ἐσχηκότα παρ'
e αὐτοῖς τὴν ὑπόληψιν, ὡς Υἱόν τε Θεοῦ καὶ βασιλέα νομίζεσθαι, οὐ τεθνάναι δεῖν μόνον, ἀλλὰ καὶ ὠμῶς ἀποθνήσκειν ἐντόνως οὕτω φασί· σταυροῦ γὰρ τὸ χεῖρον οὐδέν. ἔλεγχον τοίνυν ὥσπερ τινὰ καὶ ὀνειδισμὸν ποιεῖται τὴν καταβοὴν ὁ δικάζων, εἰ σταυροῦσθαι βούλονται τὸν ὅλως ἐπὶ τούτοις τεθαυμασμένον, ἃ μεγάλην οὕτως ἔχει τὴν ὑπεροχὴν, ὡς

17. τὰ E. τὸ Ed. 22–24. νεκροὺς—τὸν om. E.

ὑπερκεῖσθαι παντὸς ἐπιγείου πράγματος. τί γὰρ ἴσον, τί δὲ οὐκ ἔλαττον Υἱοῦ τε Θεοῦ καὶ βασιλέως;

a 1055 A.

Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

Ἀπελάκτισεν ἐν τούτοις ὁ ἠγαπημένος Ἰσραὴλ, καὶ τῆς πρὸς Θεὸν φιλίας ἀναφανδὸν ἐξάλλεται, καὶ κατὰ τὴν Μωυσέως φωνὴν ἐγκαταλέλοιπε Θεὸν τὸν γεννήσαντα αὐτὸν, "καὶ Κυρίου τοῦ βοηθοῦ αὐτοῦ οὐκ ἐμνήσθη." [Deut. xxxii. 18. Es. xvii. 10.] ἄθρει γὰρ ὅπως "ὄψις πόρνης ἐγένετο" αὐτῷ κατὰ τὸ b [Hier. iii. 3.] γεγραμμένον, "ἀπηναισχύντησε πρὸς πάντας," ἀπείρηκε τὸ ἴδιον καύχημα, καὶ τὸν ἑαυτοῦ δεσπότην ἠρνήσατο. ἐπὶ τούτοις αὐτοῖς ᾐτιᾶτο διὰ φωνῆς Ἱερεμίου λέγων καὶ πάλαι Θεός "Ὅτι πορεύθητε εἰς νήσους Χεττιεὶμ, καὶ εἰς Κηδὰρ [Ib. ii. 10, 11.] "ἀποστείλατε, καὶ γνῶτε εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν, "καὶ οὗτοι οὐκ εἰσὶ θεοί· ὁ δὲ λαός μου ἠλλάξατο τὴν "δόξαν αὐτοῦ," καὶ πάλιν "Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ [Ib. 12, 13.] "καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος, ὅτι δύο καὶ "πονηρὰ ἐποίησεν ὁ λαός μου· ἐμὲ ἐγκατέλιπον πηγὴν "ὕδατος ζωῆς, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους c "οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν." τῶν γὰρ ἑτέρων ἐθνῶν τῶν ἀνὰ πᾶσαν ὄντων τὴν οἰκουμένην τῆς ἰδίας πλάνης ἀπρὶξ ἐξημμένων, ἀραρότως τε ἀγαπώντων οὓς ἐνόμισαν εἶναι θεοὺς, καὶ οὐ λίαν εὐμετάφορον εἰς ἀπόστασιν ἐχόντων διάνοιαν, οὔτε μὴν εὐκόλως εἰς ἑτέρας μεθισταμένων λατρείας, ἀπεπήδησεν ὁ Ἰσραὴλ τῇ τοῦ Καίσαρος ἑαυτὸν προσνέμων ἀρχῇ, καὶ τὴν τοῦ Θεοῦ βασιλείαν ἀπεδύσατο. τοιγάρτοι καὶ σφόδρα δικαίως ταῖς τοῦ Καίσαρος ἐδόθη d χερσὶν, οὗ καὶ ἐν ἀρχαῖς τὴν ἐξουσίαν καταδεξάμενος, αὐτός τε διόλωλε κακῶς, ὑπέμεινέ τε τῆς χώρας τὴν ἐξανάστασιν καὶ τὰ ἐκ τοῦ πολέμου πάθη καὶ τὰς ἀνηκέστους ἐκείνας συμφοράς.

13. ἀλλάξονται E. Migne. ἀλλάλαξονται (sic) Aub. 17. πονηροὺς E.
20. τὴν pro τῶν E. 23. μεθισταμένης E.

Ἐπιτήρει δὲ πάλιν ἐν τούτοις τοῦ συγγραφέως τὴν ἀκρίβειαν. οὐ γὰρ τὸν δῆμον ἔφη τῆς οὕτω δυσσεβεστάτης κατάρξαι φωνῆς, ἀλλὰ πάλιν αὐτοὺς τοὺς ἡγεῖσθαι λαχόντας. ἐκραύγασαν γάρ, φησὶν, οἱ ἀρχιερεῖς, πανταχοῦ δεικνὺς, ὅτι τοῖς ἡγουμένοις κατακολουθοῦν τὸ ὑπήκοον ἠνέχθη κατὰ e πετρῶν, καὶ εἰς τὸ τῆς ἀπωλείας κατώλισθε βάραθρον. εὐθύνονται τοίνυν οἱ ἀρχιερεῖς, ὡς οὐ μόνον τὰς ἰδίας ἀπολλύντες ψυχὰς, ἀλλὰ καὶ τοῖς ὑπὸ χεῖρα λαοῖς τῆς ὀλεθρίου μιαιφονίας αὐτοὶ γεγονότες ἡγεμόνες καὶ στρατηγοὶ καὶ παραίτιοι, καθάπερ ἀμέλει καὶ ὁ προφήτης αὐτοὺς κατῃτιᾶτο Hos. v. 1, 2. βοῶν "Ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον "ἐκτεταμένον ἐπὶ τὸ ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν "κατέπηξαν." σκοπιὰν γὰρ ἐν τούτοις ἀποκαλεῖ τὴν τῶν ὑπὸ χεῖρα πληθὺν, τεταγμένην ὥσπερ τὴν τῶν ἡγουμένων κατασκέπτεσθαι πολιτείαν, διαπλάττειν δὲ οὕτω τὴν ἑαυτῶν. **1056 A.** a σκοποὶ γὰρ διὰ τοῦτο παρὰ τοῖς ἁγίοις κέκληνται γράμμασιν οἱ λαῶν προτεταγμένοι. παγὶς οὖν ἄρα καὶ δίκτυον τῇ σκοπιᾷ γεγόνασιν οἱ ἀρχιερεῖς αὐτοὶ καὶ τῆς ἀρνήσεως ἀρξάμενοι, καὶ τοὺς ἄλλους ἅπαντας συναναπείσαντες λέγειν Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. τολμῶσι δὲ τοῦτο λέγειν οἱ δείλαιοι, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς διὰ φωνῆς τοῦ προφήτου τὴν τοῦ Σωτῆρος αὐτοῖς προκαταγγέλλοντος Zach. ix. 9. ἄφιξιν, οὕτω τε βοῶντος "Χαῖρε σφόδρα θύγατερ Σιὼν, "κήρυττε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεb "ταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς "ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον." οἱ δὲ καίτοι τῷ πώλῳ τῆς ὄνου τὸν Ἰησοῦν ἐποχούμενον ἀνενεγκόντες εἰς Ἱεροσόλυμα, πανδημί τε νηπίοις ὁμοῦ ταῖς ὑπὲρ ἄνθρωπον καταστέψαντες S. Matth. xxi. 9. εὐφημίαις, ἔφασκον γὰρ "Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό"ματι Κυρίου," καταβοῶσι νυνὶ, μόνην ἐπιγραφόμενοι τὴν Ῥωμαίων ἀρχὴν, καὶ τῆς ὑπὸ Θεῷ βασιλείας τὸν οἰκεῖον

11. ἐγεννήθητε E. 12. ἐκτεταμμένον E. ἰτακύριον E. 28. πανδημί E. πανδημῇ Aub. πανδημεί Migne.

ὥσπερ ἀπολύοντες αὐχένα. τοῦτο γὰρ ἦν ἐναργῶς τὸ λέγειν c Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. ἀλλ' εὑρήσομεν πάλιν καὶ τότε μὲν ἐπὶ τῷ Σωτῆρι Χριστῷ παρὰ τῶν λαῶν γεγενημένην τὴν εὐφημίαν, παρὰ δὲ τῆς τῶν ἀρχιερέων δυσβουλίας καὶ ταύτην ταῖς ἄλλαις προστετολμῆσθαί φαμεν τὴν καταβοήν.

Τότε οὖν παρέδωκεν αὐτοῖς αὐτὸν ἵνα σταυρωθῇ. 16

Ταῖς τῶν Ἰουδαίων ἀκράτοις ὀργαῖς ἀπονέμει λοιπὸν καὶ οὐχ ἑκὼν ὁ Πιλάτος τὴν εἰς πᾶν ὁτιοῦν καὶ τῶν ἔξω νόμων ἀποδρομὴν, καὶ τὴν τοῖς δικάζουσι πρέπουσαν ἐξουσίαν ἀφελὼν, ἀταμιεύτοις ἤδη φέρεσθαι τοῖς θυμοῖς ἀνεγκλήτως d ἐφίησι, σταυροῦν ἐπιτρέψας τὸν ἐπ' οὐδενὶ μὲν τῶν φαύλων ἁλόντα παντελῶς, ὅτι δὲ μόνον Υἱὸν ἑαυτὸν ἔφη Θεοῦ (Supra ver. 7.) παραλόγως κρινόμενον. Ἰουδαίοις μὲν οὖν τὸ πᾶν τοῦ τολμήματος ἐπιγράψαι τις ἂν, καὶ τὴν τῆς πρωτουργίας εἰκότως ἂν οἶμαι καὶ καλῶς ἀναθείη γραφήν· αὐτοὶ γὰρ γεγόνασι τῆς κατὰ Χριστοῦ δυσσεβείας ἀρχή· τὴν δέ γε Πιλάτου κεφαλὴν τῆς ἐκείνων ἀνοσιότητος οὐκ ἀμοιρῆσαί e φαμεν, ἀλλ' εἶναι τοῖς δράσασι συνυπαίτιον, ἐπείπερ ἐκρύεσθαί τε καὶ διασῴζειν ἐξὸν τῆς τῶν φονώντων μανίας, οὐχ ὅπως ἐξείλετο μόνον, ἀλλὰ καὶ παρέδωκεν οὐχ ἁπλῶς, ἀλλ' ἵνα σταυρώσειαν.

Παρέλαβον οὖν τὸν Ἰησοῦν, καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν 17
ἐξῆλθεν εἰς τὸ λεγόμενον κρανίου τόπον, ὃ λέγεται Ἑβραϊστὶ
Γολγοθᾶ, ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο 18
ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

Ἀπάγουσι μὲν ὡς τεθνηξόμενον ἤδη τὸν τῆς ζωῆς ἀρχη- a 1057 A. γὸν, ἐπράττετο δὲ καὶ τοῦτο ὑπὲρ ἡμῶν, δυνάμει τῇ θείᾳ

22. σταυρώσει E. 23. παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἤγαγον εἰς τὸ πραιτώριον καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ F mg. Ed. mg. 24. ὃ] ὃς F mg. 25. Γολγοθὰ E.

καὶ τέχνῃ τῇ ὑπὲρ νοῦν εἰς ἀδόκητόν τινα καὶ ἀντίστροφον θεσιν ἐκτελευτῶντος τοῦ πάθους· παγὶς γὰρ ὥσπερ τῷ τοῦ θανάτου κράτει, τὸ Χριστοῦ πάθος ἐσκευάζετο, καὶ ἀνανεώσεως ἀρχὴ τῆς εἰς ἀφθαρσίαν καὶ καινότητα ζωῆς ὁ τοῦ Κυρίου θάνατος ἦν. τὸ δὲ ἐφ᾽ ᾧπερ ἔμελλε σταυροῦσθαι ξύλον ἐπωμάδιον ἔχων πρόεισι λοιπὸν κατακεκριμένος ἤδη b καὶ τὴν ἐφ᾽ αἵματι ψῆφον ἐπ᾽ οὐδενὶ παντελῶς ὑπομείνας κακῷ, καὶ τοῦτο δι᾽ ἡμᾶς. τὰς γὰρ τοῖς ἡμαρτηκόσιν ἐπηρτημένας εὐλόγως ἐκ τοῦ νόμου δίκας εἰς ἑαυτὸν ἐκομίζετο. (Gal. iii. 13.) γέγονε γὰρ "ὑπὲρ ἡμῶν κατάρα," κατὰ τὸ γεγραμμένον, "ἐπικατάρατος γάρ φησι, πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου." ἐπάρατοι δὲ πάντες ἡμεῖς, τὸν θεῖον ἀποπληροῦν οὐκ ἀνεχόμενοι νόμον, (S. Jac. iii. 2.) "πολλὰ γὰρ πταίομεν ἅπαντες," εὐολισθοτάτη τε πρὸς τοῦτο λίαν ἡ ἀνθρώπου φύσις. ἐπειδὴ δὲ πάλιν ὁ (Gal. iii. 10, e Deut. xxvii. 26.) c θεῖος ἔφη που νόμος "Ἐπικατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς "ἐγγεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι "αὐτά·" ἡμῶν ἄρα, καὶ οὐχ ἑτέρων ἡ ἀρά. οἷς γὰρ ἔγκλημα μὲν ἡ παράβασις, τὸ δὲ τοῦ διορισθέντος ἐξολισθεῖν εὐπετέστατον, αὐτοῖς ἂν εἴη καὶ τὸ εὐθύνεσθαι πρέπον. οὐκοῦν ἐπάρατος δι᾽ ἡμᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἵν᾽ ἡμᾶς ἀπολύσῃ τῆς ἀρχαίας ἀρᾶς. ἐξήρκει γὰρ τοῦτο παθὼν ὑπὲρ πάντων d ὁ ὑπὲρ πάντας Θεὸς, καὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τὴν ἁπάντων λύτρωσιν ἐξωνούμενος.

Ἐπικομίζεται τοίνυν, οὐ τὸν αὐτῷ πρέποντα σταυρὸν ὁ Χριστὸς, ἀλλὰ τὸν ἡμῖν ἐπηρτημένον τε καὶ χρεωστούμενον, ὅσον ἧκεν εἰπεῖν εἰς τὴν διὰ νόμου κατάκρισιν. ὥσπερ γὰρ γέγονεν ἐν νεκροῖς, οὐ δι᾽ ἑαυτὸν, ἀλλὰ δι᾽ ἡμᾶς, ἵν᾽ ἡμῖν ἀρχηγὸς τῆς εἰς αἰῶνα ζωῆς εὑρεθῇ, καταλύσας δι᾽ ἑαυτοῦ τοῦ θανάτου τὸ κράτος, οὕτω καὶ τὸν ἡμῖν πρέποντα σταυρὸν εἰς ἑαυτὸν ἀναλαμβάνει, τὴν ἐκ τοῦ νόμου κατάκρισιν ἐν (Ps. cvi. 42.) e ἑαυτῷ κατακρίνων, ἵνα πᾶσα λοιπὸν ἀνομία ἐμφράξῃ στόμα

6. ἐπωμίδιον a. κατακεκριμένον Migne. 11. ξύλου E. a. ξύλον Ed.
14. τε assumptum ex E. 20. ἵν᾽ E. ἵνα Ed. 27. ἵν᾽ E. ἵνα Ed.

αὐτῆς, κατὰ τὸ ἐν ψαλμοῖς μελῳδούμενον, τοῦ μὴ ἔχοντος ἁμαρτίαν ὑπὲρ τῆς ἁπάντων ἁμαρτίας καταδεδικασμένου. ὀνήσει δὲ σφόδρα τὰς ἡμετέρας ψυχὰς τὸ ἐπὶ Χριστῷ τετελεσμένον, εἰς τύπον ἀνδρείας φημὶ δὴ τῆς κατ᾽ εὐσέβειαν. περιέσται γὰρ οἶμαι καθ᾽ ἕτερον ἡμῖν οὐδένα τρόπον τῆς τελειότητος ἐφικέσθαι τῶν ἀγαθῶν, καὶ τῆς πρὸς Θεὸν ὁλοτελοῦς ἑνώσεως, εἰ μὴ τῆς ἐπιγείου ζωῆς ἀμείνω τε ποιησαίμεθα τὴν εἰς αὐτὸν ἀγάπησιν, καὶ προκινδυνεῦσαι τῆς ἀληθείας ἐθέλοιμεν προθυμότατα, καλοῦντος ἡμᾶς εἰς τοῦτο καιροῦ. καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, πᾶς, a 1058 A. φησὶν, "ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ S. Matth. x. 38. "ὀπίσω μου οὐκ ἔστι μου ἄξιος·" τὸ δὲ λαβεῖν τὸν σταυρὸν, οὐδὲν οἶμαι σημαίνειν ἕτερον, ἢ τὸ ἀποτάξασθαι μὲν τῷ κόσμῳ διὰ Θεὸν, δευτέραν δὲ τῶν ἐν ἐλπίσιν ἀγαθῶν καὶ αὐτὴν ποιεῖσθαι τὴν μετὰ σώματος εἰ τύχοι ζωήν. ἀλλ᾽ ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τὸν ἡμῖν πρέποντα διακομίζων σταυρὸν οὐκ ἐρυθριᾷ, καὶ τοῦτο παθὼν διὰ τὴν εἰς ἡμᾶς ἀγάπησιν· ἡμεῖς δὲ οἱ δείλαιοι, καίτοι μητέρα τὴν ὑπὸ πόδας ταυτηνὶ καὶ ἀναίσθητον ἔχοντες γῆν, καὶ ἐκ τοῦ μη- b δενὸς εἰς τὸ εἶναι κεκλημένοι, τῶν ὑπὲρ τῆς εὐσεβείας ἱδρώτων οὐδ᾽ ὅσον ἀποθίγειν ἀποτολμῶμεν ἔσθ᾽ ὅτε, ἀλλὰ καὶ εἴ τι γένοιτο παθεῖν διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν, ἀφόρητον εὐθὺς ποιούμεθα τὴν αἰσχύνην, καὶ τὸν τῶν δι᾽ ἐναντίας ἤτοι τῶν εἰωθότων φιλοψογεῖν, ὡς ὀλέθριόν τι χρῆμα παραιτούμενοι γέλωτα, τῆς ὀλίγης ταυτησὶ καὶ προσκαίρου φιλοδοξίας κατόπιν ἐῶντες τὸ δοκοῦν τῷ Θεῷ, τὴν ἁπάντων, ὡς ἔπος εἰπεῖν, μητέρα τῶν κακῶν νοσοῦμεν ὑπεροψίαν, καὶ τοῖς c ἐντεῦθεν ἐγκλήμασι περιπίπτομεν. ὑπὲρ γὰρ τὸν κύριον οἱ Cf. ib. 24. δοῦλοι, καὶ ὑπὲρ τὸν διδάσκαλον οἱ μαθηταὶ, φρονοῦμέν τε καὶ πράττομεν. ἀλλ᾽ ὢ τῆς οὕτω δεινῆς ἀσθενείας, παρὰ πόδας ἡμῖν οὐκ οἶδ᾽ ὅπως κειμένης, καὶ τῆς τοῦ πρέποντος θήρας ἀποσφαλλούσης τὸν νοῦν.

4. δὲ pro δὴ E. 11. ἀκολουθῇ E. 21. ἀποθίγειν E. ἀποθήγειν Ed. 24. τι E. Migne. τε Aub. 30. παρὰ E. περὶ Ed.

Ἰστέον δὲ ὅτι καὶ ὁ θεσπέσιος Πέτρος οὐ φορητὴν ἐποιήσατό ποτε τὴν πρόῤῥησιν, τὰ ἐπὶ τῷ σταυρῷ προαπαγγείλαντος πάθη τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· ὁ μὲν γὰρ

S. Matth. xx. 18, xxvi. 45, xvii. 23. d ἔφασκεν "Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ "ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν, καὶ σταυρώ-"σουσιν αὐτὸν, καὶ ἀποκτενοῦσιν·" ὁ δὲ τῆς οἰκονομίας οὔπω συνεὶς τὸ μυστήριον, ἅτε δὴ φιλόθεός τε καὶ φιλοδιδάσκαλος

Ib. xvi. 22. ὢν, ἐξ εὐλαβείας κεκινημένος, ἔφασκεν "Ἵλεώς σοι Κύριε, "οὐ μὴ ἔσται σοι τοῦτο·" καὶ τί πρὸς ταῦτα Χριστος;

Ib. 23. "Ὕπαγε ὀπίσω μου σατανᾶ σκάνδαλόν μου εἶ, ὅτι οὐ φρο-"νεῖς τὰ τοῦ Θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων." ἀλλ' ἔστιν e ἐντεῦθεν οὐ μετρίαν ἡμῖν συλλέξαι τὴν ὄνησιν· εἰσόμεθα γὰρ ὅτι καιροῦ καλοῦντος εἰς ἐπίδειξιν ἀνδρείας τῆς κατὰ Θεὸν, καὶ ἀγῶνας τοὺς ὑπὲρ ἀρετῆς εἰσβαίνοντας τληπαθεῖν ἀναγκαῖον, ἀλλὰ κἂν οἱ σφόδρα τιμῶντές τε καὶ ἀγαπῶντες ἀποκωλύωσί τι δρᾶν τῶν ὅσα τελεῖ πρὸς κατόρθωσιν ἀρετῆς, τὴν ἐν ἀνθρώποις τυχὸν ἀδοξίαν προτείνοντες, ἤγουν ἐννοήσαντές τι κοσμικὸν, προσεκτέον οὐδαμῶς. διαφέρουσι γὰρ κατ' οὐδένα τρόπον τοῦ σατανᾶ, ᾧ τὸ σκάνδαλα τιθέναι φίλον, τετριμμένον τε καὶ σύνηθες, ἀπάταις τισὶ καὶ λόγοις ἔσθ'

1059 A. a ὅτε μαλακοῖς, τῆς τοῦ συμφέροντος θήρας ἐξέλκειν τὸν ἐκ φιλοθέου γνώμης εἰς τοῦτο παρωρμημένον. καί μοι δοκεῖ

Ib. v. 29. τοιοῦτόν τι βούλεσθαι δηλοῦν ὅταν λέγῃ Χριστός "Ἐὰν "οὖν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν "καὶ βάλε ἀπὸ σοῦ." τὸ γὰρ ἀδικοῦν οὐκ οἰκεῖον ἔτι, κἂν τῷ τῆς ἀγάπης θεσμῷ πρὸς ἑνότητα σφίγγηται, κἂν ἡ φύσις αὐτῷ τὸ τῆς πρὸς ἡμᾶς οἰκειότητος χαρίζηται δίκαιον.

Λῃστῶν δὲ δυὰς συνεσταυρώθη Χριστῷ, τῆς τῶν Ἰου-

b δαίων κακουργίας ἐπινοούσης καὶ τοῦτο. ἀτιμότατον γὰρ ὥσπερ καὶ αὐτὸν τοῦ Σωτῆρος ἐπιδεικνύντες τὸν θάνατον, συγκατακρίνουσι τοῖς ἀνόμοις τὸν δίκαιον. σημεῖον δ' ἂν εἶεν οἱ τῷ Σωτῆρι παρηρτημένοι κατάκριτοι, τῶν ὅσον οὐδέπω

14. Legendumne εἰσβαίνοντος? 18. τι E. Migne. τε Aub. 20. τε] τι Migne. 27. χαρίζηται E. Migne. χαρίζεται Aub.

συναφθήσεσθαι μελλόντων αὐτῷ δύο λαῶν, φημὶ δὴ τοῦ
ἐξ Ἰσραὴλ καὶ τοῦ ἐξ ἐθνῶν. κατάκριτος δὲ διὰ τί τῶν
τοιούτων ὁ τύπος; Ἰουδαίους μὲν γὰρ ὁ νόμος κατακρίτους c
ἐδείκνυεν, ἔνοχοι γὰρ ἦσαν ταῖς παραβάσεσιν, Ἕλληνας δὲ ἡ
πλάνη· λελατρεύκασι γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα.

Καὶ καθ' ἕτερον δὲ τρόπον οἱ Χριστῷ κολλώμενοι καὶ
συσταυροῦνται πάντως αὐτῷ· θάνατον γὰρ ὥσπερ τὸν ἐκ
τῆς ἀρχαίας ἀναστροφῆς ὑπομένοντες πρὸς νέαν τινὰ καὶ
εὐαγγελικὴν ἀναμορφοῦνται ζωήν. καὶ γοῦν ὁ Παῦλος ἔλε-
γεν "Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν Gal. v. 24.
"σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις," καὶ πάλιν ὡς ἐν d
τοῖς καθ' ἑαυτὸν περὶ πάντων "Ἐγὼ γὰρ διὰ νόμου νόμῳ Ib. ii. 19, 20.
"ἀπέθανον, ἵνα Θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ
"οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" ἐπιστέλλει δὲ καὶ
πρός τινας "Εἰ οὖν ἀπεθάνετε ἐκ τοῦ κόσμου, τί ὡς ζῶντες Col. ii. 20.
"ἐν τῷ κόσμῳ χρηματίζετε;" θάνατος γὰρ κοσμικῆς ἀνα-
στροφῆς εἰς ἀρχὰς ἀναφέρει τῆς ἐν Χριστῷ πολιτείας καὶ
ζωῆς. οὐκοῦν ἡ συσταύρωσις τῶν δύο λῃστῶν, σημαίνει πως
ἡμῖν διὰ τοῦ συμβεβηκότος, τῶν δύο λαῶν τὴν παράστασιν,
συντεθνηξομένων ὥσπερ τῷ Σωτῆρι Χριστῷ, κατά γε τὸ
ἀποτάξασθαι κοσμικαῖς ἡδοναῖς, καὶ μηκέτι ζῆν ἑλέσθαι
σαρκικῶς, συζησομένων δὲ μᾶλλον τῷ ἰδίῳ Δεσπότῃ, ὅσον e
ἧκεν εἰς τὸ αὐτῷ πολιτεύεσθαι, καὶ αὐτῷ τὴν ἰδίαν ἀναγρά-
ψαι ζωήν. λυμαίνεται δὲ οὐδὲν τῇ τῆς εἰκόνος δυνάμει, τὸ S. Luc. xxiii. 32.
κακούργους εἶναι τοὺς συγκεκρεμαμένους· "ἦμεν γὰρ τέκνα Eph. ii. 3.
"φύσει ὀργῆς" πρὸ τῆς εἰς Χριστὸν πίστεως, καὶ θανάτῳ
πάντες ἔνοχοι, καθάπερ εἴπομεν ἐν ἀρχῇ.

Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· 19
ἦν δὲ γεγραμμένον ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ
ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

Τοῦτο δὴ πάντως ἐστὶ τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ καὶ a **1060 A.**

2. κατάκριτος E. κατάκριτοι Ed. 7. ὥσπερ om. E. 16. χρηματί-
ζεται E. χρηματίζεσθε(?) F. 31. Τοῦτο δὴ] Τουτὶ δὲ a.

Col. ii. 14, 15. προσηλῶσαί φησιν ὁ θεσπέσιος Παῦλος τῷ ἰδίῳ σταυρῷ τὸν Κύριον, θριαμβεῦσαί τε ἐν αὐτῷ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ὡς νενικημένας δηλονότι καὶ τῆς ἰδίας ἀποπεσούσας ἀρχῆς. εἰ γὰρ καὶ οὐκ αὐτὸς τὸν τίτλον ἔπηξεν ὁ Σωτὴρ, ἀλλ' ὁ τῆς Ἰουδαίων μανίας συνεργάτης καὶ ὑπουργὸς, ἀλλ' οὖν τῷ ἐφεῖναι γενέσθαι καὶ τοῦτο ὡς αὐτουργὸς ἀναγέγραπται. τεθριάμβευκε δὲ τὰς ἀρχὰς ἐν αὐτῷ. προὔκειτο γὰρ τοῖς
b ἐθέλουσιν εἰς ἀνάγνωσιν, τὸν ὑπὲρ ἡμῶν παθόντα σημαῖνον, καὶ τὴν ἰδίαν διδόντα ψυχὴν τῆς ἁπάντων ζωῆς ἀντίλυτρον. πάντες μὲν γὰρ οἱ ὄντες ἐπὶ τῆς γῆς, ἐπείπερ ἀρκύων εἴσω
Ps. xiii. 3. τῶν τῆς ἁμαρτίας πεπτώκαμεν· "πάντες γὰρ ἐξέκλιναν, "ἅμα ἠχρειώθησαν" κατά γε τὸ γεγραμμένον· ταῖς τοῦ διαβόλου κατηγορίαις γεγονότες ἔνοχοι, στυγνόν τε καὶ ἀμειδῆ διεζῶμεν βίον. εἶχε δὲ καθ' ἡμῶν χειρόγραφον, τὴν ἐκ τοῦ θείου νόμου τοῖς παραβαίνουσιν ἐπηρτημένην ἀρὰν,
c καὶ τὴν κατὰ τοῦ τῆς ἀρχαίας ἐκείνης παρολισθήσαντος ἐντολῆς ἐξενεχθεῖσαν ψῆφον, καθ' ὁμοιότητα τὴν ἐκείνου, κατὰ παντὸς ἐρχομένην τοῦ γένους, ἅτε δὴ καὶ παρὰ πάντων παραλυομένου τοῦ δοκοῦντος Θεῷ. οὐ γὰρ δήπου λελύπηται μὲν ἐν Ἀδὰμ διαπταίσαντι Θεὸς, οὐκέτι δὲ ἦν τοιοῦτος ἐν τοῖς μετ' ἐκεῖνον ἀτιμάζουσι τὸ τῷ κτίσαντι δοκοῦν, ἀλλ' ὡς ἐφ' ἑνὸς κατὰ πάντων ὁ τοῖς πλημμελοῦσιν ἐπηρτημένος ἐξετείνετο νόμος. ἦμεν οὖν ἐπάρατοι, καὶ τῇ θείᾳ ψήφῳ κατακεκριμένοι, διά τε τὴν ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν ἐκ τοῦ μετ' ἐκεῖνον διορισθέντος νόμου· ἀλλὰ τοῦτο τὸ καθ' ἡμῶν
d χειρόγραφον ἐξήλειψεν ὁ Σωτὴρ, προσηλώσας τὸν τίτλον τῷ ἰδίῳ σταυρῷ, σαφῶς εὖ μάλα σημαίνοντα τὸν ἐπὶ τῷ ξύλῳ θάνατον, ὃν ὑπὲρ τῆς τῶν καταδεδικασμένων ὑπέστη ζωῆς. ἐξέτισε γὰρ ὑπὲρ ἡμῶν τὰς ὑπὲρ τῶν ἐγκλημάτων

1. προσηλῶσαί E. Cord. προσηλῶσθαί Ed. [προσηλῶσαι Cord. adnotat et Aub.] 2. θριαμβεύσας τε (sic) Cord. θριαμβεύσαντα a. 4. προσέπηξεν a. 6. τῷ [τὼ Cod.] E. τὸ Ed. τοῦτο F supraser. "al. τοῦτο" Ed. mg. τούτῳ F. Ed. οὖν καθὸ γενέσθαι τοῦτο ἐφῆκεν ὡς a. 7. γὰρ pro δὲ a. 8. σημαίνων a. γρ. σημαίνων Ed. mg. σημαῖνον habet F. 9. τῆς] + τῶν a. 12. ἅμα] + καὶ Cord. γε assumptum ex E. 14. ἰδιόγραφον a. 15. κατάραν a. 25. καθ' ἡμᾶς Cord.

δίκας. εἰ γὰρ καὶ εἷς ἦν ὁ πάσχων, ἀλλ᾽ ἦν ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὡς Θεὸς, καὶ τῆς ἁπάντων ζωῆς ἀξιώτερος. διά τοι τοῦτο, καθὰ καὶ ὁ ψάλλων φησὶν, ἐνέφραξε μὲν ἀνομία (Ps. cvi. 42.) πᾶσα τὸ στόμα αὐτῆς, κατηργήθη δὲ τρόπον τινὰ τῆς ἁμαρτίας e ἡ γλῶττα, καταλέγειν ἔτι τῶν ἡμαρτηκότων οὐκ ἔχουσα. δεδικαιώμεθα γὰρ, ἐκτετικότος ὑπὲρ ἡμῶν τὰ ὀφλήματα τοῦ Χριστοῦ· "τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν," (Es. liii. 5.) κατὰ τὸ γεγραμμένον. ὥσπερ δὲ διὰ τοῦ ξύλου τὸ ἐκ τῆς ἀποπτώσεως ἡμῖν ἐξεμηχανήθη κακὸν, οὕτω δὴ πάλιν διὰ ξύλου γέγονεν ἡ εἰς ὅπερ ἦμεν ἐν ἀρχαῖς ἀναδρομὴ, καὶ τῶν οὐρανίων ἀγαθῶν ἡ τριπόθητος ἐπανάληψις, καὶ αὐτὴν ὥσπερ τοῦ νοσήματος τὴν ἀρχὴν ἀνακεφαλαιουμένου δι᾽ ἡμᾶς εἰς ἑαυτὸν τοῦ Χριστοῦ.

a 1061 A.

Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι 20 ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστὶ Ῥωμαϊστὶ Ἑλληνιστί.

Εὐμηχάνως δὴ λίαν καὶ διὰ θείας τινὸς καὶ ἀῤῥήτου πάλιν οἰκονομίας ἀνατεθεῖσθαι τὸν τίτλον φαίη τις ἂν τριπλῆν ἔχοντα τὴν γραφὴν, Ἑβραϊστὶ, Ῥωμαϊστὶ, Ἑλληνιστί· προὔκειτο γὰρ ἐναργῶς τὴν τοῦ Σωτῆρος ἡμῶν βασι- b λείαν ὁμολογῶν διὰ τριῶν τέως τῶν ἁπασῶν ἐπιφανεστέρων γλωσσῶν, καὶ ἀπαρχὴν ὥσπερ τινὰ τῷ σταυρωθέντι προσάγων τῆς περὶ αὐτοῦ λαληθείσης προφητείας. ἔφη γάρ που Δανιὴλ ὁ σοφώτατος, ὅτι "αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ βασι- (Dan. vii 14.) "λεία καὶ πᾶσαι αἱ φυλαὶ καὶ γλῶσσαι αὐτῷ δουλεύ- "σουσιν," ἀλλὰ καὶ Παῦλος ἡμῖν ὁ ἱερώτατος ἐπιστέλλει βοῶν, ὅτι "πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ (Phil. ii. 10, 11.) "καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι "Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός." ἀπαρχὴ c τοιγαροῦν ὥσπερ τις ἀληθὴς τῆς τῶν γλωσσῶν ὁμολογίας ὁ τίτλος ἦν, βασιλέα κηρύσσων τὸν Ἰησοῦν. ἦν δὲ καὶ ἑτέρως τῆς Ἰουδαίων ἀφιλοθείας κατήγορος, μονονουχὶ διαῤ-

*ῥήδην ἀνακεκραγὼς τοῖς συνθέουσι πρὸς ἀνάγνωσιν, ὅτι τὸν
οἰκεῖον ἐσταύρωσαν βασιλέα καὶ Κύριον, τῆς εἰς αὐτὸν ἀγά-
d πης ἀλογήσαντες παντελῶς, καὶ πρὸς τὴν ἁπασῶν ἐσχάτην
ἀναισθησίαν πεσόντες οἱ δείλαιοι.*

21 Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων Μὴ γράφε
Ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε Βασιλεύς
22 εἰμι τῶν Ἰουδαίων. ἀπεκρίθη ὁ Πιλάτος Ὃ γέγραφα γέ-
γραφα.

*Ἀφορήτως ἔχουσι πρὸς τὴν ἐπὶ τῷ τίτλῳ γραφὴν οἱ τῶν
Ἰουδαίων καθηγηταὶ, καὶ δριμὺς αὐτοὺς εἰσέδραμε φθόνος.
e ἀρνοῦνται δὲ πάλιν τὴν Χριστοῦ βασιλείαν, καὶ ἀληθῶς μὲν
αὐτὸν οὐ κατάρξαι φασὶν, οὔτε μὴν εἰς βασιλέα παραδε-
δέχθαι πώποτε, λόγῳ γεμὴν κεχρῆσθαι τοιούτῳ φασὶν, ἐκ
πολλῆς ἄγαν τῆς ἐνούσης αὐτοῖς εὐηθείας ἠγνοηκότες καὶ
τοῦτο, ὡς οὐκ ἂν ψευδομυθῆσαι ποτὲ τῆς ἀληθείας ἡ φύσις·
ἀλήθεια δὲ ὁ Χριστός· βασιλεὺς οὖν ἄρα τῶν Ἰουδαίων, εἴπερ
οὕτως ἑαυτὸν ἐλέγχεται κεκληκὼς, καθὰ καὶ αὐτοὶ δι' οἰκείας
τοῦτο κρατύνουσι φωνῆς. ἀποσείεται δὲ Πιλάτος μεταποιεῖ-
σθαι τὴν γραφὴν ἐξαιτεῖν ἐθέλοντας, οὐ μέχρι παντὸς τὴν
1062 A. a τοῦ Σωτῆρος ἡμῶν ἀδικῆσαι δόξαν συγχωρούμενος, θείῳ
δηλονότι καὶ ἀῤῥήτῳ νεύματι. πεπηγμένη γὰρ καὶ ἀσυκο-
φάντητος ἡ Χριστοῦ βασιλεία, κἂν Ἰουδαῖοι μὴ βούλωνται,
παραχαράττειν ἐπιχειροῦντες τῆς εἰς αὐτὸν δόξης τὴν ὁμο-
λογίαν.*

23 Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ
ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ
μέρος, καὶ τὸν χιτῶνα. ἦν δὲ ὁ χιτὼν ἄραφος, ἐκ τῶν
24 ἄνωθεν ὑφαντὸς δι' ὅλου. εἶπον οὖν πρὸς ἀλλήλους Μὴ
b σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα

2. *βασιλέα*] Verba *κηρύσσων—βασιλέα* iterum repetit Aub. 11. *ἀληθῆ* E.
27. *ἄραφος* E. *ἄρραφος* Ed.

ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

Διενείμαντο μὲν οἱ στρατιῶται τὰ τοῦ Σωτῆρος ἱμάτια, θηριοπρεποῦς ἀγριότητος καὶ τῆς ἐνούσης αὐτοῖς ἀπανθρωπίας καὶ τοῦτο δεικνύντες σημεῖον. ἐν ἔθει γάρ πως ἐστὶ c *τοῖς κολασταῖς ἥκιστα μὲν ἐπαλγεῖν ταῖς τῶν κατακρίτων ταλαιπωρίαις, ἀπηνέστερον δὲ ἢ προσῆκεν ἔσθ᾽ ὅτε τοῖς προστεταγμένοις ὑπηρετεῖν, καὶ ταῖς τῶν πασχόντων ἐπανδρίζεσθαι συμφοραῖς, καὶ ὥσπερ τινὰ κλῆρον καθικόμενον εἰς αὐτοὺς, ἐξ ἀναγκαίου τε καὶ νομίμου λόγου, τὸν τῶν ἱματίων ποιεῖσθαι σφετερισμόν. εἰς τέσσαρα τοίνυν διελόντες μέρη τὰ διηρπασμένα, σῶόν τε καὶ ἀδιάτμητον τηροῦσι τὸν ἕνα. διαῤῥηγνύναι γὰρ οὐ δοκεῖ τὸ μὴ παν-* d *τελῶς ἀχρειοῦν ἀρέσαν αὐτοῖς· κληρωτὸν τοιγαροῦν ἐποιήσαντο δῶρον. οὐ γὰρ ἐνεχώρει ψεύσασθαι λέγοντα τὸν Χριστὸν διὰ τῆς τοῦ ψάλλοντος φωνῆς "Διεμερίσαντο τὰ* Ps. xxi. 19. *"ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον "κλῆρον." ταυτὶ μὲν οὖν ἅπαντα προανεφωνεῖτο χρησίμως, ἵν᾽ εἰδείημεν ἡμεῖς ταῖς τῶν πραγμάτων ἐκβάσεσι τοὺς λόγους συμβάλλοντες, ὅτιπερ αὐτός ἐστιν ὁ προηγγελμένος ἥξειν τε ὑπὲρ ἡμῶν ἐν τῇ καθ᾽ ἡμᾶς εἰκόνι, καὶ ὑπὲρ τῆς ἁπάντων ζωῆς τεθνάναι προσδοκώμενος. οὐ γὰρ δή τις* e *οἰήσεται νοῦν ἔχων, ὡς ἠνέσχετο ἂν καὶ αὐτὸς ὁ Σωτὴρ, κατὰ τὴν τῶν Ἰουδαίων ἀσυνεσίαν, διυλίζειν τὸν κώνωπα,* S. Matth. xxiii. 24. *τουτέστι τὰ λεπτά τε καὶ ἰσχνότατα τῶν παθημάτων προαναφωνεῖν, ὡς καὶ τῆς τῶν ἱματίων μεμνῆσθαι διανομῆς, καταπίνειν δὲ ὥσπερ τὴν κάμηλον, τουτέστι τὰ μεγάλα καὶ ὑπερφερῆ τῶν τολμημάτων εἰς ἀσέβειαν οὐ πολλοῦ τινος ἀξιῶσαι λόγου, προκεχρησμῴδηκε δὲ μετ᾽ ἐκείνων καὶ ταῦτα·*

2. *ἔβαλλον* E. 4—p. 89, 25 bis exhibet (nonnulla tamen diversitate) E. Haec E_1 E_2 notantur; quando E solum notatur est E_1 et E_2. 4. *δὲ* pro *μὲν* E_1. 9. *προστεταγμένοις* E. *προτεταγμένοις* Ed. 15. *ἀχρειοῦν* E. *ἀχροῦν* Ed. 16. *τὸν Χριστὸν λέγοντα* inverso ordine E_2.

πρῶτον μὲν ἵνα γινώσκωμεν, ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων, τῶν ἔσεσθαι μελλόντων ἠγνόησεν οὐδὲν, εἶτα πρὸς τούτοις, 1063 A. a ἵνα πιστεύωμεν αὐτὸν ἀληθῶς εἶναι τὸν προκεκηρυγμένον, διὰ πολλῶν ὅσων τῶν ἐπ' αὐτῷ τετελεσμένων ἐπὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ποδηγούμενοι.

Εἰ δὲ δεῖ τι πάλιν καὶ ἐπὶ τῇ τῶν ἱματίων διανομῇ περισκεψαμένους εἰπεῖν, ὃ καὶ βλάβος μὲν οἴσει παντελῶς οὐδὲν, ὀνήσει δὲ τάχα τοὺς ἐντευξομένους, ἐρῶ δὴ καὶ τοῦτο. εἰς τέσσαρα μέρη τὰ τοῦ Σωτῆρος διελόντες ἱμάτια, ἀμέριστον τηροῦσι τὸν ἕνα, τῆς ἀφράστου σοφίας τοῦ Μονογενοῦς διοικουμένης ὥσπερ τι καὶ διὰ τούτου σημεῖον μυστικῆς οἰκονομίας, δι' ἧς ἔμελλε τὰ τέσσαρα τῆς οἰκουμένης ἀνασώζεσθαι μέρη. ἐμερίσαντο γὰρ οἱονεί πως καὶ ἀμερίστως ἔχει b τὰ τέσσαρα τῆς οἰκουμένης μέρη τὸ ἅγιον ὄντως τοῦ Λόγου περίβλημα, τουτέστι τὸ σῶμα αὐτοῦ. κατακερματιζόμενος γὰρ ἐν τοῖς καθ' ἕνα, καὶ τὴν ἑκάστου ψυχὴν ἁγιάζων μετὰ τοῦ σώματος διὰ τῆς ἰδίας σαρκὸς ὁ Μονογενὴς, ὁλοκλήρως 1 Cor. i. 13. καὶ ἀμερίστως ἐν ὅλοις ἐστὶν εἷς ὑπάρχων πανταχῇ· μεμέρισται γὰρ οὐδαμῶς κατὰ τὴν τοῦ Παύλου φωνήν. τοιαύτην ἡμῖν τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύναμιν καὶ ἡ τοῦ νόμου καταγράφει σκιά. διετύπου γὰρ λαμβάνεσθαι τὸν ἀμνὸν κατὰ τὸν αὐτῷ πρέποντα καιρὸν, λαμβάνεσθαι δέ πως, οὐχ c ἑκάστῳ κατὰ κεφαλὴν ἀμνὸν ἕνα, κατ' οἶκον δὲ μᾶλλον καὶ Exod. xii. 4. κατὰ πληθύν· συλλήψεται γὰρ, φησὶν, ἕκαστος τὸν γείτονα καὶ τὸν πλησίον αὐτοῦ. καὶ μερίζεσθαι μὲν οὕτω κεκέλευκεν εἰς πολλοὺς τὸν ἀμνὸν, ἀλλ' ἵνα μὴ πάλιν ἐξ οἴκου πρὸς οἶκον ἀποκομισθέντων αὐτοῦ τῶν κρεῶν καταμερίζεσθαί πως διὰ

1–3. ὅτι—πιστεύωμεν (scil. ab -ωμεν ad -ωμεν transiliens) om. E_1. 4. ὅσον E_1. ὅσον ex ὅσων manu eadem E_2. 6. δή E_2. 8–19 citat Cod. Coislin. Paris. 217 (bombyc. sec. xiv.) fol. 118 v. 9. διελόντες τὰ τοῦ Σωτῆρος inverso ordine a. Cod. Coisl. invito Cord. 11. διοικουμένης a. Cod. Coisl. Cord. F mg. διοικονομουμένης F. Ed. τοῦτο Cord. 12. μέρη ante τῆς transponunt a. Cod. Coisl. Cord. διασώζεσθαι iidem. 13. ἐμερίσατο E. καὶ οἱονεί πως inverso ordine Cod. Coisl. καὶ] εἰ καὶ a. 14. τέσσαρα τῆς οἰκουμένης hoc ordine Cod. Coisl. Cord. τοῦ Λόγου om. Cod. Coisl. 18. εἷς om. Catt. Cod. Coisl. πανταχοῦ a. 19. τοῦ om. Cod. Coisl. 25. τὸν assumptum ex E.

τοῦτο δοκῇ, προσεπιτάττει λέγων "Ἐν οἰκίᾳ μιᾷ βρωθή-" "σεται· οὐκ ἐξοίσετε ἀπὸ τῶν κρεῶν αὐτοῦ ἔξω." (Exod. xii. 46.) ἄθρει γὰρ ὅπως, καθάπερ ἔφην ἀρτίως, καὶ ἐν τύποις αὐτῷ καὶ σκιαῖς τετήρηκεν ἡ γραφὴ τὸ μερίζεσθαι μὲν εἰς πολλοὺς, οἵπερ ἂν εἶεν ἐν ἑκάστῃ τυχὸν οἰκίᾳ, προμηθέστατα δὲ πάλιν καὶ τὸ μὴ μερίζεσθαι δοκεῖν, ἀλλὰ τελείως τε καὶ ὁλοκλήρως ὡς d ἕνα ἐν πᾶσι μεριστῶς τε ἅμα καὶ ἀμερίστως εὑρίσκεσθαι. τοιοῦτον δή τι νοήσεις καὶ ἐπὶ τοῖς ἱματίοις αὐτοῦ· τὰ μὲν γὰρ εἰς τέσσαρα διενεμήθη μέρη, μεμένηκε γεμὴν ἀδιανέμητος ὁ χιτών.

Λυπεῖ δὲ οὐδὲν προσθεῖναι κἀκεῖνο, ὡς εἴπερ τις ἕλοιτο τὸν χιτῶνα τὸν ἄνωθεν ὑφαντόν τε καὶ ἄραφον, ὅσον ἧκεν εἰς θεωρίας δύναμιν, εἰς δήλωσιν περιτρέπειν τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ, διὰ τὸ συνόδου καὶ οἱονεὶ συμβολῆς τινος δίχα τῆς ἀνδρός τε καὶ γυναικὸς γενέσθαι τοῦτο, τῇ δὲ τοῦ Πνεύματος ἐνεργείᾳ καὶ τῇ δυνάμει τῇ ἄνωθεν εἰς τὸ αὐτῷ πρέπον ἐξυφάνθαι σχῆμα, δεδέχθω καὶ τοῦτο. τὰ γὰρ δὴ τῶν θεωρημάτων, οὐδὲν κατὰ τῶν ἀναγκαίων εἰσκομίζοντα βλάβος, ὠδίνοντα δὲ μᾶλλον τὸν ἐφ' ᾧπερ ἄν τις a 1064 A. ὠφελοῖτο τυχὸν, πῶς οὐκ ἀμαθὲς οὐκ ἀποσείεσθαι, μᾶλλον δὲ πῶς οὐκ ἀκόλουθον ἐπαινεῖν, τῆς ἀρίστης ὄντα διανοίας εὑρήματα;

Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, 25
καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλοπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

Διαμέμνηται καὶ τούτου χρησίμως ὁ θεσπέσιος Εὐαγγελι- b στὴς, οὐδένα τῶν ἱερῶν ἀποπίπτοντα λόγων καὶ κατὰ τοῦτο δεικνύς. τί δὲ δὴ πάλιν εἰς τοῦτό φαμεν; ἐκθήσομαι γάρ. παρισταμένας εἰσφέρει τῷ σταυρῷ, τήν τε μητέρα αὐτοῦ, καὶ σὺν αὐτῇ τὰς ἑτέρας, δῆλον δὲ ὅτι κλαούσας. φιλόδακρυ

12. ἄραφον E. ἄρραφον Ed. 20. Delendum ut videtur οὐκ alt.
21. διανοίας om. E_1. 24. κλοπὰ E_1. κλοπᾶ E_2.

γάρ πως ἀεὶ τὸ θηλειῶν ἐστι γένος, καὶ πολὺ δὴ λίαν εἰς θρήνους εὐπετὲς, ὅταν δὴ μάλιστα καὶ πλουσίας ἔχοι τοῦ δακρυῤῥοεῖν τὰς ἀφορμάς. τί δὴ οὖν ἄρα τὸ λεπτομυθεῖν c ἀναπεῖσαν τὸν μακάριον Εὐαγγελιστὴν, ὡς καὶ τῆς τῶν γυναίων διαμεμνῆσθαι παραμονῆς; σκοπὸς γὰρ αὐτῷ γέγονε διδάξαι κἀκεῖνο, ὅτι καὶ αὐτὴν κατὰ τὸ εἰκὸς τὴν τοῦ Κυρίου μητέρα τὸ ἀδοκήτως συμβεβηκὸς ἐσκανδάλισε πάθος, καὶ μικροῦ τοῦ πρέποντος ἐξέστησε λογισμοῦ πικρὸς ὢν λίαν ὁ ἐπὶ τῷ σταυρῷ θάνατος· καὶ πρός γε τούτῳ, τὰ τῶν Ἰουδαίων ἐμπαίγματα, καὶ αὐτοὶ δὲ τάχα προσεδρεύοντες τῷ σταυρῷ καὶ διαγελῶντες οἱ στρατιῶται τὸν ἐξηρτημένον, καὶ αὐτῆς ἐν ὄψει τῆς μητρὸς τὸν τῶν ἱματίων τολμήσαντες μερισμόν. d μὴ γὰρ ἐνδοιάσῃς, ὅτι τοιούτους τινὰς εἰσεδέξατο λογισμούς Γεγέννηκα μὲν ἐγὼ τὸν ἐπὶ ξύλου γελώμενον· ἀλλ' Υἱὸν ἑαυτὸν ἀληθινὸν εἶναι λέγων τοῦ πάντων κρατοῦντος Θεοῦ, τάχα που καὶ διεσφάλετο, ἐπλανᾶτο κατὰ τὸ εἰκός "Ἐγώ "εἰμι λέγων ἡ ζωή" πῶς ἐσταυρώθη; κατὰ τίνα δὲ τρόπον τοῖς τῶν φονώντων ἐνεπνίγη βρόχοις; πῶς οὐ κεκράτηκε τῆς τῶν διωκόντων ἐπιβουλῆς; πῶς δὲ οὐ κάτεισιν ἀπὸ τοῦ σταυροῦ, καίτοι τῷ Λαζάρῳ παλινδρομεῖν ἐπιτάξας εἰς ζωὴν, καὶ ὅλην τοῖς θαύμασι καταπλήξας τὴν Ἰουδαίαν; καὶ εἰκός e γε δὴ σφόδρα τὸ μυστήριον οὐκ εἰδὸς ἐν τοιούτοις τισὶ τὸ γύναιον ὀλισθῆσαι διαλογισμοῖς· χρὴ γὰρ ἐννοεῖν ποιοῦντας ὀρθῶς, ὅτι τῶν συμβεβηκότων ἡ φύσις δεινὴ πρὸς τὸ καταστρέψαι καὶ τὸν νήφοντα λογισμόν. θαυμαστὸν δὲ οὐδὲν εἰ παρώλισθέ πως εἰς τοῦτο γυνή· εἰ γὰρ καὶ αὐτὸς ὁ τῶν ἁγίων μαθητῶν πρόκριτος Πέτρος ἐσκανδαλίσθη ποτὲ, λέγοντος τοῦ Χριστοῦ καὶ διδάσκοντος ἐναργῶς, ὅτι μέλλοι παραδοθῆναι "εἰς χεῖρας ἁμαρτωλῶν," καὶ σταυρὸν ὑπομένειν καὶ θάνατον, ὡς ἀναφωνῆσαι προαλέστερον "Ἵλεώς 1065 A. a "σοι Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο·" τί τὸ παράδοξον, εἰ

Supra xiv. 6.

S. Matth. xxvi. 45.

Ib. xvi. 22.

2. ἔχοι E. ἔχει Ed. 7. συμβεβηκὸς] γεγονὸς συμβεβηκὸς E. 16. διεσφάλετο E prius scriptum. διεσφάλλετο E manu prima castigatus. Ed. Statim ἐπλανᾶτο κατὰ τὸ εἰκός assumptum ex E. 26. παρώλισθαί E. 28. μέλλοι E. μέλλει Ed.

πρὸς ἐννοίας ἀσθενεστέρας ὁ τρυφερὸς τοῦ γυναίου συνηρ-
πάζετο νοῦς; καὶ ταῦτά φαμεν οὐ καταστοχαζόμενοι μάτην,
ὡς ἄν τῳ δοκοίη, ἀλλ' ἐκ τῶν γεγραμμένων περὶ τῆς τοῦ
Κυρίου μητρὸς ἰόντες εἰς ὑποψίας. μεμνήμεθα γὰρ ὅτι
Σιμεὼν ὁ δίκαιος, ὅτε βρέφος ὄντα τὸν Κύριον "εἰς τὰς S. Luc. ii. 28.
"ἀγκάλας ἐδέξατο," κατὰ τὸ γεγραμμένον, προευχαριστήσας
καὶ εἰπὼν "Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ Ib. 29, 30.
"τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ b
"σωτήριόν σου," καὶ πρὸς αὐτὴν ἔφη τὴν ἁγίαν παρθένον
"Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν Ib. 34, 35.
"τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ
"αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· ὅπως ἂν ἀποκα-
"λυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί." ῥομφαίαν Cf. in xii. Proph. 792 a.
γὰρ ἔλεγε τὴν ὀξεῖαν τοῦ πάθους προσβολὴν πρὸς λο-
γισμοὺς ἐκτόπους κατατέμνουσαν τοῦ γυναίου τὸν νοῦν.
δοκιμάζουσι γὰρ οἱ πειρασμοὶ τὰς τῶν πασχόντων καρδίας,
καὶ τοὺς ἐνόντας αὐταῖς ἀπογυμνοῦσι λογισμούς. c

Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν 26
ἠγάπα, λέγει τῇ μητρί Γύναι, ἴδε ὁ υἱός σου. εἶτα λέγει 27
τῷ μαθητῇ Ἴδε ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας
ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια.

Προενόησε τῆς μητρὸς, ἀλογήσας ὥσπερ τῆς τοῦ πάθους
ἀκμῆς· ἦν γὰρ καὶ πάσχων ἀπαθής. παραδίδωσι δὲ τῷ d
ἠγαπημένῳ μαθητῇ, Ἰωάννης δὲ οὗτος ἦν ὁ τοῦ βιβλίου συγ-
γραφεὺς, ἀπάγειν δὲ οἴκαδε κελεύει, καὶ ἐν τάξει ποιεῖσθαι
μητρὸς, αὐτῇ τε αὖ πάλιν παρεγγυᾷ τὸν γνήσιον οἴεσθαι
μαθητὴν οὐδὲν ἕτερον ὑπάρχειν ἢ εἰς υἱὸν ἀληθῶς, διὰ φειδοῦς
δηλονότι καὶ φιλοστοργίας, τὴν τοῦ κατὰ φύσιν υἱοῦ πλη-
ροῦντά τε καὶ ἀπομιμούμενον χρείαν.

Ἀλλ' ὥσπερ ᾠήθησαν τῶν ἀσυνέτων τινές Ἆρα μὴ
φιλοσαρκήσας ταυτὶ δήπου φησὶν ὁ Χριστός; ἄπαγε τῆς

4. ὑποψίας E. ὑποψίαν Ed. 25. ποιῆσθαι E. 27. εἰς assumptum ex E.

δυσβουλίας· ἁρμόσει γὰρ μόνοις τοῖς ἀπόπληκτον ἔχουσι e τὴν διανοίαν, τὸ πρὸς τοῦτο μωρίας κατολισθεῖν. τί οὖν ἄρα τῶν χρησίμων εἰργάζετο διὰ τούτου Χριστός; πρῶτον μὲν ἐκεῖνό φαμεν, ὅτι μάθημα κρατύνειν ἤθελε τὸ καὶ νόμῳ τετι- Exod. xx. 12. μημένον. τί γὰρ ὁ διὰ Μωυσέως ἔφη θεσμός; "Τίμα τὸν "πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται." καὶ οὐ μέχρι τοῦ προτρέπεσθαι δεῖν τὸν ἐπὶ τούτῳ λόγον ἡμῖν ἐποιήσατο, ἀλλ' ἤδη καὶ τὴν ἐσχάτην ἡμῖν προσηπείλησε δίκην τοῖς μὴ τοῦτο δρᾶν ἑλομένοις· ἐν ἴσῳ δὲ ὥσπερ τέθεικε λόγῳ τὸ εἰς Θεὸν ἁμαρτεῖν καὶ τοὺς κατὰ σάρκα φύσαντας. **1066 A.** a τὸν μὲν γὰρ δύσφημον ὁ νόμος τὴν ἐπὶ θανάτῳ ψῆφον ὑπο- Lev. xxiv. 16. μένειν κεκέλευκεν· "Ὀνομάζων γάρ, φησὶ, τὸ ὄνομα Κυρίου "θανάτῳ θανατούσθω·" τὸν δὲ τοῖς γονεῦσιν ἀκρατῆ καὶ ἀχάλινον ἐξοπλίζοντα γλῶσσαν ταῖς ἰσοστάθμοις ὑπετίθει Exod. xxi. 16. ποιναῖς· "Ὁ κακολογῶν γὰρ, φησὶ, πατέρα ἢ μητέρα θανάτῳ "τελευτάτω." εἶτα τοσαύτην τοῦ νομοθέτου τιμὴν ἀπονέμεσθαι δεῖν διατεταχότος παρ' ἡμῶν τοῖς φύσασι, πῶς οὐκ ἔδει τὴν οὕτω διαβόητον ἐντολὴν καὶ ταῖς τοῦ Σωτῆρος κρατύνεσθαι ψήφοις, καὶ ἐπείπερ ἡ παντὸς ἀγαθοῦ καὶ ἁπά- b σης ἀρετῆς ἰδέα διὰ πρώτου κεχώρηκεν αὐτοῦ, τί μὴ ταῖς ἄλλαις συνέθει καὶ αὐτή; τρόπος γὰρ ὄντως ἀρετῆς ὁ τιμαλφέστατος ἡ εἰς γονέας τιμή. τὸ δὲ μὴ πάρεργον ποιεῖσθαι τὴν εἰς αὐτοὺς ἀγάπησιν, κἂν ἀφόρητοί τινες ἡμᾶς περικλύζωσι συμφοραὶ, πόθεν ἦν εἰπέ μοι μαθεῖν, εἰ μὴ ἐν πρώτῳ καὶ διὰ πρώτου Χριστοῦ; ἄριστος γὰρ ἀληθῶς ὁ τῶν ἁγίων διαμεμνημένος ἐντολῶν, καὶ τῆς τοῦ πρέποντος θήρας οὐκ ἐξωθούμενος, οὐχ ὁ ἐν γαλήνῃ πραγμάτων, ἀλλ' c ὁ ἐν χειμῶνι καὶ κλύδωνι τοῦτο μὴ παθών.

Πρὸς δέ γε τοῖς εἰρημένοις κἀκεῖνό φημι, ὅτι τῆς οἰκείας μητρὸς σκανδάλῳ περιπεσούσης καὶ λογισμῶν ἀταξίαις ἐμπεφυρμένης, πῶς οὐκ ἔδει προνοεῖν τὸν Κύριον; Θεὸς γὰρ ὢν ἀληθινὸς, καὶ εἰς τὰ τῆς καρδίας βλέπων κινήματα, καὶ τὰ ἐν τῷ βάθει γινώσκων, πῶς ἂν ἠγνόησε τὰς κατ'

18. ταῖς E. Migne. τοῖς Ed.

ἐκεῖνο δὴ μάλιστα καιροῦ συνταραττούσας αὐτὴν ἐννοίας ἐπὶ τῷ τιμίῳ σταυρῷ; εἰδὼς οὖν ἄρα τοὺς ἐν αὐτῇ διαλογισμοὺς, ἀρίστῳ μυσταγωγῷ παρεδίδου τῷ μαθητῇ, τὸ τοῦ μυστηρίου βάθος ἐκδιηγεῖσθαι καλῶς τε καὶ οὐκ ἀνικάνως ἔχοντι. d *σοφὸς γὰρ ἦν ὄντως καὶ θεολόγος, ὃς καὶ δέχεταί τε καὶ ἀποκομίζει χαίρων, πᾶσαν ἐπ' αὐτῇ πληρώσων τοῦ Σωτῆρος τὴν βούλησιν.*

Μετὰ τοῦτο Ἰησοῦς ἰδὼν ἤδη ὅτι πάντα τετέλεσται, ἵνα τελειωθῇ 28
ἡ γραφὴ, λέγει Διψῶ. σκεῦος ἔκειτο ὄξους μεστόν· σπόγγον 29
οὖν μεστὸν ὄξους ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ
στόματι. e

Πεπληρωμένης ἁπάσης ἀσεβείας ἐπὶ Χριστῷ παρὰ τῆς τῶν Ἰουδαίων ἀνοσιότητος, καὶ λοιπὸν ἐλλείποντος οὐδενὸς εἰς τὸ φαίνεσθαι τελείως ἔχουσαν τὴν ὑπὲρ λόγον ὠμότητα, πάσχει τι πάλιν ἐν τελευταίοις ἡ σὰρξ ἴδιόν τε καὶ φυσικόν· εἰσδέχεται γὰρ τὸ διψῆν ταῖς πολυτρόποις αἰκίαις ξηρανομένη. δεινοὶ γὰρ οἱ πόνοι πρὸς τὸ ἀναγκᾶσαι διψῆν, ἐμφύτῳ τινὶ καὶ ἀφράστῳ θερμότητι τὴν ἐν τῷ βάθει δαπανῶντες ἰκμάδα, καὶ διαπύροις τισὶ προσβολαῖς τὸ τοῦ πάσχοντος a 1067 A. *διακαίοντες σπλάγχνον. ἦν μὲν γὰρ οὐ χαλεπὸν τῷ πάντα ἰσχύοντι Θεῷ Λόγῳ ἀποστῆσαι καὶ τοῦτο τῆς ἰδίας σαρκὸς, ἀλλ' ὥσπερ ἑκὼν ἐφῆκε παθεῖν τὰ ἕτερα, πάσχει καὶ τοῦτο καθ' ἑκούσιον βούλησιν. οὐκοῦν ἐζήτει πιεῖν. οἱ δὲ ἦσαν οὕτως ἀφιλοικτίρμονες καὶ ἀγάπης τῆς φιλοθέου μακρὰν, ὡς ἀντὶ ποτοῦ πεφυκότος ὠφελεῖν, τὸ ἀδικοῦν ἐπιδοῦναι, καὶ προσθήκην ἀσεβείας καὶ αὐτὸ τῆς ἀγάπης τὸ χρῆμα ποιήσασθαι. τὸ γὰρ ὅλως αἰτοῦντι προσενεγκεῖν, πῶς οὐχὶ τὸ* b

9. *σκεῦος*] + *οὖν* Ed. invito E. 12–23 citant Conc. Const. iii. Actio x. (t. vii. 838 ed. Col.) et Severus Cod. Add. 12158 Musei Britannici saepe ante cit. fol. 73. et in Epistolas Cod. Add. 17200 fol. 19. 12. *πάσης* Conc. 13. *ἐλλελοιπότος* Conc. 14. *φαίνεσθαι τελ. ἔχ.* hoc ordine Conc. favente et Sev. *φαίνεσθαι* post *ἔχ.* tr. Ed. 16. *διψεῖν* E. *διψᾶν* Cord. *ξηραινομένη* Conc. 17. *διψῆν* Conc. Migne. *διψεῖν* E. *διψᾶν* Cord. e quo ut videtur Ed. 22. *ἑκὼν* assumptum e Conc. Catt. Severo. 23. *ποιεῖν* (sic) E.

τῆς ἀγάπης ἐπλάττετο σχῆμα; ἀλλ' οὐκ ἦν ἐφικτὸν διαψεύσασθαί ποτε τὴν θεόπνευστον γραφὴν, ὡς ἐκ προσώπου
Ps.lxviii. 22. λέγουσαν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ περὶ αὐτῶν "Καὶ "ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου "ἐπότισάν με ὄξος."

Ἀλλ' ὁ μὲν μακάριος Εὐαγγελιστὴς Ἰωάννης, τὸν σπόγ-
c γον τοῦ ὄξους ὑσσώπῳ περιθέντας προσκομίσαι φησί· Λουκᾶς γεμὴν οὐδενὸς τὸ παράπαν ἐπιμνησθεὶς τοιούτου, μόνον ὅτι
S. Luc. xxiii. 36. προσήγαγον ὄξος διισχυρίσατο· Ματθαῖος δὲ καὶ Μάρκος
S.Matth. xxvii. 48. S. Marc. xv. 36. καλάμῳ τὸν σπόγγον περιτεθεῖσθαί φασι. καὶ διαφωνῆσαι μὲν ἴσως οἰήσονταί τινες τοὺς ἁγίους εὐαγγελιστάς· πάθοι δ' ἂν οἶμαι τῶν εὖ φρονούντων οὐδεὶς ἔν γε τοῖς τοιούτοις αὐτό. τὸ γὰρ εἶδος τῆς ἀσεβείας, οὐχὶ δὴ πάντως
d τε καὶ ἀναγκαίως καὶ τίνα τρόπον ἐπράττετο ζητητέον; τοιγάρτοι καὶ ὁ θεσπέσιος Λουκᾶς οὐδενὸς ἀξιώσας λόγου τῆς προσαγωγῆς τὸν τρόπον, ἀπεριεργότερον ὄξος αὐτῷ διψῶντι προσκεκομίσθαι φησίν. ἔστι δὲ οὐκ ἀμφίβολον, ὡς οὐκ ἂν ἀλλήλοις ἐν τοῖς οὕτω μικροῖς καὶ τοῦ μηδενὸς ἀξίοις ἀντεφώνησαν οἱ εὐαγγελισταὶ, καίτοι συνενεχθέντες καὶ ἐν τοῖς ἀναγκαίοις ὅτι μάλιστα συμβαίνοντές τε καὶ συμφθεγγόμενοι. τίς οὖν ἡ διαφορὰ, θεραπείας δὲ τίνα δέξεται τρόπον; οὐδαμόθεν ἀμφίβολον, ὅτι πολλοί τινες ἦσαν τῆς κατὰ Χριστοῦ δυσσεβείας οἱ ὑπηρέται, φημὶ
e δὴ στρατιώτας, οἵπερ αὐτὸν ἀπεκόμισαν ἐπὶ τὸν σταυρόν· πλεῖστοι δὲ καὶ τῶν Ἰουδαίων τὸν τῆς ὠμότητος ἐμερίζοντο τρόπον, καὶ οἱ μὲν καλάμῳ περιθέντες τὸν σπόγγον, οἱ δὲ τῷ ξύλῳ τῆς καλουμένης ὑσσώπου, βοτάνης δὲ εἶδος ἡ ὕσσωπος, ἐπότιζον τὸν Ἰησοῦν, ἔπραττον δὲ καὶ τοῦτο κατὰ τῆς οἰκείας οἱ δείλαιοι κεφαλῆς. τὸ γὰρ μηδαμόθεν ἐλεεῖσθαι δεῖν ἑαυτοὺς οὐκ εἰδότες κατεσκεύαζον, ἅπαν μὲν ἡμερότητος καὶ φιλανθρωπίας εἶδος ἀποδυσάμενοι, τοῖς δὲ οὕτω

12. οἶμαι] + τοῦτο a, qui paullo infra τοιούτοις· αὐτὸ γὰρ τὸ εἶδος interpungit. 17. ἀμφίλογον E. 21. διαφορὰ, θεραπείας interpungit F. διαφορὰ θεραπείας, Aub. qui ἴσ. ἢ τίνα δυσσεβείας δέξεται τρόπον; in mg. conjicit. διαφορά; θεραπείας emendat Migne. 22. ἀμφίβολον ex ἀμφίλογον manu eadem E.

παραλόγοις τολμήμασι μόναις ταῖς ἑαυτῶν δυσσεβείαις
ἁμιλλώμενοι. τοιγάρτοι διὰ φωνῆς Ἰεζεκιὴλ τοῦ προφήτου a 1068 A.
πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλὴμ
ἔφασκεν ὁ Θεός "Καθὼς ἐποίησας, οὕτως ἔσται σοι· τὸ Obad. 15.
"ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου," διὰ
δὲ φωνῆς Ἡσαΐου πρὸς τὸν ἀνομώτατον Ἰσραήλ "Οὐαὶ τῷ Es. iii. 11.
"ἀνόμῳ, πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβή-
"σεται αὐτῷ." ἐφ' ἅπασι μὲν οὖν τοῖς ἤδη τετελεσμένοις
ἀνοσίοις τε καὶ ἐκτοπωτάτοις τολμήμασιν ἐπράχθη καὶ τοῦτο b
κατὰ Χριστοῦ· ἔσται δ' οὖν ὅμως εἰς ὄνησιν ἡμετέραν ὁ
ὑπογραμμός. εἰσόμεθα γὰρ καὶ διὰ τούτου πάλιν, ὅτι τοῖς
φιλόθεον ἔχουσι τὴν ἕξιν, καὶ ἀγάπῃ τῇ εἰς Χριστὸν ἐρηρει-
σμένοις, ἀκατάληκτος ὥσπερ τις ἕψεται πόλεμος παρὰ τῶν
φρονούντων τὰ ἐναντία, οἳ καὶ μέχρις ἐσχάτης ἀναπνοῆς τὴν
κατ' αὐτῶν μανίαν οὐκ ἀποδύσονται, δριμεῖς πανταχόθεν
ἐξαρτύοντες πειρασμοὺς, καὶ πᾶν εἶδος ἐπινοεῖν σπουδάζον-
τες τοῦ πεφυκότος ἀδικεῖν. ἀλλ' ὥσπερ οὐ κατέληξεν ὁ c
πόνος, ἀκατάληκτον ἔσται καὶ τῆς εὐθυμίας τὸ μῆκος· καὶ
ὥσπερ οὐκ ἐλώφησε τὰ δεινὰ καὶ ἡ ἐκ τοῦ πειράζεσθαι
θλίψις, οὕτως οὐ πεπαύσεται τῶν ἁγίων τὰ ἀγαθὰ, διαμενεῖ
δὲ πάντως καὶ ἔσται διηνεκὴς ἡ ἐκ τῆς εὐδοκιμήσεως χάρις.

Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε Τετέλεσται· καὶ κλίνας 30
τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. d

Προστεθειμένου τοῖς ἄλλοις καὶ τούτου, τετελέσθαι φησὶν
ὁ Σωτὴρ τῆς Ἰουδαίων ἀσεβείας δηλονότι τὸ μέτρον, καὶ
τῆς εἰς αὐτὸν παροινίας τὴν ὑπερβολήν. τί γὰρ ἦν ἔτι τοῖς
Ἰουδαίοις τὸ ἀνεπιτήδευτον, τί δὲ τῶν εἰς ἄκρον ἡκόντων
ἀπανθρωπίας οὐ μεμελέτητο; ποῖος γὰρ αἰκίας παρελείφθη
τρόπος, ὕβρεως δὲ τῆς ἐσχάτης τί παρέντες ἐφαίνοντο; τοι-
γάρτοι δικαίως τὸ τετελέσθαι φησὶν, ἀλλ' ὥρας ἤδη καλού-
σης τῆς εἰς τὸ καὶ αὐτοῖς ἐθέλειν τοῖς ἐν ᾅδου διακηρύξαι e

2. τοιγάρτοι καὶ ἰεζεκιὴλ E. 10. δ' E. δὴ Ed. 11. καὶ om. E. 14. ἐσχάτοις E. 18. ἀκατάληπτον E. 31. ᾅδου E. ᾅδη Ed.

πνεύμασιν. ἐπεδήμησε γὰρ, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ αὐτὸν ὑπὲρ ἡμῶν εἰσέβη τὸν θάνατον, καὶ τὸ κοινὸν δὴ τοῦτο τῆς ἡμέτερας φύσεως ὑπομένει πάθος, δῆλον δὲ ὅτι κατὰ τὴν σάρκα, καίτοι ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεὸς, ἵνα σκυλεύσας τὸν ᾅδην κατορθώσῃ τῇ ἀνθρωπείᾳ
1 Cor. xv. 20. φύσει τὴν εἰς ζωὴν ἀναδρομὴν, "ἀπαρχὴ τῶν κεκοιμημέ-
Col. i. 18. "νων," καὶ πρωτότοκος ἐκ νεκρῶν ἀναδεδειγμένος, κατὰ τὰς
1069 A. a γραφάς. ἔκλινε τοίνυν τὴν κεφαλήν· ὡς γὰρ ἐξ ἔθους καὶ τούτου τοῖς τεθνεῶσι συμβαίνοντος, διὰ τὸ παρεῖσθαι λοιπὸν τοὺς τῆς σαρκὸς τόνους, ἀποφοιτήσαντος ἤδη τοῦ συνέχοντος αὐτὴν καὶ συντείνοντος πνεύματος, ἤτοι τῆς ψυχῆς, κατεχρήσατο ταῖς λέξεσιν ὁ Εὐαγγελιστής. καὶ μὴν καὶ τὸ φάναι δὴ πάλιν ὅτι παρέδωκε τὸ πνεῦμα τῆς καθ' ἡμᾶς συνηθείας οὐκ ἀποκείσεται· οὕτω γὰρ οἱ πολλοὶ τό Ἀπέσβη
b καὶ τέθνηκε λέγουσιν. εἰκὸς δὲ δὴ πάλιν οἰκονομικῶς τε καὶ ἀναγκαίως, οὐχ ἁπλῶς ὅτι τέθνηκεν εἰπεῖν τὸν ἅγιον Εὐαγγελιστὴν, ἀλλ' ὅτι παρέδωκε τὸ πνεῦμα, εἰς χεῖρας δηλονότι τοῦ Θεοῦ καὶ Πατρὸς, κατὰ τὸ εἰρημένον ὡς παρ' αὐτοῦ
S. Luc. xxiii. 46. "Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου," καὶ ἡμῖν δὲ αὐτοῖς ἀγαθῆς ἐλπίδος ἀρχὴν καὶ θεμέλιον ἡ τοῦ λόγου κατεβάλετο δύναμις. δεῖν γὰρ οἶμαι διακεῖσθαι, καὶ μάλα εἰκότως, ὅτι τῶν ἀπὸ γῆς σωμάτων αἱ τῶν ἁγίων ἀποδημοῦσαι ψυχαὶ, καθάπερ εἰς χεῖρας φιλοστοργοτάτου
c Πατρὸς, τῇ τοῦ Θεοῦ χρηστότητι καὶ φιλανθρωπίᾳ μονονουχὶ παρατίθενται καὶ οὐ, καθάπερ τινὲς τῶν ἀπίστων ὑπειλήφασι, τὰς ἐπιτυμβίους περιμένουσαι χοὰς ἐμφιλοχωροῦσι τοῖς μνήμασιν, ἀλλ' οὐδὲ καθάπερ αἱ τῶν φιλαμαρτημόνων εἰς τὸν τῆς ἀμέτρου κολάσεως κατακομίζονται τόπον, τουτέστιν, εἰς ᾅδου· τρέχουσι δὲ μᾶλλον εἰς χεῖρας τοῦ πάντων Πατρὸς, καὶ ταύτην ἡμῖν ἐγκαινίσαντος τὴν ὁδὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ· παρέδωκε γὰρ εἰς χεῖρας τοῦ ἰδίου γεννή-

9. παρεῖσθαι E.F. πειρᾶσθαι Ed. ἴσ. πηροῦσθαι Ed. mg. 21. κατεβάλετο E. Cord. κατεβάλλετο Ed. 26. ἐπὶ τύμβους E. 29. πάντα E.

τορος τὴν ψυχὴν, ἵνα καὶ ἡμεῖς, ἀρχὴν λαβόντες ὡς ἐν ἐκείνῃ καὶ δι᾽ ἐκείνης, λαμπρὰς ἔχωμεν τὰς ἐλπίδας, ἀρα- d ρότως διακείμενοι καὶ πεπιστευκότες, ὅτι τὸν τῆς σαρκὸς ὑπομείναντες θάνατον ἐν χερσὶν ἐσόμεθα Θεοῦ, καὶ πολὺ δὴ λίαν ἐν ἀμείνοσιν ἤπερ ἦμεν μετὰ σαρκός. διὸ καὶ ὁ σοφὸς ἡμῖν ἐπιστέλλει Παῦλος ὅτι κρεῖττον τὸ ἀναλῦσαι καὶ σὺν Phil. i. 23. Χριστῷ εἶναι.

Ὡς δὲ ἐξέπνευσεν, ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον ἀπὸ ἄνωθεν ἕως κάτω.

e

Τὸ ἐν τῷ ναῷ καταπέτασμα ὀθόνη τις ἦν καθιεμένη διαμπὰξ εἰς αὐτὸ τοῦ οἴκου τὸ μεσαίτατον, καὶ συσκιάζουσά πως τὰ ἐσωτέρω, καὶ βάσιμον ὥσπερ μόνῳ τιθεῖσα τῷ ἀρχιερεῖ τὴν ἐνδοτέρω σκηνήν. οὐ γὰρ δὴ τοῖς ἐθέλουσιν ἀνίπτοις ἐφεῖτο ποσὶν ἐπὶ τὸ ἔσω διάττοντας τὰ ἅγια τῶν ἁγίων ἀφυλάκτως ὁρᾶν. ἀναγκαιοτάτην δὲ σφόδρα τὴν ἐκ τῶν καταπετασμάτων διατομὴν καὶ ὁ Παῦλος ἡμῖν ἐπιδεικνὺς ἐν τῷ πρὸς Ἑβραίους ἔφη γράμματι "Σκηνὴ γὰρ κατεσκευάζετο a 1070 A. Heb. ix. 2-4. "ἡ πρώτη, ἥτις λέγεται ἁγία· μετὰ δὲ τὸ δεύτερον κατα- "πέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα "θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμ- "μένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος ἡ χρυσῆ ἔχουσα "τὸ μάννα, καὶ αἱ πλάκες τῆς διαθήκης καὶ ἡ ῥάβδος "Ἀαρὼν ἡ βλαστήσασα." ἀλλ᾽ "εἰς μὲν τὴν πρώτην," Ib. 6-8. φησὶ, "σκηνὴν εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, "εἰς δὲ τὴν δευτέραν μόνος ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ "οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπέρ τε ἑαυτοῦ καὶ τῶν b "τοῦ λαοῦ ἀγνοημάτων, τοῦτο δηλοῦντος τοῦ Πνεύματος "τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν, ἔτι "τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν." ἦν μὲν γὰρ οὐκ ἀμφίλογον, ὅτι ταῖς πρώταις τοῦ ναοῦ θύραις περιτετάνυστο

5. ἤπερ E. 8, 9. Haec extant in F. [sub asterisco exhibet versio Syriaca Heracleensis]. 8. ἐσχίθη E. 12. ὥσπερ assumptum ex E. 30. ἀμφίλογον E. ἀμφίβολον Ed.

καταπέτασμα. διὸ καὶ εἰς τὴν πρώτην ἐλογίζετο σκηνὴν, ἐκαλεῖτο δὲ ἁγία· οὐ γὰρ δή τις ὅλως ἀνίερον εἶναί τινα τοῦ ναοῦ τόπον ἐρεῖ, διαψεύσεται γὰρ, ἐπείπερ ὅλος ἅγιος ἦν· c μετὰ δὲ τὴν πρώτην σκηνὴν τὸ μεταξὺ καταπέτασμα δευτέραν ὥσπερ εἰργάζετο, τὴν ἐσωτέρω φημὶ, τὰ ἅγια τῶν ἁγίων. ἀλλ' ὥσπερ ὁ μακάριος ἔφη Παῦλος, διὰ τῶν ἐν τύποις ἡμῖν σχημάτων ἐδήλου τὸ Πνεῦμα τὴν τοῖς ἁγίοις πρεπωδεστέραν οὔπω πεφανερῶσθαι τρίβον, εἰργομένων ἔτι τῶν λαῶν, καὶ στάσιν ἐχούσης τῆς πρώτης αὐλῆς. οὔπω γὰρ ὄντως ὁ τῆς πολιτείας διεφαίνετο τρόπος τῆς δοθείσης διὰ Χριστοῦ τοῖς διὰ τοῦ Πνεύματος κεκλημένοις πρὸς ἁγιασμὸν, οὔπω τὸ περὶ αὐτοῦ πεφανέρωτο μυστήριον, ἔτι τῆς ἐν γράμμασιν d ἰσχυούσης ἐντολῆς. διὸ καὶ εἰς τὴν πρώτην αὐλὴν ὁ νόμος ἵστη τοὺς Ἰουδαίους. προεισβολὴ γὰρ ὥσπερ τις καὶ ἵν' οὕτως εἴπω προαύλιόν ἐστι τῆς εὐαγγελικῆς παιδεύσεώς τε καὶ πολιτείας ἡ νομική. ἡ μὲν γάρ ἐστιν ἐν τύποις, ἡ δὲ
Rom. vii. 12. βλέπει πρὸς ἀλήθειαν. καὶ ἁγία μὲν ἡ πρώτη σκηνὴ, ἅγιος γὰρ ὁ νόμος καὶ ἡ ἐντολὴ δικαία καὶ ἀγαθή· ἁγία δὲ ἁγίων ἡ ἐσωτέρα· ἅγιοι γὰρ ὄντες οἱ τῆς κατὰ νόμον δικαιοσύνης μετειληφότες, γεγόνασιν ἁγιώτεροι τὴν πίστιν παραδεξάe μενοι, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, καὶ τῷ θείῳ τε καὶ Ἁγίῳ διακεχρισμένοι Πνεύματι. μείζων οὖν ἄρα τῆς νομικῆς δικαιοσύνης ἡ διὰ πίστεως, καὶ πολὺ δὴ λίαν πλουσιώτερος ὁ ἁγιασμός. τοιγάρτοι καὶ ὁ σοφώτατος Παῦλος ἥδιστά τε καὶ λίαν ἑτοίμως τὴν ἐν νόμῳ δικαιοσύνην ἐζημιῶσθαί φησιν,
Phil. iii. 8, 9. ἵνα Χριστὸν κερδάνῃ, καὶ εὑρεθῇ "ἐν αὐτῷ μὴ ἔχων ἰδίαν "δικαιοσύνην τὴν ἐν νόμῳ, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ
Gal. v. 7, iii. 1. "Χριστοῦ." καὶ ὀπίσω δέ τινες ἔπιπτον, καὶ καλῶς τρέχοντες ἐβασκαίνοντο, γαλάται δὲ οὗτοι, μετὰ τὴν ἐν πίστει
1071 A. a δικαιοσύνην, εἰς τὴν τοῦ νόμου παλινδρομήσαντες ἐντολὴν, καὶ εἰς πολιτείαν ὑπονοστήσαντες τὴν ἐν τύποις καὶ γράμμασιν, οἷς δὴ καὶ σφόδρα δικαίως ὁ Παῦλος διεμαρτύρατο

1–5. σκήνην—εἰργάζετο om. (a -ζετο ad -ζετο scilicet transiliens) E. 14. τι E. 26. κερδανεῖ E.

λέγων "Ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφε- Gal. v. 2. "λήσει. κατηργήθητε ἀπὸ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαι- Ib. 4. "οῦσθε, τῆς χάριτος ἐξεπέσατε." ἀλλ' ἵνα τὸν τοῦ προκειμένου χρησίμως καὶ ἀναγκαίως ἀναμηρυσώμεθα λόγον, σχίζεται τοῦ ναοῦ τὸ καταπέτασμα ἀπὸ ἄνωθεν ἕως κάτω, τὰ ἅγια τῶν ἁγίων ἀνακαλύπτοντος ὥσπερ ἤδη τοῦ Θεοῦ, καὶ βατὴν τοῖς πιστεύουσιν εἰς Χριστὸν τὴν ἔσω λοιπὸν τιθέντος b σκηνήν. πρόκειται γὰρ ἤδη τῶν θείων ἡμῖν μυστηρίων ἡ γνῶσις, οὐκέτι τῇ παχύτητι τοῦ νομικοῦ γράμματος καθάπερ τινὶ καταπετάσματι κατημφιεσμένη, οὐδὲ τὸ ἐκ τῆς ἱστορίας ἔχουσα κατακάλυμμα, ἤγουν τὸ ἐν τύποις ἀφανὲς τοῖς τῆς διανοίας ἡμῶν ὄμμασιν ἀνατειχίζουσα, ἀλλ' ἐν ἁπλότητι πίστεως καὶ ἐν ὀλίγοις κομιδῇ τοῖς ῥήμασιν· "Ἐγγὺς γάρ Rom. x. 8–10. "σου, φησὶ, τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ "καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, "ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματι σου Κύριος Ἰησοῦς, καὶ c "πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ "νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, "στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν." ὅλον γὰρ ἡμῖν ἐν τούτοις ὁρᾶται τὸ τῆς εὐσεβείας μυστήριον. ἀλλ' ἕως μὲν οὔπω τῆς ἡμετέρας ὑπεραθλήσας ζωῆς τὸν τῆς σαρκὸς θάνατον ὑπέμεινεν ὁ Χριστὸς, ἥπλωτό πως ἔτι τὸ καταπέτασμα· ἐκράτει γὰρ ἔτι τῆς κατὰ νόμον ἐντολῆς ἡ δύναμις. ἐπειδὴ δὲ πάντα τετέλεστο τὰ ἐπὶ Χριστῷ τολμήματα παρὰ τῆς Ἰουδαίων ἀνοσιότητος, καὶ λοιπὸν ἐξέπνευσε δι' ἡμᾶς, καὶ τοῦτο παθὼν ὁ Ἐμμανουὴλ, καιρὸς ἦν ἤδη περιῤῥήγνυσθαι d λοιπὸν τὸ ἀρχαῖον ἐκεῖνο καὶ πλατὺ καταπέτασμα, τουτέστι, τὴν τοῦ νομικοῦ γράμματος ἀσφάλειαν, καὶ ἀπογυμνοῦσθαι τοῖς διὰ πίστεως ἡγιασμένοις ἐν Χριστῷ τῆς ἀληθείας τὸ κάλλος. σχίζεται δὲ διόλου τὸ καταπέτασμα, τὸ γὰρ Ἄνωθεν ἕως κάτω τί ἂν ἕτερον ἡμῖν ἢ τοῦτο σημαίνει; καὶ διὰ ποίαν

7. βατὴν E. μάτην Ed. τιθέντος assumptum ex E. 13. τὸ pro καὶ Migne. 16. σου assumptum ex E. 24. τῶν pro τῆς Migne. 28. ἀσφάλειαν E.F. γρ. ἀσάφειαν (recte ut videtur) F mg. unde ἀσάφειαν Ed. 29. διὰ] + τῆς Ed. invito E.

αἰτίαν; οὐ γὰρ μερικὴν ἔχει τὴν ἀποκάλυψιν τὸ σωτήριον κήρυγμα, τελεώτατον δὲ ἡμῖν τῶν θείων ἡμῖν μυστηρίων ἐνίησι φωτισμόν. διὸ καὶ ὁ ψάλλων ἔφη που πρὸς τὸν
Ps. l. 8. Θεὸν, ὡς ἐκ προσώπου τοῦ νέου λαοῦ "Τὰ ἄδηλα καὶ τὰ "κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι," καὶ μὴν καὶ ὁ θεσπέσιος ἐπιστέλλει Παῦλος τοῖς πιστεύσασιν εἰς Χριστόν
1 Cor. i. 4, 5. "Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι "τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτί-
1072 A. a "σθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ σοφίᾳ καὶ πάσῃ "γνώσει." ὅτι τοίνυν ἐν πάσῃ σοφίᾳ καὶ ἐν πάσῃ γνώσει καὶ ἐν παντὶ λόγῳ καταπλουτήσειν ἔμελλον οἱ τοῦ Σωτῆρος προσκυνηταὶ, ἀθόλωτον δηλαδὴ καὶ παντὸς ἐλευθέραν συσκιάσματος τὴν τοῦ κατ' αὐτὸν μυστηρίου δεχόμενοι γνῶσιν, ἐδήλου τὸ *καταπέτασμα* διεσχισμένον οὐ μερικῶς, ἀλλ' ὅλον δι' ὅλου. τοῦτο γάρ ἐστι τὸ *Ἄνωθεν ἕως κάτω*. οἰκειότατον δὲ καὶ πολὺ μᾶλλον πρεπωδέστατον τῇ τῶν θείων μυστηρίων ἀποκαλύψει φαμὲν τὸν καιρὸν, καθ' ὃν τὴν ψυχὴν
b ὑπὲρ ἡμῶν τέθεικεν ὁ Σωτὴρ, ὡς ἀπολακτίσαντος ἤδη τοῦ Ἰσραὴλ τὴν χάριν, καὶ τῆς εἰς Θεὸν ἀγάπης ὁλοκλήρως ἀποπηδήσαντος, διὰ τῆς εἰς αὐτὸν παροινίας καὶ ἀπηχεστάτων τολμημάτων. ἐλλελοιπὸς γὰρ οὐδὲν τοῖς ἐκείνων ἀνοσιουργήμασι κατίδοι τις ἂν καὶ μέχρι θανάτου κατακομισθέντα μαθὼν τὸν τῆς ζωῆς χορηγόν.

Οἶμαι μὲν οὖν ἀποχρώντως ἡμῖν εἰρῆσθαι καὶ ταῦτα, καὶ οὐκ ἀπὸ σκοποῦ τοῦ πρέποντος τὸν τῶν θείων θεωρημάτων
c ἐξοίχεσθαι λογισμόν· ἐπειδὴ δὲ μετὰ δριμείας τινὸς τῆς ἐπιτηρήσεως εὑρίσκεται λέγων ὁ θεσπέσιος Εὐαγγελιστής *Ὡς δὲ ἐξέπνευσεν, ἐῤῥάγη τὸ καταπέτασμα τοῦ ναοῦ*· μόνον γὰρ οὐχὶ τὸν τοῦ πράγματος καιρὸν διὰ τούτων ἡμῖν ἀναγκαίως ἐπισημαίνεται· φέρε δή τι πρὸς οἷς ἔφαμεν ἀρτίως ἐπινοήσωμεν ἕτερον, οὐ μετρίαν ἔχον, ὥς γε μοι δοκεῖ, τὴν ἐν τῷ νοεῖσθαι κομψείαν· ἁλώσεται γὰρ οὐδαμῶς τῆς τῶν ἀναγκαίων

2. ἡμῖν—ἡμῖν] ἡμῶν—ἡμῶν E. ἡμῖν alt. om. Migne. 31. φαίνεται pro δοκεῖ E.

διαπίπτον χρείας τε καὶ χάριτος. ἔθος τοιγαροῦν παρὰ τοῖς Ἰουδαίων δήμοις τε καὶ ἡγουμένοις ἐκράτει τοιοῦτον· ἐπα- d θροῦντες γάρ τι πραττόμενον ὃ λυπεῖν ὅτι μάλιστα τὸν νομοθέτην ἐδόκει, ἤγουν ἐπαΐοντές τι τῶν ἀπηχεστάτων, ῥημάτων δὲ δηλονότι φημὶ τῶν τελούντων εἰς βλασφημίαν, τὴν ἐσθῆτα περιεῤῥήγνυντο, καὶ τὸ τοῖς πενθοῦσι πρέπον ἐπλάττοντο σχῆμα, ἀπολογούμενοι τρόπον τινὰ διὰ τούτου Θεῷ, καὶ δι' ὧν ἔχειν ἐδόκουν οὐ φορητῶς, τῆς τῶν πεπλημμεληκότων μανίας καθορίζοντες δίκην, ἔξω τε πάσης τῆς ἐπὶ τούτοις αἰτίας τὴν οἰκείαν ὥσπερ ποιούμενοι κεφαλήν. καὶ γοῦν τοῦ Σωτῆρος οἱ μαθηταὶ, Βαρνάβας δὲ οὗτοι καὶ Παῦλος, ὅτε τινὲς αὐτοὺς τῶν e οὔπω πεπιστευκότων οἰηθέντες εἶναι θεούς· “ἐκάλουν γὰρ Acta SS. Ap. xiv. 12. “τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν·” τοῖς ἱερεῦσιν ὁμοῦ θυσίας καὶ στέμματα παρενεγκόντες, ἐπεχείρουν Ib. 13. ἤδη καὶ θυσίαις τιμᾶν, τοῦ δωματίου καταπηδήσαντες, ἅτε δὴ καὶ τῆς θείας δόξης ἀδικουμένης, εἰ προκομισθεῖεν ὅλως ἀνθρώποις θυσίαι, διέῤῥηξαν τὰ ἱμάτια ἑαυτῶν, καθὰ γέγραπται, Ib. 14. καὶ τὸ ἀμαθὲς τῶν εἰδωλολατρούντων ἐγχείρημα τοῖς καθήκουσιν ἀπεκρούοντο λόγοις. κρινομένου δὲ τοῦ Σωτῆρος a 1073 A. ἡμῶν Χριστοῦ παρὰ τοῖς Ἰουδαίων καθηγηταῖς, καὶ τίς τε εἴη καὶ πόθεν διδάσκειν ἀπαιτουμένου, λέγοντός τε σαφῶς “Ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου S. Matth. xxvi. 64. “καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν “νεφελῶν τοῦ οὐρανοῦ,” τῶν ἱερῶν ἀναπήδησας δίφρων ὁ Καϊάφας “διέῤῥηξε τὰ ἱμάτια ἑαυτοῦ λέγων Ἐδυσφή- Ib. 65. “μησεν.” ἔθει τοιγαροῦν τῷ παρ' αὐτοῖς κρατήσαντι καὶ αὐτὸς ὁ θεῖος ὥσπερ ἐχρήσατο ναὸς, διαῤῥήξας ὡς ἱμάτιον τὸ ἴδιον καταπέτασμα, τοῦ Σωτῆρος ἡμῶν εὐθὺς ἀποπνεύσαντος. τῆς γὰρ Ἰουδαίων ἀφιλοθεΐας κατεψηφίζετο τὴν εἰς αὐτὸν δυσσέβειαν. θείᾳ δὲ δὴ πάντως ἐνεργείᾳ καὶ τοῦτο b ἐπληροῦτο, ἵνα πενθοῦντα τὸν Ἰσραὴλ καὶ αὐτὸν ἡμῖν τὸν ἅγιον ἐπιδείξῃ ναόν.

2. τοιοῦτον assumptum ex E. 3. τι E. Migne. τοι Ed. 20. τε assumptum ex E.

31 Οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν.

Οὐκ εὐλάβειαν ἐπιμαρτυρῶν τοῖς ἀγρίως τε καὶ ἀνημέρως c *μιαιφονεῖν εἰωθόσι, καὶ ἐπὶ τοῖς οὕτως ἀνοσίοις κατεγνωσμένοις, τὰ τοιαῦτά φησιν ὁ μακάριος Εὐαγγελιστὴς, ἐκεῖνο δὲ πάλιν ἐπιδεικνὺς ἀσυνέτως τε καὶ ἀμαθῶς ὑπομένοντας,* S.Matth. xxiii. 24. *ὅπερ ἔφη Χριστός· διυλίζουσι γὰρ "τὸν κώνωπα, τὴν κάμηλον καταπίνοντες," τὰ μὲν γὰρ τῶν ἀσεβημάτων ὑπερφερῆ τε καὶ πάνδεινα λόγου παντελῶς οὐδενὸς ἀξιοῦντες ἁλίσκονται· τὰ δέ γε λεπτότατά τε καὶ σμικρότατα μετὰ πολλῆς τινος τῆς ἀκριβείας περιεργάζονται, καθ' ἑκάτερον ἀμαθαίνοντες. καὶ γείτων ὁ ἔλεγχος. ἰδοὺ γὰρ ἰδοὺ Χριστὸν ἀποκτείναντες τὴν ἐν σαββάτῳ αἰδῶ ποιοῦνται περὶ πολλοῦ, καὶ* d *τοῖς ὑπὲρ λόγον τολμήμασι τὸν νομοθέτην ὑβρίσαντες, τὴν εἰς τὸν νόμον εὐλάβειαν σχηματίζονται· μεγάλην δὲ οὖσαν ἐκείνου δὴ μάλιστα τοῦ σαββάτου τὴν ἡμέραν προσποιοῦνται τιμᾶν, οἱ τὸν τῆς μεγάλης ἡμέρας ἀνελόντες Κύριον, αἰτοῦσί τε χάριν τὴν αὐτοῖς καὶ μόνοις πρεπωδεστάτην. συνθραύεσθαι γὰρ αὐτῶν τὰ σκέλη παρακεκλήκασι, θερμοτέραν τοῦ θανάτου τὴν ἔφοδον, διὰ τῆς ἀφορήτου λοιπὸν αἰκίας τοῖς ἤδη καμοῦσι κατασκευάζοντες.*

32 Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ
33 σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ, ἐπὶ δὲ τὸν
Ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν
1074 A. a
34 αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν
35 πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ. καὶ ὁ
ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν αὐτοῦ ἡ μαρτυρία,

1. *μένῃ* Migne. 5. *ἀγρίως—ἀνημέρως* E. *ἀγρίοις—ἀνημέροις* Ed. 6. *ἀνοσίως* E. 8. *ὑπομένοντας* E. Ed. mg. *ὑπομένοντες* Ed. *ὑπομείναντας* F. 19. *ἀνελόντες Κύριον* hoc ordine E. 28. *ἐξῆλθεν εὐθὺς αἷμα* E.F. *αἷμα εὐθὺς ἐξῆλθε* Ed. *καὶ εὐθέως ἐξῆλθεν* (rubrice) F mg. 29. *αὐτοῦ ἡ μαρτυρία* hoc ordine E.

καὶ ἐκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε.
ἐγένετο γὰρ ταῦτα, ἵνα πληρωθῇ ἡ γραφὴ Ὀστοῦν οὐ συντρι- 36
βήσεται ἀπ' αὐτοῦ. καὶ πάλιν ἑτέρα γραφὴ λέγει Ὄψονται 37
εἰς ὃν ἐξεκέντησαν.

Τὴν τῶν Ἰουδαίων ἀποπληροῦντες αἴτησιν οἱ γείτονα τῆς b ἑνούσης αὐτοῖς ὠμότητος νοσοῦντες μανίαν, τοὺς Πιλάτου δὲ δῆλον στρατιώτας φαμὲν, τῶν μὲν δύο ληστῶν, ἅτε δὴ καὶ ἐν ζῶσιν ἔτι κατειλημμένων, τὰ σκέλη συνθραύουσιν, ὀξυτέραν αὐτοῖς τῆς ἀνηκέστου συμφορᾶς τιθέντες τὴν ἀπειλὴν, καὶ ὥσπερ ἐξ ἀνάγκης ἤδη δυσαχθεστέρας συνωθοῦντες εἰς θάνατον. ἀποκλίναντα δὲ τὴν κεφαλὴν εὑρόντες τὸν Ἰησοῦν, ἀποπνεύσαντά τε ἤδη κατειληφότες, εἰκαῖον ἔτι νομίζουσι τὸ συνθραῦσαι τὰ σκέλη, βραχὺ δέ τι καὶ ἀπιστή- c σαντες, ὡς ἤδη τεθνήκοι, λόγχῃ διανύττουσι τὴν πλευρὰν, ἡ δὲ μεμιγμένον ὕδατι τὸ αἷμα διέβλυσε, τῆς μυστικῆς εὐλογίας καὶ τοῦ ἁγίου βαπτίσματος εἰκόνα καὶ ἀπαρχὴν ὥσπερ τινὰ τιθέντος ἡμῖν τοῦ Θεοῦ τὸ γεγενημένον. Χριστοῦ γὰρ ὄντως ἐστὶ καὶ παρὰ Χριστοῦ τὸ ἅγιον βάπτισμα, καὶ τῆς μυστικῆς εὐλογίας ἡ δύναμις ἐκ τῆς ἁγίας ἡμῖν ἀνέφυ σαρκός.

Supra ver. 30.

Πιστοῦται γεμὴν ὁ σοφώτατος Εὐαγγελιστὴς ἀπὸ τῶν συμβεβηκότων τοὺς ἀκροωμένους, ὅτι περ αὐτὸς εἴη ὁ Χριστὸς, ὁ πάλαι διὰ τῆς ἁγίας γραφῆς προαναφωνούμενος· d συνῳδὰ γὰρ τοῖς περὶ αὐτοῦ γεγραμμένοις ἐξέβη τὰ πράγματα. οὔτε γὰρ ὀστοῦν αὐτοῦ συνετρίβη, καὶ τῇ τῶν στρατιωτῶν ἐξεκεντήθη λόγχῃ, κατὰ τὰς γραφάς. ἐπόπτην δὲ ὥσπερ καὶ θεωρὸν τοῦ πράγματος αὐτὸν γενέσθαι φησὶ τὸν περὶ τῶν τοιούτων μαρτυρήσαντα μαθητὴν, εἰδέναι τε κατὰ ἀλήθειαν, ὅτι μεμαρτύρηκεν ἀληθῆ, ἑαυτὸν κἀν τούτῳ καὶ οὐχ ἕτερόν τινα σημαίνων. παρῃτήσατο γὰρ γυμνότερον εἰπεῖν, τὴν τῆς φιλοδοξίας ὑπόληψιν ὡς ἀνόσιόν τι χρῆμα e καὶ νόσον ἀποκρουόμενος τὴν ἐσχάτην.

1. ἵνα ὑμεῖς (rubrice) F mg. 3. ἀπ' E.F. παρ' Ed. 22. εἴη et ante et post αὐτὸς exhibet E. 28. κατ' Migne.

Περὶ τῆς αἰτήσεως τοῦ κυριακοῦ σώματος.

38 Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα αὐτοῦ.

1075 A. a *Κατηγορεῖ μὲν ὁ λόγος καὶ τῆς Ἰουδαίων ἀνοσιότητος οὐ μετρίως καταβοᾷ, σφαλερὸν εἶναι δεικνὺς καὶ οὐ παντελῶς ἀζήμιον τὸ μαθητεύεσθαι τῷ Χριστῷ· λανθάνειν γὰρ ὅτι μάλιστα διεσπουδακότα τὸν ἐπιεικέστατον τουτονὶ νεανίαν, φημὶ δὴ τὸν Ἰωσήφ, εἰσκεκόμικεν ἐναργῶς, καίτοι ταῖς διὰ Χριστοῦ διδασκαλίαις ἀναπεπεισμένον λατρείαν ἑλέσθαι τὴν ὄντως ἀληθῆ καὶ τῆς νομικῆς ἐντολῆς ἀμείνω τε καὶ ἡδίονα τῷ φιλαρέτῳ Θεῷ, ὁμοῦ δὲ καὶ βεβαιοῖ τὸ εἰς πίστιν ἡμῖν*
b *ἀναγκαῖον. ἔδει γὰρ ἔδει πιστεύειν ὅτι τέθεικεν ὑπὲρ ἡμῶν τὴν ψυχὴν ὁ Χριστός. ὅπου γὰρ ἐνταφιασμὸς, πῶς οὐκ ἀναγκαίως ἕψεται τὸ διακεῖσθαι καὶ ἀραρότως, ὅτι καὶ θάνατος ἦν; καταψηφίσαιτο δ' ἄν τις, καὶ οὐκ ἀπὸ σκοποῦ, τὴν ἐσχάτην ἀγριότητα τῆς Ἰουδαίων ἀλαζονείας καὶ γνώμης ἀσυμπαθοῦς καὶ ἀφιλοστόργου φρονήματος, οἱ μηδὲ τὴν τοῖς τεθνεῶσι χρεωστουμένην ἀπονέμουσιν αἰδὼ τῷ Χριστῷ,*
c *μηδὲ ὁσίᾳ τιμῶσιν, ἄπνουν καὶ νεκρὸν ὁρῶντες κείμενον, καίτοι γινώσκοντες ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, πολλάκις δὲ καὶ θαυματουργοῦντα καταπεπληγμένοι, εἰ καὶ δριμὺς ὢν ὁ φθόνος γνησίως αὐτοῖς ἐνιζάνειν τὴν ἐκ τῆς θαυματουργίας ὄνησιν συγκεχώρηκεν οὐδαμῶς. εἰς κρῖμα τοίνυν τῆς Ἰουδαίων ἀπανθρωπίας, καὶ εἰς ἔλεγχον τῶν Ἱεροσολυμιτῶν ὁ ἐκ τῆς Ἀριμαθαίας ἔρχεται μαθητὴς καὶ ταῖς καθηκούσαις θεραπείαις*
d *τιμᾷ, ὃν γυμνῇ μὲν οὔπω, λαθραίᾳ δ' οὖν ὅμως τῇ πίστει τετίμηκε διὰ τὸν φόβον τῶν Ἰουδαίων, καθά φησιν ὁ μακάριος Εὐαγγελιστής.*

1 om. E. exhibet autem (capituli more) F. 4. *ἐπέστρεψεν*(?) E. 13–16. *εἰς—ἀναγκαίως* om. E.

Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, 39
φέρων μίγμα σμύρνης καὶ ἀλόης, ὡσεὶ λίτρας ἑκατόν.

Οὐχ ἕνα φησὶ μαθητὴν βεβουλεῦσθαι σωφρόνως προθυμότατά τε καὶ λίαν ἐλθεῖν εἰς περιστολὴν τοῦ ἁγίου σώματος, ἐπισυνάπτει δὲ τῷ πρώτῳ καὶ δεύτερον· Νικόδημος οὗτος ἦν· μαρτυρίαν ὥσπερ τὴν κατὰ νόμον τετιμημένην συλλέγων e τῷ πράγματι. "Ἐπὶ στόματος γάρ, φησὶ, δύο ἢ καὶ τριῶν (Deut. xix. 15.) "μαρτύρων σταθήσεται πᾶν ῥῆμα." δύο τοιγαροῦν οἱ ἐνταφιάσαντες, Ἰωσήφ τε καὶ Νικόδημος, ἔχοντες μὲν εἴσω τὴν πίστιν εἰς νοῦν, ἀσυνέτῳ γεμὴν ἔτι καταπτοούμενοι δείματι, καὶ τῆς ἐπιγείου τιμῆς τε καὶ δόξης οὔπω προτιμήσαντες τὴν παρὰ Θεῷ. ἦ γὰρ ἂν τὸν ἐκ τῶν Ἰουδαίων ἀποπεμψάμενοι φόβον, καὶ ὀλίγα παντελῶς τῆς εἰς ἐντεῦθεν φροντίσαντες ἀπειλῆς, ἐλευθέραν τῇ πίστει παρέσχον τὴν ἄδειαν, ὅσιοί τε καὶ ἀγαθοὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐντολῆς ἐδείχθησαν φύλακες.

a 1076 A.

Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ 40
τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.
Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ 41
μνημεῖον καινὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἦν τεθειμένος.

Ἐλογίσθη μὲν ἐν νεκροῖς, ὁ δι' ἡμᾶς μὲν ἐν νεκροῖς κατὰ σάρκα, ζωὴ δὲ δι' ἑαυτὸν καὶ τὸν φύσαντα νοούμενός τε καὶ ὑπάρχων κατὰ ἀλήθειαν. ἵνα δὲ πᾶσαν πληρώσῃ δικαιοσύνην, τὴν τῷ ἀνθρωπίνῳ δὲ δηλονότι πρέπουσαν σχήματι, b οὐχὶ τῷ τεθνάναι μόνον καθ' ἑκούσιον βούλησιν τὸν οἰκεῖον ὑπετίθει ναὸν, ἀλλὰ καὶ τοῖς μετὰ τοῦτο, φημὶ δὴ πάλιν, τῷ τε ἐνταφιασμῷ καὶ καταθέσει τῇ εἰς τὸ μνημεῖον. ἐν κήπῳ δὲ τοῦτο καὶ καινὸν εἶναί φησιν ὁ συγγραφεὺς, κατασημαίνοντος ὥσπερ ἡμῖν ἐν τύπῳ καὶ ὑπογραμμῷ τοῦ πράγματος, ὅτι τῆς εἰς τὸν παράδεισον εἰσδρομῆς καὶ πρόξενος

26. ἀλλὰ E. ἀλλ' εἰ Ed. 29. τύπῳ] + τε a.

Heb. vi. 20. ἡμῖν καὶ ἀρχὴ γέγονεν ὁ Χριστοῦ θάνατος. "πρόδρομος c "γὰρ ὑπὲρ ἡμῶν εἰσῆλθεν" αὐτός. τί γὰρ ἕτερον ἢ αὐτὸ δὴ τοῦτο κατασημήνειεν ἂν τὸ νεκρὸν ἐν κήπῳ διακεκομίσθαι τὸν Ἰησοῦν; διὰ δὲ τῆς τοῦ μνημείου καινότητος, τὸ ἀτριβὲς ὥσπερ καὶ ξένον τῆς ἐκ θανάτου πρὸς ζωὴν ἀναδρομῆς, καὶ ἡ κατὰ τῆς φθορᾶς ἐπινοηθεῖσα καινοτομία διὰ Χριστοῦ σημαίνεται. καινὸς γὰρ ἡμῶν ὁ θάνατος ἐν θανάτῳ Χριστοῦ εἰς ὕπνου τρόπον τινὰ μετατεθειμένος δύναμίν τε Rom. vi. 11. καὶ χρείαν. ζῶμεν γὰρ τῷ Θεῷ ζήσειν μέλλοντες, κατὰ τὰς γραφάς. τοιγάρτοι καὶ ὁ μακάριος Παῦλος ἄνω τε καὶ κάτω d κεκοιμημένους καλεῖ τοὺς ἐν Χριστῷ τελευτήσαντας. πάλαι μὲν γὰρ κατὰ τῆς ἡμετέρας φύσεως τὸ δεινὸν τοῦ θανάτου Ib. v. 14. κατεθρασύνετο. βεβασίλευκε γὰρ "ἀπὸ Ἀδὰμ καὶ μέχρι "Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώ- 1 Cor. xv. 49. "ματι τῆς παραβάσεως Ἀδάμ," καὶ πεφορέκαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, καθ' ὁμοιότητα τὴν ἐκείνου, τὸν ἐκ τῆς θείας ἀρᾶς ὑπομένοντες θάνατον. ἐπειδὴ δὲ ὁ δεύτερος ἡμῖν ἐπέλαμψεν Ἀδάμ, ὁ θεῖός τε καὶ ἐξ οὐρανοῦ, καὶ τῆς ἁπάντων e ὑπεραθλήσας ζωῆς, τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τὴν ἁπάντων ζωὴν ἐξεπρίατο, καὶ τὸ τῆς φθορᾶς καταλύσας κράτος ἀνεβίω πάλιν, μετεπλάσθημεν εἰς εἰκόνα τὴν πρὸς αὐτόν, καινὸν ὥσπερ τινὰ θάνατον ὑπομένοντες, οὐκ εἰς ἀτελεύτητον ἡμᾶς καταλύοντα φθοράν, ἀλλ' ὕπνον ἐμβάλλοντα τὸν ἐλπίδος γέμοντα καλῆς, καθ' ὁμοιότητα δὲ δηλονότι τοῦ καὶ ταύτην ἡμῖν ἐγκαινίσαντος τὴν ὁδόν, τουτέστι Χριστοῦ.

Εἰ δὲ δή τις ἐθέλοι προσκατασκευάσαι διὰ τοῦ *καινὸν* 1077 A. a εἶναι τὸ *μνημεῖον* εἰπεῖν, μηδένα τε ὅλως ἐν αὐτῷ τεθεῖσθαι πρότερον, καλῶς ἂν ἔχοι καὶ τοῦτο. ἵνα γάρ φησι μὴ ἕτερός τις παρὰ τὸν Ἰησοῦν ἐγηγέρθαι πιστεύηται, *καινὸν* εἶναί φησι τὸ μνῆμα, οὐδενὸς ἐν αὐτῷ τεθέντος πώποτε.

4–11 citat Severus contra Jul. Syriace in Cod. Mus. Brit. (Add. 12158) fol. 127.
7. ἐν] + τῷ a. 26. δή assumptum ex E. 30. *μνῆμα* E. *μνημεῖον* Ed.

Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ 42
μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Οὐχὶ μόνον ἁπλῶς ὅτι κεκήδευταί φησιν, ἤγουν ὅτι κῆπος ἦν ἐγγὺς τοῦ σταυροῦ, καὶ καινὸν ἐν αὐτῷ μνημεῖον, ἀλλ' ὅτι καὶ κατετέθη δηλοῖ, οὐδὲ τὸ βραχὺ τῶν γεγονότων καταλιπὼν ἀνεξήγητον. ἀναγκαιοτάτη γὰρ ὄντως εἰς τὴν τοῦ b μυστηρίου συναίνεσίν τε καὶ σύστασιν, ἡ περὶ τοῦ τεθνάναι Χριστὸν ὁμολογία καὶ γνῶσις. διὰ τοῦτο καὶ ὁ σοφώτατος Παῦλος τὸν τῆς πίστεως ἡμῖν κανόνα διοριζόμενος οὕτω φησίν "Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ Rom. x. 8–10. "ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσ- "σομεν, ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματί σου Κύριος Ἰησοῦς, "καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν "ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιο- "σύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν," ἀλλὰ καὶ ἑτέρωθί που πάλιν "Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ c 1 Cor. xv. 3, 4. "καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν "ἡμῶν κατὰ τὰς γραφὰς, καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται "τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς." οὐκοῦν ἀναγκαιοτάτην καὶ τὴν περὶ τούτων ἡμῖν ἐξήγησιν ὁ τοῦ βιβλίου ποιεῖται συγγραφεύς. ἔδει γὰρ ἔδει πιστεύειν ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη. λοιπὸν γὰρ εἰσβήσεται μετὰ τοῦτο τὸ πιστεύειν ἀληθῶς, ὅτι καὶ τὰ τοῦ θανάτου διαῤῥήξας δεσμὰ, πρὸς τὴν ἰδίαν ὡς Θεὸς ἀνεφοίτησε ζωήν. οὐ γὰρ ἦν δυνατὸν Acta SS. Ap. ii. 24. κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ θανάτου. ζωὴ γὰρ ὢν κατὰ φύσιν, πῶς ἂν ὑπέμεινε τὴν φθοράν; ὁ δὲ ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, d Ib. xvii. 28. πῶς ἂν τοῖς τῆς ἡμετέρας φύσεως ὑπηνέχθη νόμοις, καὶ οὐχὶ μᾶλλον ὡς Θεὸς ἐζωογόνησεν εὐκόλως τὸ ζωῆς ἐπιδεές;

18. καὶ ὅτι ἐτάφη assumptum ex E. 19. τῇ τρίτῃ ἡμέρᾳ E. sed cf. Glaph. 135 e (a Tisch. cit.).

Κεφ. κ΄. Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ
σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον
2 ἠρμένον ἐκ τοῦ μνημείου. τρέχει οὖν καὶ ἔρχεται πρὸς
Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ
Ἰησοῦς, καὶ λέγει αὐτοῖς Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου,
3 καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν· ἐξῆλθεν οὖν ὁ Πέτρος
4 καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον· ἔτρεχον
1078 A. a δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ
5 Πέτρου καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον, καὶ παρακύψας
6 βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. ἔρχεται οὖν
Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον,
7 καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς
8 ἐντετυλιγμένον εἰς ἕνα τόπον. τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος
b μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπί-
9 στευσεν· οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ
νεκρῶν ἀναστῆναι.

Οὐκ ἂν ἐκαρτέρησεν οἴκοι μένειν ἡ σπουδαιοτάτη καὶ φιλόθεος αὕτη γυνή, οὐδ᾽ ἂν ἀπελείφθη τοῦ μνήματος, εἰ μὴ τὸν ἐπὶ τῷ σαββάτῳ καταδείσασα νόμον, καὶ τὴν τοῖς παραβαίνουσιν ἐπαρτηθεῖσαν δίκην, τὸ τῆς εἰς τοῦτο προθυμίας παρέκοψε θερμόν, καὶ τοῖς ἀρχαίοις ἔθεσιν ἀπονέμουσα
c *τὸ ἔτι κρατεῖν, τῶν ὅτι μάλιστα ποθουμένων καὶ οὐχ ἑκοῦσαν ἐξείργειν ᾤετο δεῖν τὴν ἑαυτῆς διάνοιαν. οἰχομένου δὲ ἤδη τοῦ σαββάτου, καὶ ἄρτι τῆς γείτονος ἀνατελλούσης ἡμέρας, δρόμῳ μέτεισι τὸν τόπον· εἶτα τῶν τοῦ μνημείου στομάτων ἐκκεκυλισμένον ἰδοῦσα τὸν λίθον, εἰς εὐλόγους ὑποψίας συναρπάζεται, καὶ τὸν ἀτελεύτητον τῶν Ἰουδαίων ἐννοήσασα φθόνον, μετακεκομίσθαι νομίζει τὸν Ἰησοῦν, ταῖς ἐκείνων ἀπονοίαις καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐπιγράφουσα τὸ δυσ-*

1. *μαγδαλινὴ* E. 19. *φιλόθεος* E. *φιλόσοφος* Ed. *ἂν* assumptum ex E.
25. *ἀνατελούσης* Aub.

σέβημα. ἐπειδὴ δὲ ἐν τούτοις τὸ γύναιον ἦν, καὶ τοῖς ἐκ τοῦ d εἰκότος ἐβάλλετο λογισμοῖς, πρὸς τοὺς ἀγαπῶντας τὸν Κύριον ὑπονοστεῖ, συλλήπτορας ὥσπερ τῆς ἐπ' αὐτῷ ζητήσεως τοὺς τῶν μαθητῶν γνησιωτάτους ποιεῖσθαι σπουδάζουσα. ἱδρυμένην δὲ ὥσπερ καὶ ἀπόρθητον ἔχουσα τὴν πίστιν, οὐ παρεκομίσθη πρὸς ὀλιγωρίαν διὰ τῶν ἐπὶ τῷ σταυρῷ παθῶν, Κύριον δὲ συνήθως ἀποκαλεῖ καὶ τεθνεῶτα Χριστόν· τοιαύτη γὰρ ὄντως ἡ φιλόθεος ἕξις. οἱ δὲ ἐπείπερ ἐπύθοντο ταυτὶ τοῦ γυναίου διηγγελκότος· Πέτρος δὲ ἦσαν καὶ Ἰωάννης ὁ τοῦ βιβλίου συγγραφεύς, ἑαυτὸν γὰρ εἶναί e φησι τὸν ἕτερον μαθητήν· ὅσον ἦν εἰκὸς δύνασθαι συντείνονται δρόμῳ, καὶ πρὸς αὐτὸ τὸ μνημεῖον ἀφίκοντο γοργῶς, καὶ τοῦ παραδόξου γίνονται θεωροί, ἀποχρώντως ἔχοντες εἰς μαρτυρίαν τοῦ πράγματος· δύο γὰρ ἦσαν κατὰ τὸν νόμον. καὶ Deut. xix. 15. ἐγηγερμένῳ μὲν ἐκ νεκρῶν οὔπω περιτυγχάνουσι τῷ Χριστῷ, ἀπὸ δὲ τῆς τῶν ὀθονίων συλλογῆς ἐννοοῦσι τὴν ἀνάστασιν, πιστεύουσί τε λοιπὸν, ὅτι καὶ αὐτὰ τὰ τοῦ θανάτου διέῤῥηξε δεσμὰ, τοῦτο καὶ πάλαι βοώσης τῆς ἁγίας γραφῆς. οὐκοῦν τοῖς ἀληθέσι προμηνύμασι τὰ ἐκ τῶν πραγμάτων συμβαί- a1079 A. νοντα τέλη καταλαμβάνοντες, ἑδραιοτάτην ἤδη δέχονται τὴν πίστιν.

Σημειωτέον δὲ ὅτι ὁ μὲν μακάριος Εὐαγγελιστὴς Ἰωάννης τὸν τῆς ἀναστάσεως ἡμῖν καταμηνύων καιρόν Τῇ μιᾷ φησι τῶν σαββάτων πρωῒ σκοτίας ἔτι οὔσης ἔρχεται εἰς τὸ μνημεῖον Μαρία ἡ Μαγδαληνή· Ματθαῖος γεμὴν τὴν αὐτὴν ἡμῖν ποιούμενος δήλωσιν, ἑσπέρας ἔφη βαθείας οὔσης γενέσθαι τὴν S.Matth. xxviii. 1. ἀνάστασιν. ἀλλ' οἶμαι μηδένα διαφωνεῖν οἴεσθαι τοὺς b πνευματοφόρους, μήτε μὴν διαφόρους τῆς ἀναστάσεως ἐξηγεῖσθαι καιρούς. εἰ γάρ τις βούλοιτο τῶν σημαινομένων ἐννοῆσαι τὴν δύναμιν, εἰς ταὐτὸν συμβαινούσας εὑρήσει τὰς τῶν ἁγίων φωνάς. ὄρθρος γὰρ ὡς ἐγῷμαι βαθὺς καὶ ἑσπέρα

22. μὲν assumptum ex E. 25. μαρία E. μαριὰμ Ed. μαγδαλινὴ (ut supra) E. 30. ἐννοεῖσθαι Cord.

βαθεῖα, πρὸς ἕν τι καταφέρει τὸ σημαινόμενον, καὶ εἰς τὸν μεσαίτατον, ἵν᾽ οὕτως εἴπω, τοῦ τῆς νυκτὸς διαστήματος ἔρχεται τόπον. οὐδεμία τοιγαροῦν ἡ διαφωνία. ὁ μὲν γὰρ ἀπὸ τοῦ τέλους τῆς νυκτὸς, ὁ δὲ ἀπὸ τῆς ἀρχῆς λαβὼν, c *πρὸς τὸ βάθος ἕρπει τῶν ὡρῶν, καὶ εἰς αὐτὸ κάτεισι, καθάπερ ἔφην ἀρτίως, τὸ μεσαίτατον.*

10, 11 Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί· Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον ἔξω κλαίουσα.

Ἀποχρῶσαν ἤδη τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει τὴν πληροφορίαν συλλέξαντες οἱ σοφώτατοι μαθηταὶ, ἱδρυμένην τε λοιπὸν καὶ ἀσάλευτον ὠδίνοντες πίστιν, ἀπό τε τῆς τῶν d *δρωμένων ἐκβάσεως, καὶ τῆς τῶν ἁγίων γραφῶν προῤῥήσεως, οἴκαδε πάλιν ἀνεκομίζοντο, καὶ πρὸς τοὺς σφετέρους κατά γε τὸ εἰκὸς συλλειτουργοὺς ἠπείγοντο, διαγγελοῦντές τε τὸ θαῦμα, καὶ διασκεψόμενοι μετὰ τοῦτο τὴν τῶν πρακτέων ὁδόν. ἴοι δ᾽ ἂν οὐκ ἀπὸ σκοποῦ τὸ καὶ ἕτερόν τι πεπράχθαι νομίζειν παρ᾽ αὐτῶν. ἐν ἀκμαῖς γὰρ ὄντος ἔτι τοῦ τῶν Ἰουδαίων θυμοῦ, καὶ φονώντων ἐκθύμως τῶν καθηγεῖσθαι λαχόντων κατὰ παντὸς μὲν ἀνθρώπου τὸν τοῦ Σωτῆρος ἡμῶν θαυμάζοντος λόγον, καὶ τὴν ἄῤῥητον αὐτοῦ* e *καὶ θεοπρεπεστάτην ἀποδεχομένου δύναμίν τε καὶ δόξαν, μάλιστα δὲ κατ᾽ αὐτῶν τῶν ἁγίων μαθητῶν· τὸ ἐμπεσεῖν εἰκότως παραιτούμενοι, πρὸ αὐγῆς τῆς τελείας ἀποφοιτῶσι τοῦ μνήματος, ὡς οὐκ ἐξὸν ἀκινδύνως τοῦτο δρᾶν, εἰ ὁρῷντο μεθ᾽ ἡμέραν, τῆς τοῦ ἡλίου λαμπάδος τοῖς ἁπάντων αὐτοὺς ἀνακαλυπτούσης ὄμμασι. καὶ οὐ δήπου δειλίαν ἐροῦμεν τὴν ἄνανδρον αἰτίαν ὥσπερ αὐτοῖς τῆς οὕτως ἐμμελεστάτης καταστῆναι φυγῆς, οἰησόμεθα δὲ μᾶλλον τοῦ χρησίμου τὴν* **1080 A.** a *γνῶσιν ταῖς τῶν ἁγίων ψυχαῖς ἐντεθεῖσθαι παρὰ Χριστοῦ, ἀωρὶ κινδυνεύειν οὐκ ἐπιτρέποντος τοὺς οἵπερ ἔμελλον ἔσεσθαι τῆς οἰκουμένης φωστῆρες καὶ διδάσκαλοι. ἔδει γὰρ* Phil. ii. 15.

15. *διασκεψάμενοι* E. 25. *τοῦ* om. E.

ἀληθῆ τὸν παρ' αὐτοῦ φαίνεσθαι λόγον, ὃν ἔφη περὶ αὐτῶν πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα "Πάτερ ἅγιε, τήρησον [Supra xvii. 11, 12.] "αὐτοὺς, φησὶν, ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν "ἓν καθὼς ἡμεῖς ἕν. ὅτε ἤμην μετ' αὐτῶν, ἐγὼ ἐτήρουν "αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, καὶ ἐφύλαξα "αὐτοὺς, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς "ἀπωλείας." ὑποφεύγουσι τοίνυν οἱ μαθηταὶ, περιμεῖναι b δεῖν οἰόμενοι τὸν τῆς παῤῥησίας καιρόν. ἔδρων δὲ τοῦτο τοῖς τοῦ Σωτῆρος καταπειθόμενοι λόγοις. "παρήγγειλε γὰρ [Acta SS. Ap. i. 4, 5.] "αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, καθὰ γέγραπται, "περιμένειν δὲ τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἤκουσαν "αὐτοῦ, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, αὐτοὶ δὲ βαπτισθή-"σονται ἐν Πνεύματι Ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας·" ὃ δὴ καὶ εἰς πέρας ἐκβεβηκὸς εὑρήσομεν κατὰ τὰς ἡμέρας τῆς ἁγίας πεντηκοστῆς, ὅτε "ὤφθησαν αὐτοῖς διαμεριζό- c [Ib. ii. 3.] "μεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον "αὐτῶν." τότε γὰρ λίαν εἰς εὔτονόν τε καὶ εὐτολμοτάτην μετασκευασθέντες διάνοιαν, καὶ τῆς ἀνθρωπίνης ἀσθενείας ὡς ποῤῥωτάτω κείμενοι ταῖς τῶν Ἰουδαίων μανίαις ἀνθωπλίζοντο, καὶ λόγον οὐδένα τῆς παρ' ἐκείνων ἐπιβουλῆς ποιεῖσθαι δεῖν ἐδοκίμαζον. οἱ μὲν οὖν σοφώτατοι μαθηταὶ κατεκρύπτοντο χρησίμως, καθάπερ ἔφην ἀρτίως· ἡ δέ γε φιλόχριστος Μαριὰμ, ἅτε δὴ καὶ παντὸς ἐλευθέρα δείματος, d καὶ τὴν τῶν Ἰουδαίων ὀργὴν οὐκ ἔχουσα λίαν ἐν ὑποψίαις, προσεδρεύει μὲν ἰταμώτερον, τὸ δὲ ταῖς θηλείαις ἀεί πως προσπεφυκὸς ὑπομένει πάθος, ἀνοιμώζει γὰρ ἀπληστότερον, καὶ ἀκορέστως τῶν ἰδίων ὀμμάτων ἀποθλίβει τὸ δάκρυον, οὐχ ὅτι τετελεύτηκε καταθρηνοῦσα μόνον, ἀλλ' ὅτι καὶ μετατεθεῖσθαι τοῦ μνήματος ᾠήθη τὸν Κύριον.

e
12 Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο
ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ
13 ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. καὶ
λέγουσιν αὐτῇ ἐκεῖνοι Γύναι, τί κλαίεις;

Ἄθρει δὴ πάλιν, ὡς οὐκ ἀμισθὶ τὸ ἐπὶ Χριστῷ καταχεῖται δάκρυον, ἀλλ' οὐδὲ τῆς εἰς αὐτὸν ἀγάπης μακρὰν ὁ καρπὸς, γείτων δὲ ὥσπερ καὶ παρεζευγμένη τοῖς πόνοις ἕψεται χάρις καὶ πλουσία πάντως ἀντίδοσις. ἰδοὺ γὰρ ἰδοὺ προσεδρευ-
1081 A. a *ούσῃ τῇ Μαριὰμ, καὶ πόθῳ μὲν φιλοθέῳ τηκούσῃ τὸ σπλάγχνον, γνήσιον δὲ τῷ Δεσπότῃ τηρούσῃ τὸ φρόνημα, διὰ φωνῆς ἁγίων ἀγγέλων τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν γνῶσιν ὁ Σωτὴρ ἐχαρίζετο. ἐθεᾶτο γὰρ ἀγγέλους ἐν ἐσθήμασι λαμπροῖς, τῆς ἀγγελικῆς καθαρότητος τὸ εἰλικρινέστατον κάλλος τῆς τῶν ἱματίων σημαινούσης περιστολῆς, οἳ καὶ τοῦ θρηνεῖν ἀποπαύοντες λέγουσι Γύναι τί κλαίεις; οὐ γὰρ δήπου τὴν αἰτίαν τῆς τῶν δακρύων καταβολῆς ἀξιοῦσι*
b *μαθεῖν· ᾔδεσαν γὰρ καὶ εἰ μὴ λέγοι τυχὸν ἡ γυνὴ, καὶ αὐτὸς δὲ ὁ τοῦ πράγματος σκοπὸς οὐ μετρίαν ἐξ ἑαυτοῦ εἶχε τὴν δήλωσιν· παραινοῦσι δὲ μᾶλλον περιστεῖλαι τὸ δάκρυον, ὡς οὐκ ἐν καιρῷ τῷ πρέποντι, καὶ ἐφ' οἷς ἥκιστα χρῆν ἑλομένῃ τὸν θρῆνον· λελυμένου γὰρ τοῦ θανάτου καὶ ἀτονησάσης ἤδη τῆς φθορᾶς, ἐγηγερμένου δὲ διὰ τοῦτο τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ καινοτομήσαντος τοῖς νεκροῖς τῆς εἰς ἀφθαρσίαν καὶ ζωὴν ἀναδρομὴν, τοῦ δὴ χάριν καιροῦ μὲν, ὦ γύναι,*
c *τοῦ πρέποντος ἀποσφάλλῃ, φασὶν, ἀλύεις δὲ δὴ, καὶ σφόδρα πικρῶς, τῆς τῶν πραγμάτων ἐκβάσεως καλούσης εἰς τὸ ἐναντίον; χαίρειν γὰρ ὄντως καὶ διευθυμεῖσθαι μᾶλλον ἐχρῆν. τί τοιγαροῦν κλαίεις, ἀδικοῦσα τρόπον τινὰ τὸ τῇ πανηγύρει χρεωστούμενον σχῆμα;*

Φαίνονται δὲ καθεζόμενοι πρός τε τῇ κεφαλῇ καὶ τοῖς ποσὶν ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ, μόνον οὐχὶ καὶ διὰ

4. *αὐτῷ* E. 18. *τοῦ πράγματος ὁ* inverso ordine E. 20. *ἐχρῆν* I. a.
22. *τε* pro *δὲ* I. a.

τούτου τῇ γυναικὶ σημαίνοντες οἰομένῃ μετατεθεῖσθαι τὸν Κύριον, ὡς οὐκ ἂν ἠδίκησέ τις τὸ ἅγιον σῶμα, προσεδρευόν- d
των ἀγγέλων καὶ δυνάμεων ἁγίων κύκλῳ τὸν θεῖον ναὸν περιεχουσῶν· ᾔδεσαν γὰρ τὸν ἴδιον δεσπότην. ζητήσαι δ' ἄν τις, καὶ μάλα εἰκότως, διὰ ποίαν αἰτίαν τοῖς μὲν ἁγίοις μαθηταῖς οὐδὲν προσελάλησαν οἱ μακάριοι ἄγγελοι, οὐδὲ μὴν ὤφθησαν ὅλως, φαίνονται δὲ καὶ προσλαλοῦσι τῇ γυναικί. ἐροῦμεν οὖν, ὅτι σκοπὸς ἦν τῷ Σωτῆρι Χριστῷ τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν πληροφορίαν ταῖς τῶν ἀγαπώντων αὐτὸν ἐγκατασπείρειν ψυχαῖς, ἐτελεῖτο δὲ διάφορος τῆς πληροφορίας ὁ τρόπος, τῇ τῶν πληροφορουμένων ἕξει e
προσεοικώς τε καὶ πρέπων. τοῖς μὲν οὖν ἁγίοις μαθηταῖς αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις τῇ παρὰ ταῖς θείαις γραφαῖς ἐλπίδι συμβαίνουσα πρὸς πληροφορίαν ἐξήρκεσε, καὶ πίστιν ἐνετίθει τὴν οὐδαμόθεν ἀμφίβολον. πεπιστευκότες γὰρ ἀνεχώρουν ταῖς ἁγίαις γραφαῖς, καὶ ἦν πως ἔτι περιττὸν τοῖς οὕτω βεβαίαν ἔχουσι τὴν πίστιν καὶ τὸ διὰ τῆς τῶν ἁγίων ἀγγέλων ἐκδιδάσκεσθαι φωνῆς· ἀναγκαιότατον δὲ τὸ χρῆμα τῇ γυναικὶ, τὴν ἱεράν τε καὶ θείαν οὐκ ἐπισταμένῃ γραφὴν, οὔτε μὴν καθ' ἕτερόν τινα τρόπον τὸ βαθὺ τῆς ἀναστάσεως εἰδυίᾳ μυστήριον.

a 1082 A.

Λέγει αὐτοῖς Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν 14
Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι.

Βραδεῖα μέν πως εἰς σύνεσιν ἡ γυνὴ, μᾶλλον δὲ σύμπαν τὸ θηλειῶν γένος. μανθάνει γὰρ οὔπω τὸ ἐκ τῆς ὀπτασίας ὑποδηλούμενον, ἀπαγγέλλει δ' οὖν ὅμως τοῦ θρήνου τὴν b
πρόφασιν. ἐπειδὴ δὲ Κύριον ὀνομάζουσα τὸν Χριστὸν οὐ κατέληξεν, ἐδείκνυε δὲ καὶ διὰ τούτου τὴν εἰς αὐτὸν ἀγάπησιν, εὐλόγως ἤδη καὶ αὐτῆς τῆς τῶν ποθουμένων ἀπολαύει θέας. ὁρᾷ γὰρ τὸν Ἰησοῦν, εἰ καὶ οὔπω παρόντα νοεῖ, καὶ διὰ

14. ἐξήρκουσε (sic) E. 27. ἀπαγγέλει E.

ποίαν αἰτίαν; ἢ γὰρ ἔτι δυνάμει θεοπρεπεῖ κατακρύπτοντος ἑαυτὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ οὐ λίαν ἕτοιμον εἰς ἐπίγνωσιν τοῖς τῶν θεωμένων παρέχοντος ὀφθαλμοῖς, ὑπομένει τὴν ἄγνοιαν· ἢ ἐπείπερ ὄρθρος ἦν ἔτι βαθὺς, τὴν τοῦ c φαινομένου διάκρισιν οὐκ εἶχεν εὐκόλως ἑλεῖν, οὐκ ἐφιείσης τρόπον τινὰ τοῦτο δρᾶν τῆς νυκτὸς, παραδεικνυούσης δὲ μόλις τοῦ πλησίον ἰόντος τὸ σχῆμα. τοιγάρτοι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων διαμέμνηταί πως τῶν ἐν τῇδε τῇ νυκτὶ περιπάτων, καὶ ἰκμάδων τῶν ἐκ δρόσου τῆς ἑωθινῆς, οὕτω λέγων "Ὅτι ἡ "κεφαλή μου ἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί μου ψεκά-"δων νυκτός." (Cant. v. 2.)

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη d δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ ἀρῶ αὐτόν.

Σκοτίας μὲν οὔσης ἔτι καὶ λελυμένης οὔπω παντελῶς τῆς νυκτὸς, θεωρεῖ τὸν Ἰησοῦν ἐγγὺς γεγονότα μόλις, καὶ τίς μέν ἐστιν ἀγνοεῖ, τὴν τοῦ σώματος εἰκόνα καὶ τοῦ προσώπου τὸν χαρακτῆρα διακρίνειν οὐκ ἔχουσα· κατακροᾶται δὲ λέγοντος τό Γύναι τί κλαίεις; καὶ πρᾶος μὲν ἀληθῶς τοῦ Σωτῆρος ὁ λόγος, ἐντεκεῖν δ' οὖν ὅμως εἰς ὑποψίαν e ἱκανὸς, ὅτι πρέποι μάλιστά τινι τῶν τοῦ κήπου προεστηκότων· διακεῖσθαι δὲ πάλιν ἀκόλουθον οὐχὶ πάντως ἐρωτῶντα τοῦ κλαίειν τὰς ἀφορμὰς τὰ τοιαῦτα φάναι τὸν Κύριον, ἀλλ' οὐδὲ μαθεῖν ἐθέλοντα τὸν παρ' αὐτοῦ ζητούμενον, ἀφιστάντα δὲ μᾶλλον τοῦ κατοιμώζειν αὐτὴν, καθάπερ ἀμέλει καὶ ἡ τῶν μακαρίων ἀγγέλων δυὰς, αὐτὸς γὰρ ἦν καὶ ἐν ἐκείνοις λαλῶν. τί τοίνυν κλαίεις, ὦ γύναι φησί· τίνα ζητεῖς; τουτέστι, περίστειλόν σου τὸ δάκρυον, ἔχουσα τὸν ζητούμενον. ἐγώ σοι, φησὶν, ἡ τοῦ θρήνου πρόφασις,

13. τί] τίνα E. 14. κηπωρός E. 15. ἀρῶ αὐτόν hoc ordine E.
16. ἔτι om. E. 22. πρέπει (οι) E. 25. τὸν] legendumne τὸ? αὐτῆς E.

ὡς τεθνεὼς δηλονότι καὶ ἀνήκεστα παθὼν, καὶ πρὸς τούτοις a 1083 A. ἔτι τῶν μνημάτων ἐκκεκομισμένος. ἐπειδὴ δὲ ζῶ καὶ πάρειμι, παρεῖσα τοὺς γόους μεταχώρει πρὸς εὐθυμίαν. οὐκοῦν τὸ θρηνεῖν περιστέλλοντος ἡ ἐρώτησις. ἔδει γὰρ ἔδει καὶ τούτου τοῦ μέρους ἐπανορθωτὴν γενέσθαι τὸν Κύριον. διὰ μὲν γὰρ τὴν ἐν Ἀδὰμ παράβασιν πρὸς ὅλην εἴρητο τοῦ ἀνθρώπου τὴν φύσιν, ὡς ἐν ἀπαρχῇ τοῦ γένους τῷ πρώτῳ, τό "Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ," πρὸς δέ γε τὴν γυναῖκα Gen. iii. 19. καὶ ἰδικῶς, τό "Ἐν λύπαις τέξῃ τέκνα." οὐκοῦν τὸ πλου- b Ib. 16. τεῖν ἐν λύπαις ὡς ἐν τάξει ποινῆς ἐπεκρεμᾶτο τῇ γυναικί. ἦν οὖν ἀναγκαῖον διὰ τῆς τοῦ καταδικάσαντος φωνῆς, τὸ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς ἀναλύεσθαι βάρος, ἀφαιροῦντος ἤδη τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ τῆς θηλείας τὸ δάκρυον, μᾶλλον δὲ παντὸς τοῦ θηλειῶν γένους, ὡς ἐν ἀπαρχῇ τῇ Μαριάμ. πρώτη γὰρ αὕτη γυναικῶν, τῷ τοῦ Σωτῆρος ἐπιστυγνάσασα πάθει, καὶ λύπην λαβοῦσα τὴν ἐπ' αὐτῷ, τῆς c τοῦ κλαίειν ἀνακοπτούσης ἠξιώθη φωνῆς, διικνουμένης δηλονότι τῆς τοῦ λόγου δυνάμεως καὶ εἰς ἅπαν τὸ θηλειῶν γένος, εἴπερ ἐπαλγύνοιτο τοῖς κατὰ Χριστοῦ τολμήμασι τὴν εἰς αὐτὸν τιμήσασα πίστιν, καὶ μονονουχὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο λέγουσα "Οὐχὶ τοὺς μισοῦντάς σε Κύριε ἐμίσησα, καὶ ἐπὶ Ps. cxxxviii. 21, 22. "τοῖς ἐχθροῖς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν "αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι."

Ἀλλ' ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θρηνεῖν d ἀπαλλάττων αὐτὴν τὰ τοιαῦτά φησιν, ἡ δὲ τῶν γηπόνων ἕνα νομίζουσα τὸν λαλοῦντα ὑπάρχειν, μετακομίσειν εὖ μάλα προθύμως τοῦ Σωτῆρος τὸ λείψανον ἐφ' ἑτέρους ὑπισχνεῖτο τόπους, εἰ παραδειχθείη μόνον, ὅπου περ αὐτὸν μετατέθεικεν. οὔπω γὰρ συνεῖσα τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, ταῖς εἰς τοῦτο καλούσαις ὑποψίαις ἐβάλλετο. δυσμαθέστεραι γάρ

2. μνημάτων E. μνημείων Ed. τοῦ μνημείου a. Statim ἐκκεκοσμιμένος E. 5. ἐπορθωτὴν a. 10. ἐπεκρεμμᾶτο E. 12. ἀναιροῦντος a. 18. εἰς assumptum ex E. 20. τιμήσασα E prius script. F. Ed. τιμήσασαι E ex corr. Ed. mg. 21. ἴσ. λέγουσαι Ed. mg. λέγουσα habet F.

πως αἱ γυναικῶν εἰσι φρένες, καὶ ἀμελετήτως ἔχουσι πρὸς τὸ δύνασθαι ῥᾳδίως καὶ τοῖς οὐ σφόδρα δυσκόλοις προσ- e *βαλεῖν, καὶ πολλῷ γε πλεῖον τοῖς ὑπὲρ λόγον θαύμασιν.*

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς Μαρία. στραφεῖσα δὲ ἐκείνη λέγει αὐτῷ ἑβραϊστί Ῥαββουνὶ, ὃ λέγεται διδάσκαλε, καὶ προσέδραμεν ἅψασθαι αὐτοῦ.

Καλεῖ πρὸς ἐπίγνωσιν τὴν ἐμφανεστέραν ἤδη τοῦ γυναίου τὸν νοῦν, ἑαυτὸν δὲ παραθεὶς ἀδιακωλύτως εἰς θέαν, ἅτε δὴ καὶ ἀγαπώσῃ γοργότερον, μονονουχὶ καὶ καταιτιᾶται λοιπὸν οὐ μετρίως μελλήσασαν εἰς τὸ δύνασθαι νοεῖν, ὅτιπερ αὐτὸς εἴη ὁ Χριστός· ὑπεμφαίνει γάρ τι τοιοῦτον καλέσας ὀνο- 1084 A. a *μαστί· ἡ δὲ συνίησί τε παραχρῆμα, καὶ τῶν ἐν ἀρχαῖς ὑποψιῶν δι᾽ αὐτῆς ἤδη τῆς θέας ἀποπηδήσασα, τὴν αὐτῷ συνήθη προσάγει τιμὴν Ῥαββουνὶ λέγουσα, τουτέστι Διδάσκαλε, θυμηδίας δὲ τῆς ἀνωτάτω τὸν οἰκεῖον ἐμπλήσασα νοῦν προσέθει θερμῶς ἁψομένη τε τοῦ ἁγίου σώματος, καὶ τὴν εὐλογίαν κερδανοῦσα τὴν παρ᾽ αὐτοῦ.*

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου.

b *Οὐκ εὐκάτοπτος τοῖς πολλοῖς ἡ τοῦ λόγου δύναμις, κέκρυπται γὰρ ἐν αὐτῷ μυστήριον· βασανιστέον δ᾽ οὖν ὅμως διὰ τὸ χρήσιμον. χαριεῖται γὰρ ἡμῖν τῶν ἑαυτοῦ ῥημάτων τὴν γνῶσιν ὁ Κύριος. ἀπείργει μὲν γὰρ ἐπιτρέχον αὐτῷ τὸ γύναιον, καὶ τοῖς ποσὶ περιπλέκεσθαι προθυμούμενον οὐκ ἐᾷ· τὴν δέ γε τοῦ πράγματος αἰτίαν φανερὰν ἡμῖν καθιστὰς Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου φησίν. ἀλλὰ τί δὴ τοῦτο δηλοῦν οἰησόμεθα, ζητητέον. τί γὰρ εἰ μήπω*

3. *πολλῶν* E. 4. *δὲ* assumptum ex E (D א). 5. *ἑβραϊστὶ* assumptum ex E. *καὶ προσέδραμεν ἅψασθαι αὐτοῦ* habet F (א manu castig. Vers. Syr. Heracl.). 8. *παρεὶς* I. a. 10. *μελήσασαν* E.I. a. *ὅτι περ*] *ὅτι δὴ* I. a. 11. *ὁ* assumptum ex I. a. *ὀνόματι* I. 14. *ῥαβουνὶ* Aub. 16. *ἁψαμένη* E. 22. *αὐτοῦ* I. 23. *μὲν* om. E. habet ut vid. I. 26. *μου* assumptum ex E. deest ut vid. in I.

πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀναβέβηκε Πατέρα, πρόφασις δὲ c αὕτη πῶς ἂν γένοιτο διαρκὴς τοῦ μὴ χρῆναι θιγεῖν τῆς ἁγίας σαρκὸς τοὺς ἀγαπῶντας αὐτόν; ἆρα γάρ τις ἀνεγκλήτως οἰήσεται τὸν ἐκ τῆς ἐπαφῆς μολυσμὸν παραιτούμενον, ἢ καὶ ἵνα καθαρὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀνίοι Πατέρα, ταυτὶ πρὸς ἐκείνην εἰπεῖν τὸν Κύριον; εἶτα πῶς οὐκ ἀσύνετός τε ὢν κομιδῇ καὶ παράφρων ἁλώσεται; οὐ γὰρ ἂν ἡ θεία φύσις μολυνθείη ποτέ. ὅνπερ γὰρ τρόπον καὶ βορβόροις ἔσθ' ὅτε καὶ ταῖς κατὰ γῆν ἑτέραις ἀκαθαρσίαις τῆς ἡλιακῆς d ἀκτῖνος προσβάλλον τὸ φῶς οὐδὲν ὑπομένει τὸ βλάβος, μένει γὰρ τοῦθ' ὅπερ ἐστὶν, ἀκηλίδωτον δηλονότι, καὶ τῆς τῶν παραπιπτόντων δυσωδίας ἀμοιρῆσαν παντελῶς, οὕτως ἡ θεία τε καὶ πάναγνος φύσις τὸν ἐκ τοῦ μολύνεσθαι ῥύπον οὐκ ἂν ἐπιδέξαιτό ποτε. τίς οὖν ἄρα ἐστὶν ὁ τοῦ κεκωλῦσθαι λόγος προσιοῦσαν αὐτῷ τὴν Μαριὰμ, καὶ τῆς ἁγίας σαρκὸς γλιχομένην ἀποθιγεῖν; τί δ' ἂν βούλοιτο κατασημῆναι λέγων ὁ Κύριος Οὔπω γὰρ ἀναβέβηκα πρὸς e τὸν Πατέρα, διασκεπτέον ἤδη κατά γε τὸ ἡμῖν ἐφικτόν. φαμὲν τοίνυν, ὅτι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἡ πρόφασις πολλὴ μέν τις ἐστὶ καὶ διάφορος, μία δὲ αὕτη καὶ ἀναγκαιοτάτη, καὶ διὰ τῆς αὐτοῦ παραδειχθεῖσα φωνῆς "Οὐ "γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετά"νοιαν." S.Matth. ix. 13.

Πρὸ τοίνυν τοῦ σωτηρίου σταυροῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, οὔπω τῆς καθ' ἡμᾶς οἰκονομίας τὸ αὐτῇ πρέπον λαβούσης τέλος, δικαίοις τε καὶ ἀδίκοις ἐπεμίσγετο, καὶ συνή- a1085 A. σθιε μὲν τελώναις καὶ ἁμαρτωλοῖς, ἐλευθέραν δὲ καὶ τοῖς ἐθέλουσιν ἅπτεσθαι τῆς ἁγίας σαρκὸς ἐδίδου τὴν πρόσοδον, ἵνα πάντας ἁγιάσῃ καὶ καλέσῃ πρὸς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀνακομίσῃ πρὸς ἕξιν τὴν ὑγιᾶ τοὺς ἠῤῥωστηκότας, καὶ τοῖς ἐξ ἁμαρτιῶν συντετριμμένους νοσήμασι. τοιγάρτοι καὶ ἔφη πάλιν αὐτοῖς "Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, S. Luc. v. 31.

20. αὕτη] ἅτε E. 26. ἐπεμίσγετε E. 27. ἁμαρτωλαῖς E.
28. πρόσωδον E. 29. ἁγιάσῃ καὶ καλέσει E.

“ἀλλ’ οἱ κακῶς ἔχοντες.” οὐκοῦν πρὸ μὲν τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν ἀδιαφόρως ἐπεμίσγετο δικαίοις τε καὶ ἁμαρτωλοῖς· ἀπεσόβει δὲ παντελῶς οὐδένα τῶν προσιόντων αὐτῷ. καὶ γοῦν b εἰς τὸν οἶκον τοῦ Φαρισαίου κατακεκλιμένῳ ποτὲ, γυνὴ παρειστήκει κλαίουσα, (S. Luc. vii. 37.) “ἥτις ἦν ἐν τῇ πόλει ἁμαρτωλὸς,” καθὰ γέγραπται, καὶ τὴν ἀειφιλόκοσμον ἀπολύσασα τρίχα, καὶ μόλις ἀνεῖσα τῶν ἀρχαίων κακῶν περιέματτε τοὺς πόδας, καὶ διακωλύσας οὐ φαίνεται· ἀλλὰ καὶ ὅτε τοῦ ἀρχισυναγώγου τὸ κόριον ἐγερῶν ἀπῄει, πάλιν προσελθοῦσα (Ib. viii. 43, 44.) “γυνὴ ἐν ῥύσει “αἵματος οὖσα ἥψατο τοῦ κρασπέδου αὐτοῦ,” καὶ χαλεπαίνοντα μὲν οὐδαμῶς εὑρήσομεν, λόγου δὲ μᾶλλον αὐτὴν ἀξιώσαντα χρηστοῦ· (Ib. 48.) “Θύγατερ γὰρ, ἔφη, ἡ πίστις σου σέσωκέ σε, c “πορεύου εἰς εἰρήνην.” ἀλλὰ τότε μὲν οἰκονομικῶς, καὶ τοῖς ἀκαθάρτοις ἔτι καὶ μεμολυσμένον ἔχουσι καὶ σῶμα καὶ νοῦν, ἀδιακωλύτως ἐξῆν καὶ αὐτῆς τῆς ἁγίας ἅπτεσθαι σαρκὸς τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ ἁπάσης εὐλογίας ἀπολαύειν τῆς παρ’ αὐτοῦ· ἐπειδὴ δὲ τὴν καθ’ ἡμᾶς πληρώσας οἰκονομίαν, καὶ αὐτὸν ὑπέμεινε τὸν σταυρὸν καὶ τὸν ἐπὶ σταυρῷ θάνατον, ἀνεβίω τε πάλιν, καὶ θανάτου κρείττονα τὴν οἰκείαν φύσιν ἀποδεικνὺς, ἀποκωλύει λοιπὸν, καὶ οὐχ ἑτοίμως ἔτι χαρίζεται τοῖς προσιοῦσιν αὐτῷ τὸ καὶ αὐτῆς τῆς ἁγίας ἅπτεσθαι σαρκὸς, τύπον ταῖς ἁγίαις ἐκκλησίαις καὶ τῷ καθ’ d ἑαυτὸν μυστηρίῳ τὸ πρᾶγμα τιθεὶς, ὃν καὶ αὐτὸς ἡμῖν ὁ διὰ τοῦ πανσόφου Μωυσέως ἐδήλου νόμος, ὅτε καὶ εἰς εἰκόνα Χριστοῦ διετύπου σφάζεσθαι τὸν ἀμνόν· (Exod. xii. 48.) “πᾶς γάρ φησιν “ἀπερίτμητος οὐκ ἔδεται ἀπ’ αὐτοῦ,” ἀπερίτμητον λέγων τὸν ἀκάθαρτον. ἀκάθαρτος δὲ κατά γε τὴν οἰκείαν φύσιν ἡ ἀνθρωπότης νοοῖτ’ ἂν εἰκότως. τί γὰρ ἡ ἀνθρώπου φύσις ὡς πρὸς τὴν ἐνοῦσαν τῷ Θεῷ καθαρότητα; δεῖ τοιγαροῦν οὐκ ἀπεριτμήτους ἔτι, τουτέστιν, ἀκαθάρτους τυγχάνοντας

18. ἐπὶ] + τῷ I. 21. ἁγίας] + αὐτοῦ a. 22. τοῦ καθ’ αὐτὸν μυστηρίου I. a. 23. αὐτὸς ἡμῖν assumptum ex E. 24. μωυσέως I. μωυσέος E. 28. νοοῖτ’ E. I. a. νοοῖτο Ed. 30. ἔτι post ἀκαθάρτους transponunt I. a.

τοῦ ἁγίου σώματος ἅπτεσθαι, καθαροὺς δὲ μᾶλλον ἀποδεδειγμένους, διὰ τῆς ἐν πνεύματι νοουμένης περιτομῆς· "περιτομὴ γὰρ καρδίας ἐν πνεύματι," κατὰ τὴν τοῦ Παύλου Rom. ii. 29. φωνήν. ἀλλ' οὐκ ἂν ἐν ἡμῖν ἡ ἐν πνεύματι γένοιτο περιτομὴ, μὴ ἐνοικισθέντος ἐν ἡμῖν τοῦ Ἁγίου Πνεύματος, διά τε τῆς a 1086A. πίστεως καὶ τοῦ ἁγίου βαπτίσματος· πῶς οὖν οὐκ ἔδει τὴν Μαριὰμ ἐξείργεσθαι τέως τῆς τοῦ σώματος ἐπαφῆς, τοῦ ἁγίου δὲ δηλονότι, λαβοῦσαν οὔπω τὸ Πνεῦμα; εἰ γὰρ καὶ ἐγήγερτο Χριστὸς ἐκ νεκρῶν, ἀλλ' οὔπω τὸ Πνεῦμα δέδοτο τῇ ἀνθρωπότητι παρὰ Πατρὸς δι' αὐτοῦ. ἀνελθὼν γὰρ πρὸς τὸν Θεὸν καὶ Πατέρα, κατέπεμψεν ἡμῖν αὐτὸ, διὸ καὶ ἔλεγε "Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Supra xvi. 7. "παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς· ἐὰν δὲ ἀπέλθω, "πέμψω αὐτὸν πρὸς ὑμᾶς." οὔπω τοιγαροῦν καταπεμφθέν- b τος ἡμῖν τοῦ Ἁγίου Πνεύματος, οὔπω γὰρ ἀναβεβήκει πρὸς τὸν Πατέρα, ὡς οὔπω τὸ Πνεῦμα λαβοῦσαν ἀπείργει τὴν Μαριὰμ, λέγων Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα, τουτέστιν, οὔπω τὸ Ἅγιον Πνεῦμα κατέπεμψα πρὸς ὑμᾶς. ἐντεῦθεν ταῖς ἐκκλησίαις ὁ τύπος. τοιγάρτοι καὶ τῆς ἱερᾶς τραπέζης ἐξείργομεν καὶ τοὺς ἐγνωκότας μὲν αὐτοῦ τὴν θεότητα καὶ ὁμολογήσαντας ἤδη τὴν πίστιν, τουτέστι, τοὺς ἔτι κατηχουμένους, μὴ μὴν καὶ τὸ Ἅγιον c Πνεῦμα πλουτήσαντας. τοῖς γὰρ οὔπω βεβαπτισμένοις οὐκ ἐνοικεῖ. ἐπὰν δὲ τοῦ Ἁγίου Πνεύματος ἀποδειχθεῖεν μέτοχοι, τότε καὶ ἅπτεσθαι τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ τὸ κωλῦον οὐδέν. τοιγάρτοι καὶ τοῖς μετασχεῖν ἐθέλουσιν εὐλογίας τῆς μυστικῆς, οἱ τῶν θείων μυστηρίων προσφωνοῦσι λειτουργοί ΤΑ ἉΓΙΑ ΤΟΙΣ ἉΓΙΟΙΣ, πρεπωδεστάτην εἶναι διδάσκοντες τῶν ἁγίων τὴν μέθεξιν τοῖς ἡγιασμένοις ἐν Πνεύματι.

d

5. ἐν assumptum ex I. 6—30 citat p. 8. δὲ expungi voluit Migne, forte tamen praeter necessitatem. 22. τοὺς ἔτι] οὐκέτι τοὺς ἔτι I.

ΚΕΦΑΛΗ Α.

Ὅτι κατὰ φύσιν Θεός ἐστιν ὁ Υἱὸς, κἂν εὑρίσκηται δι' ἡμᾶς Θεὸν ἑαυτοῦ τὸν Πατέρα καλῶν.

Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.

e ΔΙ' *αἰτίας μὲν ἃς ἤδη προείπαμεν, οὐκ ἐφίησι θιγεῖν τῆς ἑαυτοῦ σαρκὸς καίτοι σφόδρα διψήσασαν τούτου τυχεῖν ἐκ φιλοθεΐας τὴν Μαριάμ· ἀμείβεται δὲ τῆς προσεδρείας αὐτὴν, καὶ τῆς οὕτως ἐντόνου πίστεως καὶ ἀγάπης διπλοῦν ἀπένειμε τὸν μισθὸν, οὐκ ἄκαρπον τοῖς ἐπιτηδεύουσιν ἀποδεικνὺς τὴν εἰς ἑαυτὸν εὐσέβειαν. καὶ τό γε τούτων ἔτι λαμπρότερον, ἐν αὐτῇ γὰρ καὶ πρώτῃ, φημὶ δὴ τῇ Μαριὰμ, σύμπαν ὡς εἰπεῖν τὸ θηλειῶν γένος διττῇ στεφανοῦται τιμῇ, καὶ τῶν ἀρχαίων*
1087 A. a *ἀῤῥωστημάτων ἐκομίζετο τὴν διάλυσιν. πρώτη γὰρ οὕτω θρηνήσασα, καὶ τῶν δακρύων τὴν πρόφασιν λαβοῦσα Χριστὸν, μεθίστη τὸ πένθος εἰς θυμηδίαν, μὴ χρῆναι κλαίειν ἀκούσασα παρὰ τοῦ καὶ πάλαι καταδικάσαντος καὶ ταῖς τῆς λύπης ἐφόδοις εὐκαταγώνιστον ἀποφήναντος. εἴρητο*
Gen. iii. 16. *γάρ που πρὸς τὴν γυναῖκα παρὰ Θεοῦ "Ἐν λύπαις τέξῃ "τέκνα." ἀλλ' ὥσπερ αὐτὴν ὑπετίθει ταῖς λύπαις κατὰ τὸν παράδεισόν ποτε, ταῖς τοῦ ὄφεως διακονησαμένην φωναῖς, καὶ ταῖς τοῦ διαβόλου κακουργίαις ὑπηρετήσασαν, οὕτω δὴ*
b *πάλιν ἐν κήπῳ κελεύει μηκέτι κλαίειν αὐτήν. ἀπολύων δὲ*

1–3 om. E. in mg. tamen *α′* exhibens. 7. *προείπομεν* E. 24. *δὲ*] + *ὥσπερ* haud male a.

καὶ αὐτῆς τῆς ἀρᾶς ἐφ' ᾗ λυπεῖσθαι προστέτακτο, τῶν μεγάλων ἀγαθῶν κελεύει γενέσθαι πρωτάγγελον, καὶ τὴν πρὸς τὸ ἄνω βάδισιν εὐαγγελίζεσθαι τοῖς μαθηταῖς· ἵν' ὥσπερ ἡ πρώτη καὶ πασῶν ἀρχαιοτάτη γυνὴ ταῖς τοῦ διαβόλου φωναῖς ὑπουργήσασα κατεκρίθη, καὶ δι' ἐκείνης σύμπαν τὸ θηλειῶν γένος, οὕτω καὶ αὐτὴ τοῖς τοῦ Σωτῆρος ἡμῶν ὑπηρετήσασα λόγοις, καὶ τὰ εἰς ζωὴν ἀναφέροντα τὴν αἰώνιον ἀπαγγείλασα, σύμπαν τῆς αἰτίας τὸ θηλειῶν ἀπαλ- c λάξῃ γένος. χαρίζεται τοίνυν τῇ Μαριὰμ πρὸς τὸ μηκέτι κλαίειν μηδὲ εἰς λύπας εὔκολον τὴν καρδίαν ἔχειν ὁ Κύριος, καὶ τὸ ὡραίους κεκτῆσθαι τοὺς πόδας. κατὰ γὰρ τὴν τοῦ προφήτου φωνήν "Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων Rom. x. 15 ex "τὰ ἀγαθά·" καίτοι τῆς πρώτης ἐκείνης οὐχ ὡραίους ἐχού- Es. lii. 7. σης τοὺς πόδας, οὐ γάρ τι τῶν ἀγαθῶν εὐηγγελίζετο, τὰ πρὸς παράβασιν τῆς θείας ἐντολῆς τῷ προπάτορι συμβουλεύσασα. ὅτι δὲ ἀξιάγαστος ἡ Μαριὰμ, κἀντεῦθεν συνήσεις· μνήμης γὰρ ἠξιώθη προφητικῆς. τί γὰρ ἔφη περὶ d αὐτῆς καὶ τῶν σὺν αὐτῇ γυναικῶν, αἳ τὴν τοῦ Σωτῆρος ἀνάστασιν τοῖς ἁγίοις εὐηγγελίζοντο μαθηταῖς; "Γυναῖκες Es. xxvii. 11. "ἐρχόμεναι ἀπὸ θέας δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων "σύνεσιν." τὰς μὲν γὰρ φιλοχρίστους ἀληθῶς ταυτασὶ γυναῖκας, μονονουχὶ καὶ ὀξυτέρῳ φέρεσθαι δρόμῳ τὸ θεῖον ἐν τούτοις διακελεύεται λόγιον, ἵν' ὧν γεγόνασι θεωροὶ, ταῦτα καὶ ἀπαγγείλειαν· καταδικάζει δὲ τῆς Ἰουδαίων ἀσυνεσίας, ἅτε δὴ καὶ αὐτὸν τὸν περὶ τῆς ἀναστάσεως τοῦ e Σωτῆρος ἡμῶν Χριστοῦ διαγελώντων λόγον.

Εἰ δὲ καὶ ἑτέρων οὐσῶν γυναικῶν· δοκεῖ γὰρ καὶ τοῦτο τοῖς ἑτέροις εὐαγγελισταῖς· ὁ σοφὸς Ἰωάννης μόνης ἐποιήσατο μνήμην τῆς Μαριὰμ, οὐκ ἀλλήλοις ἐναντίους εὑρήσομεν τῶν ἁγίων τοὺς λόγους. εἰκὸς γὰρ ὅτι μόνης ἐπεμνήσθη τῆς Μαριὰμ τῆς Μαγδαληνῆς Ἰωάννης, ἅτε δὴ καὶ θερμότερον ἐχούσης τὸ κίνημα πρὸς ἀγάπην τὴν εἰς Χρι-

3. τῷ μαθητῇ E. 9. τὸ] τῷ E. 31. μαγδαλινῆς E.

στὸν, καὶ προπηδώσης τῶν ἄλλων, εἴς γε τὸ ἰδεῖν τὸ
1088 A. a μνημεῖον καὶ τὸ ἐν τῷ κήπῳ γενέσθαι, καὶ πάντα τόπον
περινοστεῖν τῷ μνημείῳ γείτονα πρὸς τὴν τοῦ σώματος
ζήτησιν. ᾤετο γὰρ ἀληθῶς μετατεθεῖσθαι τὸν Κύριον.
ἐπιγράφεται δέ πως ἀεὶ τοῖς ἡγουμένοις μάλιστα καὶ βου-
λῆς καὶ πράγματος τὰ τῶν ἐκβάσεων τέλη, κἂν ἕτεροί τινες
εἶεν οἱ συσκεπτόμενοι καὶ συμπράττοντες.

Οὐκοῦν εἰς τιμὴν καὶ δόξαν καὶ εἰς καύχημα διηνεκὲς
ἐχαρίζετο τῇ Μαριὰμ ὁ Σωτὴρ τὸ εὐαγγελίσασθαι τοῖς
ἀδελφοῖς ὅτι *ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα*
b *ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν*· σὺ δέ μοι πάλιν τὸ
βαθὺ δὴ τοῦτο καὶ μέγα δέχου μυστήριον, τῆς τῶν θείων
δογμάτων ὀρθότητος τὸν κανόνα διαπηδᾶν τὴν ἑαυτοῦ καρ-
δίαν οὐκ ἐφιείς. ἀκούεις ὅπως γέγονε καθ' ἡμᾶς ὁ Μονο-
γενὴς τοῦ Θεοῦ Λόγος, ἵνα καὶ ἡμεῖς κατ' αὐτὸν, κατά γε τὸ
ἐφικτὸν τῇ φύσει καὶ ὅσον ἧκεν εἰπεῖν εἰς τὸν διὰ τῆς
χάριτος ἀνακαινισμόν; τεταπείνωκε γὰρ ἑαυτὸν, ἵνα πρὸς
τὸ ἴδιον ὕψος ἀναγάγῃ τὸ ταπεινὸν κατὰ φύσιν, καὶ τὴν
c τοῦ δούλου μορφὴν πεφόρεκε, καίτοι κατὰ φύσιν Κύριός τε
ὑπάρχων καὶ Υἱὸς, ἵνα τὸ τῇ φύσει δοῦλον εἰς τὴν τῆς
υἱοθεσίας μετακομίσῃ δόξαν, καθ' ὁμοιότητα τὴν ἑαυτοῦ
καὶ ὡς πρὸς αὐτόν. ὡς οὖν καθ' ἡμᾶς γεγονὼς, τουτέστιν
ἄνθρωπος, ἵνα καὶ ἡμεῖς κατ' αὐτὸν, φημὶ δὴ θεοὶ καὶ υἱοὶ,
δέχεται μὲν εἰς ἑαυτὸν τὰ ἡμῶν ἰδικῶς, ἀντιδίδωσι δὲ ἡμῖν
τὰ ἑαυτοῦ, πῶς ἢ τίνα τρόπον, ἐρέσθαι δὴ πάντως θελήσεις
εὐλόγως. οὐκοῦν ἐρῶ κατὰ δύναμιν. πρῶτον μὲν γὰρ ἐν
οἰκετῶν ὄντας τάξει τε καὶ φύσει· δοῦλα γὰρ τοῦ ποιητοῦ
d τὰ ποιήματα· καλεῖ μὲν ἰδίους ἀδελφοὺς, Πατέρα δὲ κοινὸν
ἑαυτοῦ τε καὶ ἡμῶν ὀνομάζει τὸν Θεὸν, οἰκειούμενος δὲ διὰ
τὴν πρὸς ἡμᾶς ὁμοίωσιν τὰ ἀνθρώπινα, Θεὸν ἑαυτοῦ τὸν
ἡμῶν ἐκάλεσε Θεὸν, καίπερ ὢν Υἱὸς κατὰ φύσιν, ἵν' ὥσπερ

3. τὴν] + ἄλλων—γενέσθαι (e supra), τοῦ σώματος ζήτησιν ᾤετο γὰρ ἀληθῶς μετα- omittens E. 23. αὐτὸν] γενώμεθα inter uncos addit Migne. δὴ om. E.

ἡμεῖς εἰς τὸ ὑπὲρ φύσιν ἀξίωμα διὰ τῆς πρὸς αὐτὸν ὁμοιώσεως ἀναβαίνομεν· οὐ γὰρ ὄντες υἱοὶ κατὰ φύσιν υἱοὶ κεκλήμεθα Θεοῦ, κράζει γὰρ ἐν ἡμῖν διὰ τοῦ ἰδίου Πνεύματος "Ἀββᾶ ὁ πατήρ·" οὕτω καὶ αὐτὸς ἐπείπερ τὴν Rom. viii. 15. ἡμετέραν ἐδέξατο μόρφωσιν, γέγονε γὰρ ἄνθρωπος κατὰ τὰς γραφὰς, Θεὸν ἔχῃ τὸν Θεὸν, καίτοι Θεὸς ὑπάρχων ἐκ e Θεοῦ κατὰ φύσιν καὶ ἀληθινός. μὴ τοίνυν σκανδαλισθῇς, κἂν ἀκούσῃς ὅτι Θεὸν ἑαυτοῦ τὸν Θεὸν ἀποκαλεῖ, περιάθρει δὲ μᾶλλον ὡς φιλομαθὴς, καὶ περισκέπτου φρονίμως τοῦ λόγου τὴν ἀκρίβειαν. ἑαυτοῦ μὲν γὰρ Πατέρα φησὶν εἶναι τὸν Θεὸν, καὶ ἡμῶν δὲ Θεὸν, πρᾶγμα λέγων καθ' ἑκάτερον ἀληθές. φύσει μὲν γὰρ καὶ ἀληθείᾳ Πατήρ ἐστι τοῦ Χριστοῦ ὁ τῶν ὅλων Θεὸς, ἡμῶν δὲ οὐκέτι κατὰ φύσιν Πατὴρ, Θεὸς δὲ μᾶλλον, ὡς ποιητὴς καὶ Κύριος· ἀλλ' ἑαυτὸν ἡμῖν οἱονεί πως ἀνακιρνὰς ὁ Υἱὸς, τὸ μὲν ἑαυτῷ a **1089 A.** κυρίως τε καὶ ἰδικῶς ὑπάρχον ἀξίωμα τῇ ἡμετέρᾳ χαρίζεται φύσει, Πατέρα κοινὸν ὀνομάζων τὸν ἑαυτοῦ γεννήτορα· τὸ δὲ τῇ ἡμετέρᾳ φύσει προσπεφυκὸς δέχεται πάλιν εἰς ἑαυτὸν, διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. Θεὸν γὰρ ἑαυτοῦ τὸν ἴδιον ὀνομάζει Πατέρα, οὐ θελήσας ἀτιμάσαι τὴν πρὸς ἡμᾶς ὁμοίωσιν διὰ τὴν ἐνοῦσαν αὐτῷ φιλανθρωπίαν τε καὶ ἡμερότητα. ἂν τοίνυν ἐξ ἀμαθίας ἐγκαλεῖν ἐθελήσῃς τῇ τοιαύτῃ φωνῇ, καὶ ἀφόρητόν πως εἶναί σοι δοκῇ τὸ φάναι τὸν Κύριον Θεὸν ἑαυτοῦ τὸν Πατέρα καὶ Θεὸν, αἰτιάσῃ παραφρόνως τὴν διὰ σὲ γενομένην οἰκονομίαν, καὶ δέον εὐχαρι- b στεῖν, ἀτιμάσεις τὸν εὐεργέτην, καὶ τῆς ἀγαπήσεως τῆς εἰς ἡμᾶς γενομένης τὸν τρόπον ἀσυνέτως διαβαλεῖς. εἰ γὰρ τεταπείνωκεν ἑαυτὸν αἰσχύνης καταφρονήσας καὶ διὰ σὲ Heb. xii. 2. γενόμενος ἄνθρωπος, τῆς σῆς, ὦ οὗτος, ἐστὶ τὸ ἔγκλημα ταπεινότητος· τῷ δὲ καὶ τοῦτο παθεῖν ἑλομένῳ διὰ σὲ, μέγα τε καὶ ἐξαίσιον ὀφείλεται θαῦμα. καταπλήττομαι δὲ,

1–3. διὰ—Θεοῦ om. E. 11. ἕτερον E. 15. ἀνακιρνὰς E. ἀνακρίνας Ed. 16. ὑπάρχον F. Ed. mg. ὑπάρχων Ed. 26. ἀτιμάσῃς E.

ὅτι κένωσιν ὅλως ἀκούων· κεκένωκε γὰρ ἑαυτὸν δι᾽ ἡμᾶς· c οὐ λογίζῃ τὴν πλήρωσιν, καὶ ταπείνωσιν βλέπων τὸ ὕψος οὐκ ἐννοεῖς. κεκένωται γὰρ πῶς, εἰ μὴ τέλειον ἐννοεῖς ὑπάρχειν, ὡς Θεόν; τεταπείνωται δὲ κατὰ τίνα τρόπον, εἰ μὴ τῆς ἀῤῥήτου φύσεως αὐτοῦ λογίζῃ τὰ ὑψώματα; οὐκοῦν πλήρης ὑπάρχων καὶ παντέλειος ὡς Θεὸς κεκένωται διὰ σὲ, πρὸς τὴν σὴν ἑαυτὸν κατακομίσας ὁμοίωσιν, καὶ ὑψηλὸς ὑπάρχων ὡς Υἱὸς καὶ ἐξ αὐτῆς τῆς οὐσίας τοῦ Πατρὸς, τεταπείνωκεν ἑαυτὸν, ἐπείπερ γέγονεν ἄνθρωπος, ὁ τῶν ὑψωμάτων τῆς θείας δόξης τοσοῦτον ἡττώμενος, ὅσον οἶδεν ἡ φύσις. ὅτε τοίνυν ἐν ταὐτῷ τέ ἐστι Θεὸς καὶ ἄνθρωπος, ὑψηλὸς μὲν διὰ τὸν φύσαντα· Θεὸς γάρ ἐστιν ἐκ Θεοῦ καὶ d Υἱὸς ἐκ Πατρὸς ἀληθῶς· ταπεινὸς δὲ δι᾽ ἡμᾶς, ἄνθρωπος γὰρ καθ᾽ ἡμᾶς γέγονε δι᾽ ἡμᾶς· ἀτάραχον ἔχε τὸν νοῦν, ὅταν ἀκούσῃς λέγοντος Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. *πρέποι γὰρ ἂν καὶ μάλα εἰκότως, ὡς Θεῷ μὲν καὶ Υἱῷ κατὰ φύσιν* Πατέρα *καλεῖν τὸν γεννήτορα, ὡς δὲ ἀνθρώπῳ καθ᾽ ἡμᾶς,* Θεὸν *ἑαυτοῦ τὸν Θεὸν ὀνομάζειν.*

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν Κύριον καὶ ταῦτα εἶπεν αὐτῇ.

Θεραπεύεται τὸ νενοσηκὸς μάλιστα γένος, φημὶ δὴ τὸ θηλειῶν, διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν φιλανθρωπίας ἀνακε- 1090 A. a *φαλαιουμένου τρόπον τινὰ τὴν τῶν καθ᾽ ἡμᾶς ἀῤῥωστημάτων ἀρχὴν, καὶ μετατιθέντος τοῖς δευτέροις ἐπὶ τὸ ἄμεινον. ἀπαγγέλλει γὰρ ἡ* Μαριὰμ, *ὅτι καὶ θεάσοιτο τὰ τοῦ θανάτου δεσμὰ διαφυγόντα τὸν* Κύριον, *καὶ τίνα λέγοντος ἤκουσε, διεκόμισέ τε τοῖς μαθηταῖς τοὺς τῆς ζωῆς λόγους καὶ τῶν θείων εὐαγγελίων τὰς ἀπαρχάς.*

6. *ὑπαρχὼν*] + *ὡς υἱὸς* (ex infra) E. 18. *οὕτω* pro *ἀνθρώπῳ* E. 20. *μαγδαλινὴ* (ut supra) E. 24. *ἡμῶν* E. 26. *ἀπαγγέλει* E.

Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ 19
τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ αὐτοῦ συνη-
γμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη b
εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς Εἰρήνη ὑμῖν. καὶ τοῦτο εἰπὼν 20
ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ.

*Κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν καθ' ἣν ὤφθη τε καὶ
διείλεκται τῇ* Μαριὰμ, *καὶ αὐτοῖς τοῖς ἁγίοις ἐπέλαμψε
μαθηταῖς, τὰς τῶν ἀνοσίων* Ἰουδαίων *ἀφορήτους καταδρομὰς
καταπεφρικόσι, καὶ εἰς οἶκόν τινα διὰ τοῦτο συγκεκομισμέ-
νοις. οὐ γὰρ ἦν εἰκὸς ἀμοιρῆσαί ποτε τοῦ πρέποντος λο-* c
*γισμοῦ τοὺς οὕτω πεπαιδευμένους, καὶ τὰς τῶν φονώντων
ὀργὰς διαδιδράσκειν ἐπείγεσθαι κεκελευσμένους πολλάκις.
ἐπιφαίνεται δὲ παραδόξως αὐτοῖς.* κεκλεισμένων *γὰρ, ὥς
φησι,* τῶν θυρῶν, *ἀδοκήτως* εἰς μέσον ἔστη Χριστὸς, *ἀφάτῳ
τινὶ δυνάμει καὶ θεοπρεπεῖ καὶ τὰς τῶν πραγμάτων ἀκολου-
θίας ὑπεριπτάμενος, καὶ τοῦ τοῖς δρωμένοις πρέποντος λο-
γισμοῦ τε καὶ σχήματος ἀμείνων ἀναδεικνύμενος. μὴ γὰρ
δή τις λεγέτω* Πῶς *ἐν σώματι τῷ παχεῖ τυγχάνων ὁ* Κύριος d
ἀδιακωλύτως εἰσήλασε, καίτοι τῶν θυρῶν κεκλεισμένων· *ἐν-
νοείτω δὲ μᾶλλον, ὡς οὐ περί τινος τῶν καθ' ἡμᾶς τὰ
τοιαῦτά φησιν ὁ θεσπέσιος* Εὐαγγελιστής· *περὶ αὐτοῦ δὲ
μᾶλλον τοῦ συνεδρεύοντος τῷ* Θεῷ *καὶ* Πατρὶ, *καὶ πάντα
δρῶντος εὐκόλως ὅσαπερ ἂν βούλοιτο. ἔδει γὰρ ἔδει* Θεὸν
*ὄντα κατὰ φύσιν καὶ ἀληθινὸν μὴ ταῖς τῶν πραγμάτων
ἀκολουθίαις ὑποκεῖσθαι, καθάπερ ἀμέλει καὶ τὰ παρ' αὐτοῦ
γεγονότα, κατεξουσιάζειν δὲ μᾶλλον καὶ ἀνάγκης αὐτῆς καὶ
λογισμοῦ τοῦ καθήκοντος καὶ πρεπωδεστάτου τῶν τελου-* e
*μένων ἑκάστῳ. ἐπεὶ κατὰ τίνα τρόπον θάλασσαν μὲν τοῖς
ἰδίοις ὑπετίθει ποσὶ, διέθει δὲ καθάπερ ἐπὶ ξηρᾶς τοῦ
κύματος, καίτοι τῶν ἡμετέρων σωμάτων τὴν ἐφ' ὕδασιν ὁδὸν
οὐκ ἐχόντων ὑπεστρωμένην; ἢ πῶς τὰς ἑτέρας ἐπλήρου θαυ-*

1. οὖν om. E. 6. καθ' om. E. 17. τε om. E.

ματουργίας ἐν ἐξουσίᾳ θεοπρεπεῖ; ἀλλ' ἐκεῖνα δὴ πάντως
ἐρεῖς ὑπὲρ λόγον. οὐκοῦν τίθει μετ' ἐκείνων καὶ τοῦτο, καὶ
μὴ καθάπερ ἔδοξέ τισιν ἐκ τῆς ἐνούσης αὐτοῖς ἐλαφρίας
συνηρπασμένοις ἐπὶ τὸ βούλεσθαι φρονεῖν ἅπερ ἥκιστα
1091 A. a χρῆν, οἰηθῇς διὰ τοῦτο μὴ μετὰ τοῦδε τοῦ σώματος ἐγη-
γέρθαι τὸν Κύριον, γυμνὸν δὲ σαρκὸς καὶ ἀσύμπλοκον
παντελῶς τοῦ ληφθέντος ναοῦ. εἰ γὰρ μὴ δύνασαι νοεῖν
τῆς ἀῤῥήτου φύσεως τὴν ἐνέργειαν, τί μὴ μᾶλλον τῆς
ἀνθρωπίνης ἀσθενείας καταβοᾷς; τοῦτο γὰρ εἶναί φημι καὶ
σοφώτερον· εἶτα στέργεις σιωπῇ τὸ διορισθέν σοι μέτρον
παρὰ τοῦ δημιουργοῦ, ἀποσειόμενος δὲ ὥσπερ τὸν σώφρονα
λογισμὸν, ἀδικεῖς τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, ἐφ'
b ᾧ πᾶσαν ἔχομεν τὴν ἐλπίδα. διαμεμνήσθω γάρ τις βοῶντος
1 Cor. xv. 16, 17. τοῦ Παύλου "Εἰ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγή-
"γερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις
"ὑμῶν καὶ ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν," εἶτα πάλιν
Ib. 15. "Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυ-
"ρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρε τὸν Χριστὸν, ὃν οὐκ
"ἤγειρεν εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται." τί γὰρ ὅλως τὸ
ἐγερθὲν εἰ μὴ τὸ πεσὸν, ἢ τί τὸ ἀναστὰν εἰ μὴ τὸ κεκλιμένον
c εἰς θάνατον; πῶς δὲ ἡμεῖς προσδοκήσομεν τὴν ἀνάστασιν,
εἰ μὴ τὸν οἰκεῖον ἤγειρε ναὸν ὁ Χριστὸς, ἀπαρχὴν τῶν
κεκοιμημένων, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν ἑαυτὸν ὑπὲρ
Ib. 53. ἡμῶν καθιστάς. ἢ πῶς ἐνδύσεται τὸ φθαρτὸν τοῦτο τὴν
ἀφθαρσίαν, εἰ καθάπερ οἴονταί τινες εἰς ἀπώλειαν παντελῆ
κατοιχήσεται; πῶς γὰρ οὐ τοῦτο πείσεται, μηδεμίαν ἔχον
εἰς ἀναβίωσιν τὴν ἐλπίδα; μὴ τοίνυν τὴν ἐν τῷ πιστεύειν
ὀρθότητα ζημιωθῇς διὰ τὸ παραδόξως τετελεσμένον, προσ-
d τίθει δὲ τοῖς ἑτέροις θαύμασι καὶ τοῦτο σωφρόνως.

Ἄθρει γὰρ ὅπως διὰ μὲν τοῦ παραδόξως εἰσελάσαι κε-
κλεισμένων τῶν θυρῶν, δέδειχε πάλιν ὅτι Θεός ἐστι κατὰ

5. οἰηθεῖς E. 7. δύνασαι E.F.a. Ed. mg. δύνασθαι Ed. 10. γρ. στέγεις Ed. mg. στέργεις habet F. 15. εἰ—ἐγήγερται (ab ἐγήγερται ad ἐγήγερται transiliens) om. E. 26. ἔχον om. E.

φύσιν, καὶ οὐχ ἕτερος παρ' ἐκεῖνον τὸν αὐτοῖς καὶ πάλαι συνδιαιτώμενον· διὰ δὲ τοῦ καὶ αὐτὴν ἀπογυμνῶσαι τοῦ σώματος τὴν πλευρὰν καὶ τοὺς τύπους ἐπιδεῖξαι τῶν ἥλων, πεπληροφόρηκεν ἐμφανῶς ὅτι τὸν ἐπ' αὐτοῦ τοῦ σταυροῦ κεκρεμασμένον ἤγειρε ναὸν, καὶ ὅπερ πεφόρεκε σῶμα, τοῦτο πάλιν ἀνέστησε, καταργήσας δηλονότι τὸν τῇ σαρκὶ πρέποντα θάνατον, ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ καὶ Θεός. e ἐπεὶ τίς ἡ χρεία τῆς τῶν χειρῶν καὶ τῆς πλευρᾶς ἐπιδείξεως, εἴπερ ὅλως κατά τήν τινων ἀβελτερίαν οὐ μετὰ τῆς ἰδίας ἐγήγερται σαρκός; εἰ γὰρ ἕτερόν τι περὶ αὐτοῦ φρονεῖν ἠθέλησε τοὺς μαθητὰς, τί μὴ μᾶλλον αὐτοῖς ἐν ἑτέρῳ διεφαίνετο σχήματι, καὶ τὸ τῆς σαρκὸς ἀτιμάσας εἶδος, πρὸς ἑτεροίας αὐτοὺς ἐννοίας ἐκάλει; νυνὶ δὲ τοσοῦτον ὁρᾶται πεφροντικὼς τοῦ χρῆναι πιστεύειν ἔσεσθαι τῆς σαρκὸς τὴν ἀνάστασιν, ὥστε καὶ καιροῦ καλοῦντος ἤδη μετασκευάζειν εἰς δόξαν ἄῤῥητόν τινα καὶ ὑπερφυᾶ τὸ ἴδιον σῶμα, φαίνεσθαι πάλιν ὅπερ ἦν συγκεχώρηκεν οἰκονομικῶς, ἵνα μὴ a 1092 A. ἕτερον ἔχων παρ' ἐκεῖνο νομίζηται ἐν ᾧ καὶ πέπονθε τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ὅτι γὰρ οὐκ ἂν ἐγένετο φορητὴ τοῖς ἡμετέροις ὄμμασιν ἡ τοῦ ἁγίου σώματος δόξα, εἴπερ αὐτὴν ἐξαπλοῦν ἠβουλήθη Χριστὸς καὶ πρὶν ἀναβῆναι πρὸς τὸν Πατέρα, συνήσεις εὐκόλως, τὸν ἐν τῷ ὄρει ποτὲ παραδειχθέντα τοῖς ἁγίοις μαθηταῖς μετασχηματισμὸν ἐνθυμούμενος. γράφει γὰρ ὁ μακάριος Ματθαῖος ὁ Εὐαγγελιστὴς, ὅτι παραλαβὼν ποτε "Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, S.Matth. xvii. 1, 2. "ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, "καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ἀστραπὴ, τὰ δὲ b "ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡσεὶ χιὼν," οἱ δὲ τὴν θέαν οὐκ ἐνεγκόντες πεπτώκασιν. οἰκονομικώτατα τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὔπω πρὸς δόξαν τὴν αὐτῷ χρεωστουμένην καὶ πρέπουσαν τὸν οἰκεῖον μεταστοιχειώσας ναὸν,

13. τοσοῦτον E.F. Ed. mg. τοσούτων Ed. 19–24 citat collectio testimoniorum Syriace in Cod. Mus. Brit. (Add. 14532) fol. 84. 19. φορητὸ E. 28. θείαν (sic) E.

ἐν τοῖς πρώτοις ἔτι διεφαίνετο σχήμασι, τὴν τῆς ἀναστάσεως πίστιν οὐκ ἐφ' ἕτερόν τι σχῆμα καὶ σῶμα μετακομίζεσθαι θέλων ἢ εἰς ὅπερ ἔλαβεν ἐκ τῆς ἁγίας παρθένου, ἐν ᾧ καὶ σταυρωθεὶς ἀπέθανε κατὰ τὰς γραφὰς, τῆς τοῦ θανάτου c δυνάμεως κατὰ μόνης τρεχούσης τῆς σαρκὸς, ἐξ ἧς καὶ ἀπελήλαται. εἰ γὰρ μὴ ἀνέστη τὸ τεθνηκὸς αὐτοῦ σῶμα, ποῖος νενίκηται θάνατος, ποῦ δὲ ἠτόνησε τὸ τῆς φθορᾶς κράτος; οὐ δι' ἑνὸς ἀποθανόντος τῶν λογικῶν κτισμάτων, οὐ ψυχῆς, οὐκ ἀγγέλου, μήτι γε καὶ αὐτοῦ τοῦ Θεοῦ Λόγου; ὅτε τοίνυν περὶ μόνον τὸ φθείρεσθαι πεφυκὸς τὸ τοῦ θανάτου γίνεται κράτος, περὶ αὐτὸ δὴ πάντως καὶ ἡ τῆς ἀναστάσεως δύναμις νοοῖτ' ἂν εἰκότως, ἵνα καὶ ἡ τοῦ τυραννήσαντος παραλύηται δύναμις. τὸ δὲ εἰσελθεῖν τῶν θυρῶν κεκλεισμένων τὸν Κύριον, τοῖς ἄλλοις αὐτοῦ σημείοις συντε- d τάξεται παρά γε τοῖς σώφροσι. κατασπάζεται δὲ τοὺς ἁγίους μαθητάς. εἰρήνη γὰρ ὑμῖν φησιν, ἑαυτὸν εἶναι λέγων τὴν εἰρήνην. οἷς γὰρ ἂν παρείη Χριστὸς, τούτοις ἕψεται δὴ πάντως καὶ τὸ ἐν ἀταράχῳ διατηρεῖσθαι πνεύματι. ὃ δὴ καὶ Παῦλος ὑπάρξαι παρὰ Θεοῦ τοῖς εἰς αὐτὸν πιστεύουσιν Phil. iv. 7. ἐπηύχετο λέγων "Ἡ εἰρήνη τοῦ Χριστοῦ ἡ ὑπερέχουσα "πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα "ὑμῶν·" εἰρήνην Χριστοῦ τὴν ἐπέκεινα νοῦ παντὸς, οὐχ ἑτέραν εἶναι λέγων παρὰ τὸ Πνεῦμα αὐτοῦ, οὗπερ εἴ τις μετάσχοι, παντὸς ἀνάπλεως ἔσται καλοῦ.

Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

1093 A. a Τοῖς τοῦ Σωτῆρος ῥήμασιν ἐπιμαρτυρεῖ τὴν ἀλήθειαν κἀν τούτῳ δὴ πάλιν ὁ μακάριος Εὐαγγελιστὴς, θυμηδίας καὶ χαρᾶς ἀναπεπλῆσθαι λέγων τοὺς μαθητὰς, ἐπείπερ εἶδον τὸν Ἰησοῦν. μεμνήμεθα γὰρ ὅτι πρὸς αὐτοὺς αἰνιγματωδῶς τοὺς περὶ τοῦ τιμίου σταυροῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως Supra xvi. 16. ἐξυφαίνων λόγους "Μικρὸν ἔφη, καὶ οὐκέτι θεωρεῖτέ με, καὶ

4–9. τῆς τοῦ θανάτου—Λόγου citat collectio supradicta cod. ejusdem fol. 49 v.
8. οὐ δι'] οὐχὶ Syr.

“πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ χαρήσεται ὑμῶν ἡ “καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς ἀρεῖ ἀφ᾽ ὑμῶν.” [Supra xvi. 22.] ἔχαιρον μὲν γὰρ οἱ πάσης ἀποπληξίας τὸν νοῦν ἀνάμεστον b ἔχοντες Ἰουδαῖοι, σταυρῷ προσηλούμενον βλέποντες τὸν Ἰησοῦν· λύπῃ δὲ ἀκράτῳ καὶ δυσαχθεστάτῃ κατεφορτίζετο τῶν ἁγίων μαθητῶν ἡ καρδία. ἀλλ᾽ ἐπείπερ ἐστὶ κατὰ φύσιν ζωὴ, καταλύσας τοῦ θανάτου τὸ κράτος ἀνεβίω πάλιν, καὶ ἡ μὲν τῶν Ἰουδαίων ἀπέσβη χαρὰ, τοῖς γεμὴν ἁγίοις ἀποστόλοις μετακεχώρηκε μὲν ὁ κοπετὸς εἰς χαρὰν, ἀναπό- [Ps. xxix. 12.] βλητος δὲ παντελῶς καὶ ἀναφαίρετος ἀνεβλάστησε θυμηδία. τεθνήξεται γὰρ οὐκέτι Χριστὸς ἅπαξ ἀποθανὼν “εἰς ἀθέτησιν c [Heb. ix. 26.] “ἁμαρτίας,” καθὰ γέγραπται. ζῶν γὰρ ἀεὶ καὶ ὑπάρχων, ἀτελεύτητον δῆλον ὅτι τοῖς ἐλπίζουσιν ἐπ᾽ αὐτῷ διατηρήσει τὸ χαίρειν. κατασπάζεται δὲ πάλιν, τὸ σύνηθες ἐκεῖνο λέγων, τουτέστιν Εἰρήνη ὑμῖν, νόμον ὥσπερ τινὰ καὶ τὸν ἐπὶ τούτῳ τιθεὶς τοῖς τῆς Ἐκκλησίας τέκνοις. τοιγάρτοι καὶ ἐν ταῖς ἁγίαις μάλιστα συνόδοις ἤτοι συνάξεσι παρ᾽ αὐτὰς τοῦ μυστηρίου τὰς ἀρχὰς, τοῦτο καὶ ἡμεῖς ἀλλήλοις φαμέν. d τὸ γὰρ εἰρηνεύειν ἡμᾶς πρός τε ἀλλήλους καὶ Θεὸν, πηγή τις ὥσπερ καὶ ἀρχὴ παντὸς ἂν ὑπάρχειν νοοῖτο καλοῦ. τοιγάρτοι καὶ Παῦλος τὰ πάντων ὑπάρξαι κάλλιστα τοῖς κεκλημένοις ἐπευχόμενος “Χάρις ὑμῖν καὶ εἰρήνη φησὶν ἀπὸ [Rom. i. 7.] “Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ,” προτρέπων δὲ πάλιν εἰς εἰρήνην τὴν ὡς πρὸς Θεὸν τοὺς οὔπω πιστεύσαντας “Ὑπὲρ Χριστοῦ, φησὶ, πρεσβεύομεν, ὡς τοῦ [2 Cor. v. 20.] “Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, “καταλλάγητε τῷ Θεῷ·” παραθήγει δὲ οὐδὲν ἧττον ἡμᾶς e καὶ ὁ προφήτης Ἡσαΐας βοῶν “Ποιήσωμεν εἰρήνην αὐτῷ, [Es. xxvii. 5, 6.] “ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι.” πρέπουσα τοίνυν ἡ τοῦ λόγου δύναμις τῷ τὴν εἰρήνην βραβεύοντι, μᾶλλον δὲ τῇ πάντων εἰρήνῃ, τουτέστι Χριστῷ· “Αὐτὸς γάρ ἐστιν ἡ [Eph. ii. 14.] “εἰρήνη ἡμῶν,” κατὰ τὰς γραφάς.

12. γὰρ assumptum ex E. 13. αὐτὸν E.

21 Καὶ εἶπεν αὐτοῖς πάλιν Εἰρήνη ὑμῖν· καθὼς ἀπέστειλέ με ὁ ζῶν Πατὴρ κἀγὼ ἀποστέλλω ὑμᾶς.

Κεχειροτόνηκε μὲν ἐν τούτοις ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοὺς τῆς οἰκουμένης καθηγητάς τε καὶ διδασκάλους
1094 A. a καὶ τῶν θείων αὐτοῦ μυστηρίων οἰκονόμους, οὓς καὶ φωστήρων δίκην ἀναλάμψαι τε ἤδη καὶ καταυγάσαι κελεύει οὐχὶ μόνην τῶν Ἰουδαίων τὴν χώραν, κατὰ τὸ μέτρον τῆς νομικῆς
2 Reg. xvii. 11, et alibi. ἐντολῆς διηκούσης "ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ," κατὰ τὸ γεγραμμένον, μᾶλλον δὲ τὴν ὑφ' ἡλίῳ σύμπασαν καὶ τοὺς πανταχόσε κατεσπαρμένους καὶ κατῳκηκότας. ἀληθὴς οὖν
Heb. v. 4. ἄρα λέγων ὁ Παῦλος, ὡς "οὐχ ἑαυτῷ τις λαμβάνει τὴν "τιμὴν, ἀλλ' ὁ καλούμενος παρὰ τοῦ Θεοῦ." κέκληκε γὰρ εἰς εὐκλεεστάτην ἀποστολὴν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ
b Χριστὸς πρὸ τῶν ἄλλων ἁπάντων τοὺς ἑαυτοῦ μαθητὰς, καὶ μονονουχὶ σειομένην καὶ πίπτουσαν ὅλην ἔπηξε τὴν γῆν,
Cf. 3 Reg. x. 12. ἀναδείξας ὡς Θεὸς τὰ ὑποστηρίγματα αὐτῆς καὶ τοὺς ἀντερείδειν ἰσχύοντας. τοιγάρτοι καὶ ἔφη διὰ τῆς τοῦ ψάλλοντος
Ps. lxxiv. 4. φωνῆς περί τε τῆς γῆς καὶ τῶν ἀποστόλων ὅτι "ἐγὼ "ἐστερέωσα τοὺς στύλους αὐτῆς·" στύλοι γὰρ ὥσπερ καὶ
1 Tim. iii. 15. ἑδραίωμα τῆς ἀληθείας οἱ μακάριοι γεγόνασι μαθηταὶ, οὓς δὴ καὶ ἀποστεῖλαί φησιν, ὥσπερ αὐτὸν ἀπέστειλεν ὁ Πατὴρ,
c ὁμοῦ μὲν τῆς ἀποστολῆς τὸ ἀξίωμα δεικνὺς, καὶ τῆς δοθείσης αὐτοῖς ἐξουσίας τὴν ἀσύγκριτον δόξαν· ἐν ταὐτῷ δὲ ὡς εἰκὸς καὶ τῶν ἀποστολικῶν ἐπιτηδευμάτων ὑποφαίνων τὴν ὁδόν. εἰ γὰρ οὕτως ἀποστέλλειν ᾤετο δεῖν αὐτὸς τοὺς οἰκείους μαθητὰς, ὥσπερ οὖν αὐτὸν ἀπέστειλεν ὁ Πατὴρ, πῶς οὐκ ἀναγκαῖον ἰδεῖν τοὺς, οἵ γε τῶν ἴσων ἔμελλον ἔσεσθαι μιμηταὶ, τί δὴ καὶ δράσοντα τὸν Υἱὸν ἀπέστειλεν ὁ Πατήρ;

Οὐκοῦν τῆς ἰδίας ἀποστολῆς τὸν τρόπον διαφόρως ἡμῖν
S. Matth. ix. 13. ἐξηγούμενος, ποτὲ μὲν ἔφασκεν "Οὐκ ἦλθον καλέσαι δι-

15. ἔπηξαν E. 28. μιμητὰς E.

“ καίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν,” καὶ πάλιν “ Οὐ d (S. Luc. v. 31.) “ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς “ ἔχοντες·” καὶ ἔτι πρὸς τούτοις ποτὲ μέν “ Ὅτι καταβέ- (Supra vi. 38.) “ βηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν “ ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με,” ποτὲ δὲ πάλιν “ Οὐ (Ib. iii. 17.) “ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα “ κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.” ἐν ὀλίγοις τοιγαροῦν τοῖς ῥήμασι τὰ τῆς ἀποστολῆς ἐπιτηδεύματα συνελὼν, οὕτως ἀποστεῖλαί φησιν αὐτοὺς, καθάπερ e αὐτὸν ὁ Πατὴρ, ἵν' εἰδεῖεν ἐντεῦθεν, ὡς καλεῖν ὀφείλουσιν ἁμαρτωλοὺς εἰς μετάνοιαν, θεραπεύειν δὲ τοὺς κακῶς ἔχοντας, σωματικῶς τε καὶ πνευματικῶς, ἐν δὲ ταῖς τῶν πραγμάτων οἰκονομίαις τὸ ἴδιον οὐχὶ πάντως θέλημα ζητεῖν, ἀλλὰ τὸ τοῦ ἀποστείλαντος, σώζειν τε καθόσον ἐνδέχεται ταῖς διδασκαλίαις τὸν κόσμον. καὶ γοῦν διὰ τούτων ἁπάντων διαπρέπειν σπουδάζοντας καὶ αὐτοὺς εὑρήσομεν τοὺς ἁγίους μαθητὰς, καὶ ὁ τῆς πληροφορίας πόνος οὐ πολὺς τῷ γε ἅπαξ ἐγκύψαντι τῇ τῶν πράξεων συγγραφῇ καὶ ταῖς τοῦ a1095 A. ἁγίου Παύλου φωναῖς.

Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς Λάβετε Πνεῦμα 22
Ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν 23
τινων κρατῆτε, κεκράτηνται.

Λαμπροὺς ἀποφήνας τῷ μεγάλῳ τῆς ἀποστολῆς ἀξιώματι, καὶ τῶν θείων θυσιαστηρίων, καθάπερ ἔφην ἀρτίως, οἰκονόμους τε καὶ ἱερουργοὺς ἀναδείξας, ἁγιάζει παραχρῆμα b τὸ ἴδιον αὐτοῖς Πνεῦμα διδοὺς δι' ἐμφανοῦς ἐμφυσήματος, ἵνα καὶ ἡμεῖς ἀραρότως πιστεύωμεν ὡς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ Ἅγιον Πνεῦμά ἐστιν, ἀλλ' ὁμοούσιον αὐτῷ, καὶ δι' αὐτοῦ προϊὸν τὸ ἐκ τοῦ Πατρός. ἔδειξε δὲ ὅτι τοῖς εἰς θείαν ἀποστολὴν δι' αὐτοῦ προχειριζομένοις ἡ τοῦ Πνεύματος δόσις ἀναγκαίως ἀκολουθεῖ. καὶ διὰ ποίαν αἰτίαν; οὐ γὰρ

22. κεκράτηνται] καὶ κράτηνται E. 23—p. 141, 12 citat p.

ἄν τι δράσειαν τῶν ἀρεσκόντων Θεῷ, ἀλλ᾽ οὐδ᾽ ἂν τῶν τῆς S. Luc. xxiv. 49. ἁμαρτίας καταneανιεύσαιντο βρόχων, μὴ τὴν ἐξ ὕψους πρότερον ἐνδυσάμενοι δύναμιν, καὶ εἰς ἕτερόν τι παρ᾽ ὅπερ ἦσαν c μεταστοιχειούμενοι. διὸ καὶ πρός τινα τῶν ἀρχαιοτέρων 1 Reg. x. 6. ἐλέγετο, ὅτι "ἁλεῖται ἐπὶ σὲ Πνεῦμα Κυρίου, καὶ στραφήσῃ Es. xl. 31. "εἰς ἄνδρα ἄλλον," ἀλλάξειν δὲ ἰσχὺν τοὺς ὑπομένοντας τὸν Θεὸν καὶ ὁ προφήτης ἡμῖν Ἡσαΐας ἐπηγγέλλετο· Παῦλος δὲ ὁ σοφώτατος κεκοπιακέναι φάσκων ὑπέρ τινας, ἐν τοῖς ἀποστολικοῖς δηλονότι κατορθώμασιν, ἐπήνεγκεν 1 Cor. xv. 10. εὐθὺς, ὅτι "Οὐκ ἐγὼ δὲ, ἀλλ᾽ ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν "ἐμοί." πρὸς δέ γε τούτῳ κἀκεῖνό φαμεν, ὡς οὐκ ἂν ὅλως συνῆκαν τὸ ἐπὶ Χριστῷ μυστήριον, οὐδ᾽ ἂν ἀκριβεῖς ἐγέ-d νοντο μυσταγωγοὶ, εἰ μὴ διὰ τῆς τοῦ Πνεύματος δᾳδουχίας ἰόντες εἰς ἀποκάλυψιν τῶν ὑπὲρ νοῦν καὶ λόγον, πρὸς τὸ διδάσκειν οὕτως ἃ χρῆν ἀναβαίνειν ἰσχύουσαν· λέγει γάρ Ib. xii. 3. "Οὐδεὶς δύναται εἰπεῖν Κύριος Ἰησοῦς," κατὰ τὴν τοῦ Παύλου φωνὴν, "εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ." ἐπειδὴ τοίνυν ἔμελλον ἐρεῖν ὅτι Κύριος Ἰησοῦς, τουτέστιν, ἀνακηρύττειν αὐτὸν ὡς Θεὸν καὶ Κύριον, ἀναγκαίως ἤδη λοιπὸν τῷ τῆς ἀποστολῆς ἀξιώματι παρεζευγμένην δέχονται τὴν τοῦ Πνεύματος χάριν, διδόντος αὐτὸ τοῦ Χριστοῦ, καὶ οὐχ ὡς ταῖς ἑτέρου φιλοτιμίαις διακονουμένου τυχὸν, χορηγοῦντος δὲ μᾶλλον ἐξ ἑαυτοῦ· διήκοι γὰρ ἂν οὐχ ἑτέρως εἰς ἡμᾶς παρὰ Πατρὸς εἰ μὴ δι᾽ Υἱοῦ. ὁ μὲν οὖν ἀρχαῖος καὶ ἐν γράμμασι νόμος, σκιὰς ἔχων καὶ τύπους τῶν ἀληθινῶν, σωματικωτέραν, ἵν᾽ οὕτως εἴπω, καὶ ἐν παχυτέροις ὁρωμένην πράγμασι τὴν τῶν ἱερῶν ἀνάρρησιν τελεῖσθαι προσέταττεν. ὁ γάρ τοι 1096 A. a μακάριος Μωυσῆς, Θεοῦ πάλιν αὐτῷ προστάττοντος, ὕδασι Lev. viii. 6. μὲν ἀπονίζεσθαι τόν τε Ἀαρὼν αὐτὸν καὶ τοὺς Λευΐτας ἐκέλευεν· εἶτα τὸν τῆς τελειώσεως κατασφάξας κριὸν κατέ-

1. δράσειε E.p. 2. καταneανιεύσαιντο habet p. 13. οἱ pro εἰ E.p. 21. αὐτῷ (sic) E.p. αὐτὴν a. 25. τύπους] νόμους (sic) E.F.p. [scriba Codicis illius e quo E.F.p. oculo errante e supra describente]. Emendavit ut adnotat ipse Aub. 28. αὐτῷ E.p. αὐτὸ Ed. ὕδατι a. 29. ἀπονίττεσθαι (sic) p. 30. ἐκέλευσεν p.

χρισεν ἐκ "τοῦ αἵματος τὸν λοβὸν τοῦ ὠτὸς τοῦ δεξιοῦ," (Lev. viii. 23.) καθὰ γέγραπται, ἐπέθηκε δὲ καὶ "ἐπὶ τὸ ἄκρον τῆς χειρὸς "τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ," τοῦ κατὰ Χριστὸν μυστηρίου τὸν τύπον ὡς ἐν εἰκόνι ζωγραφῶν. ἔνθα γὰρ ὕδωρ καὶ αἷμά ἐστι, τὰ δι' ὧν ὁ ἁγιασμὸς, πῶς ἢ πόθεν ἀμφίβολον, ὅτι τῆς ἀληθείας τὸ κάλλος ἐν ἀφανεστέροις ἔτι διεπλάττετο τύποις; ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς b ὁ Χριστὸς, εἰς ἀληθείας δύναμιν τὸ σχῆμα τοῦ νόμου μεταθεὶς, τοὺς τῶν θείων θυσιαστηρίων ἱερουργοὺς τελειοῖ δι' ἑαυτοῦ. καὶ γάρ ἐστιν αὐτὸς ὁ τῆς τελειώσεως κριός. τελειοῖ δὲ δι' ἁγιασμοῦ τοῦ κατὰ ἀλήθειαν, τῆς ἰδίας φύσεως κοινωνοὺς διὰ τῆς τοῦ Πνεύματος μετουσίας ἀναδεικνὺς, καὶ μεταχαλκεύων τρόπον τινὰ τὴν ἀνθρώπου φύσιν εἰς τὴν ὑπὲρ ἄνθρωπον δύναμίν τε καὶ δόξαν.

Ἀλλ' ὅτι μὲν τῆς ἀληθείας οὐκ ἔξω που φανεῖται καὶ ὁ περὶ τούτων ἡμῖν γεγονὼς λόγος, οὐκ ἀμφίβολον. πλὴν c ἐκεῖνό τις λέγων ἀφίξεται τυχὸν καὶ φιλοπευστήσει χρηστομαθῶς, ἐρεῖ δὲ ἴσως Ποῖ δὴ ἄρα καὶ πότε τὴν διὰ τοῦ Πνεύματος χάριν οἱ τοῦ Σωτῆρος ἡμῶν ἐκομίσαντο μαθηταί; ὅτε κατ' οἶκον αὐτοῖς ἐπέλαμψεν ὁ Σωτὴρ εὐθὺς μετὰ τὴν ἀνάστασιν, ἐνεφύσησέ τε λέγων Λάβετε Πνεῦμα Ἅγιον· ἢ ἐν ταῖς ἡμέραις τῆς ἁγίας πεντηκοστῆς, ὅτε δὴ πάλιν εἰς ἕνα συναχθέντων τόπον "Ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ (Acta SS. Ap. ii. 2, 3, 4.) "ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ὤφθησαν αὐτοῖς "διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα d "ἕκαστον αὐτῶν, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις "καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς." ἢ γὰρ, φησὶ, διττὴν δεδόσθαι τὴν χάριν αὐτοῖς οἰησόμεθα, ἤγουν τὸν καιρὸν ἀγνοήσομεν, καθ' ὃν ἀληθῶς γεγόνασι μέτοχοι τοῦ Ἁγίου Πνεύματος, εἴπερ ἀληθὴς καὶ ὁ τοῦ Σωτῆρος ἡμῶν εὑρίσκοιτο λόγος καὶ τὸ ἐν ταῖς πράξεσι γεγραμμένον περὶ τῶν ἁγίων μαθητῶν. ἀλλ' ἐνδοιασμοῦ μὲν ἄξιον τὸ

23. ἕνα p. ἓν Ed. 24. φερόμενος E.

e χρῆμά ἐστι, μάλισθ' ὅτι καὶ αὐτὸς ἔφη που Χριστός Supra xvi. 7. "Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ "παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς· ὅταν δὲ ἀπέλθω, "πέμψω αὐτὸν πρὸς ὑμᾶς." ἐρεῖ γὰρ ἴσως ὁ ἐκεῖνα ζητῶν Ψευδομυθεῖν οὐκ οἶδεν ἡ ἀλήθεια, τουτέστι Χριστός· ὅτε τοίνυν ἔφη σαφῶς, ὡς οὐκ ἂν ἔλθοι πρὸς ὑμᾶς ὁ Παράκλητος, οὐκ ἀναληφθέντος αὐτοῦ πρὸς τὸν Πατέρα, πέμψειν δὲ τότε καὶ ἀραρότως, ὅταν ἄνω γένηται παρ' αὐτῷ, πῶς εὑρίσκεται τὸ Πνεῦμα διδοὺς, καίτοι τὴν ἐντεῦθεν ἀποδημίαν

1097 A. a οὔπω στειλάμενος; πλὴν εἰ καὶ λίαν ἀσυμφανὲς τὸ ζητούμενον καὶ περισκελὴς ὁ λόγος, ἐκταράξαι τε καὶ σφόδρα ἱκανὸς, ἀλλ' ἔχει τὴν λύσιν τὴν αὐτῷ πρεπωδεστάτην, ὅταν μὴ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἕνα πιστεύωμεν τὸν Χριστὸν, Θεὸν δὲ μᾶλλον ὡς ἐκ Θεοῦ καὶ τῶν ἰδίων κατεξουσιάζοντα λόγων διὰ τὴν τοῖς πράγμασι πρεπωδεστάτην οἰκονομίαν.

b Ἐπηγγείλατο μὲν γὰρ καταπέμψειν ἡμῖν ἐξ οὐρανοῦ τὸν Παράκλητον, ὅταν ἄνω γένηται παρὰ τῷ Θεῷ καὶ Πατρὶ, ὃ δὴ καὶ πέπραχεν ἀποδημήσας πρὸς τὸν Πατέρα, καὶ δαψιλεστάτην τοῖς ἐθέλουσιν ἑλεῖν τὴν τοῦ Πνεύματος ἔκχυσιν ἐπιδούς· ἕλοι δ' ἄν τις αὐτὸ διὰ πίστεως δηλονότι τῆς εἰς αὐτὸν, καὶ τοῦ ἁγίου βαπτίσματος· ἐπληροῦτο δὲ τότε τὸ Joel. ii. 28. διὰ τῆς τοῦ προφήτου φωνῆς εἰρημένον, ὅτι "ἐκχεῶ ἀπὸ τοῦ "Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα." ἀλλ' ἔδει τοῦ Πνεύματος χορηγὸν καὶ τῷ Πατρὶ συνδοτῆρα φαίνεσθαι τὸν Υἱὸν, c ἔδει συνιέναι τοὺς πιστεύοντας εἰς αὐτὸν, ὅτι περ αὐτός ἐστιν ἡ τοῦ Πατρὸς δύναμις, ἡ τόδε τὸ σύμπαν δημιουργήσασα, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρενεγκοῦσα τὸν ἄνθρωπον. ἦν μὲν γὰρ ὁ Θεὸς καὶ Πατὴρ διὰ τοῦ ἰδίου Λόγου Gen. ii. 7. τὸ ἐν ἀρχαῖς χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς, καθὰ γέγραπται, διαπλάσας δὲ τὸ ζῷον, φημὶ δὴ τὸν ἄνθρωπον, ψυχώσας τε

1. *μάλιστα* E. 4. *ὁ* assumptum ex p. 5. *ὅταν* p. 6. *οἶδε* pro *ἔφη* E. *ἔλθῃ* p. *ἡμᾶς* Migne. 9. *τὴν* assumptum ex E.p. 10. *περιστειλάμενος* a. 11. *ἐκταράξας* E. 13. *ὑπάρχῃ* p. 20. *αὐτῷ* p. 26. *πατρὸς*] *πνεύματος* (sic) E. 29. *τῆς* assumptum ex p. 30. *τὸ*] *τόδε τὸ* a. *δὴ*] *δὲ* p. *καὶ* (?) E.

καθὼς οἶδεν αὐτὸς καὶ τῇ τοῦ ἰδίου Πνεύματος μετουσίᾳ καταφαιδρύνας αὐτόν· "ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον Gen. ii. 7. "αὐτοῦ πνοὴν ζωῆς," καθὰ γέγραπται. ἐπειδὴ δὲ συνέβη πεσεῖν ἐκ παρακοῆς εἰς τὸν θάνατον, καὶ τῆς ἀρχαίας ἐκείνης d διολισθῆσαι τιμῆς τὸν ἄνθρωπον, ἀνέκτισεν πάλιν αὐτὸν ὁ Θεὸς καὶ Πατὴρ καὶ εἰς καινότητα ζωῆς ἀνεκόμισε δι' Υἱοῦ, καθάπερ ἐν ἀρχῇ· ἀνεκόμισε δὲ πῶς ὁ Υἱός; τῷ θανάτῳ τῆς ἁγίας σαρκὸς νεκρώσας τὸν θάνατον, καὶ εἰς ἀναδρομὴν ἀφθαρσίας τὸ ἀνθρώπινον γένος ἀνενεγκών· ἐγήγερται γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστός. ἵνα τοίνυν αὐτὸν ἐκεῖνον ὄντα μανθάνωμεν τὸν ἐξ ἀρχῆς τῆς ἡμετέρας φύσεως γεγονότα δημιουργὸν, καὶ τῷ Ἁγίῳ δὲ ἡμᾶς κατασφραγίσαντα Πνεύματι, πάλιν ἡμῖν ὁ Σωτὴρ ὡς ἐν ἀπαρχῇ τῆς ἀνακαινιζο- e μένης φύσεως τοῖς ἁγίοις μαθηταῖς δι' ἐμφυσήματος ἐναργοῦς τὸ Πνεῦμα χαρίζεται. γράφει γὰρ ὁ Μωυσῆς περὶ τῆς ἀρχαίας ἡμῶν δημιουργίας, ὅτι ἐνεφύσησεν εἰς τὸ πρόσωπον Ib. αὐτοῦ πνοὴν ζωῆς. ὡς οὖν ἐξ ἀρχῆς ἐπλάσθη καὶ γέγονεν, οὕτω καὶ ἀνακαινίζεται, καὶ ὥσπερ ἐμορφώθη τότε κατ' εἰκόνα τοῦ κτίσαντος, οὕτω καὶ νῦν τῇ τοῦ Πνεύματος μετουσίᾳ πρὸς ἐμφέρειαν μεταπλάττεται τοῦ ἰδίου ποιητοῦ. ὅτι γὰρ τοῦ Σωτῆρος τὴν μόρφωσιν ἐνθλίβει τὸ Πνεῦμα ταῖς τῶν δεχομένων αὐτὸ ψυχαῖς, πῶς οὐκ ἀναμφίλογον a **1098A.** τοῖς εἰς νομικὴν ἐπιτήρησιν διωλισθηκόσιν ἐκ ῥαθυμίας ἐπιστέλλοντος τοῦ Παύλου σαφῶς "Τεκνία μου, οὓς πάλιν Gal. iv. 19. "ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν." οὐχ ἑτέρως γὰρ ἐν αὐτοῖς μορφωθήσεσθαι λέγει Χριστὸν, ἢ διὰ τοῦ μετασχεῖν Ἁγίου Πνεύματος, πολιτεύεσθαί τε κατὰ νόμον τὸν εὐαγγελικόν. οὐκοῦν, ὡς ἐν ἀπαρχῇ τῆς ἀνανεουμένης κτίσεως εἰς ἀφθαρσίαν τε καὶ δόξαν καὶ εἰς εἰκόνα τὴν θεοειδῆ κατοικίζει πάλιν τὸ ἴδιον πνεῦμα Χριστὸς ἐν τοῖς b

1–6 et 13–15 citat Catena in Ep. ad Romanos in Bibl. Imperiali Viennensi conserv. (Theol. Ness. 166. Lamb. 46.) bomb. fol. 16. 4. παραπεσεῖν Cat. τὸν om. Cat. 5. τιμῆς ὀλισθῆσαι Cat. 6. ἀνεκόμισε] ἀνεβίβασε Cat. 14. ἐνεργοῦς Cat. 29. καὶ alt. assumptum ex E.p.

ἑαυτοῦ μαθηταῖς. ἔδει γὰρ ἔδει κἀκεῖνο πρὸς τούτῳ νοεῖν, ὅτι τοῦ Πνεύματός ἐστι χορηγὸς καὶ δοτήρ. τοιγάρτοι καὶ Supra xvi. 15. ἔφασκεν, ὅτι "πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν." ἔχει δὲ ὁ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, ἔχει τοῦτο ἐν ἑαυτῷ καὶ ὁ Υἱὸς, ἐπείπερ ἐστὶν ὁμοούσιος αὐτῷ, καὶ ἐξ αὐτοῦ πέφηνεν οὐσιωδῶς, πάντα τὰ τοῦ γεννήσαντος ἴδια φυσικῶς ἔχων ἐν ἑαυτῷ.

Ὅτι δὲ καίτοι πολλὰ πολλάκις καὶ ἐν καιρῷ τῷ πρέποντι c δράσειν ὑπισχνούμενος, ἔδρασεν ὅμως καὶ πρὸ καιροῦ τοῦ διωρισμένου πρὸς πληροφορίαν ἡμετέραν, ἵνα πιστεύωμεν ἀληθῶς ὅτι δὴ πάντως ἐκβήσεται τὰ εἰρημένα παρ' αὐτοῦ, δείξομεν ἐντεῦθεν. ἐπηγγέλλετο τοὺς νεκροὺς ἐγείρειν καὶ ἀνακομίσειν αὖθις εἰς ζωὴν τοὺς ἐν γῇ κειμένους καὶ χώματι. Supra v. 25. "Ἔρχεται γὰρ ὥρα, φησὶ, καθ' ἣν οἱ νεκροὶ ἀκούσουσι τῆς Ib. 29. "φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ ἐξελεύσονται, οἱ μὲν τὰ "ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα d "πράξαντες εἰς ἀνάστασιν κρίσεως." ὅτι δὲ καὶ τοῦτο κατορθώσει ῥᾳδίως πληροφορεῖν ἐπειγόμενος, ἐδίδασκε μὲν Ib. xi. 25. λέγων "Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή." ἐπεὶ δὲ ἡ τοῦ πράγματος ὑπερβολὴ τὸ ἀναβιώσεσθαί ποτε τοὺς νεκροὺς ἄπιστόν πως ἐτίθει, φθάνει χρησίμως τὸν τῆς ἀναστάσεως καιρὸν, καὶ δεικνύει τὸ σημεῖον ἐγείρων τὸν Λάζαρον καὶ τὸν τῆς χήρας υἱὸν καὶ τὸ Ἰαείρου κόριον. καὶ τί πρὸς τούτοις ἕτερον; ἐπιδοξοτάτην τινὰ λέγων ἔσεσθαι τὴν τῶν S. Matth. xiii. 43. ἁγίων ἀνάστασιν "Τότε, γάρ φησιν, οἱ δίκαιοι ἐκλάμψουσιν e "ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν," ἵνα πάλιν ὡς ἀληθῆ λέγων πιστεύηται, πρόωρον τοῖς μαθηταῖς καὶ τὴν S. Luc. ix. 28. τούτου θέαν ἐχαρίζετο. "παραλαβὼν γὰρ Πέτρον καὶ Ἰά-S. Matth. xvii. 2. "κωβον καὶ Ἰωάννην ἀνέβη εἰς τὸ ὄρος καὶ μετεμορφώθη "ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς "ἀστραπὴ, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡσεὶ χιών."

1. τοῦτο p. 4. αὐτοῦ p. Statim τε assumptum ex E.p. 8. καίτοι E.p. καὶ καίτοι Ed. 9. προσκαιροῦ (sic) E. 12. ἐπηγγείλατο a. 23. καίτοι (sic) E. 26. ὁ assumptum ex E.p.

ὥσπερ οὖν καίτοι κατὰ καιροὺς ἰδίους τὰ τοιαῦτα δράσειν ὑπισχνούμενος καθάπερ τινὰς ἀῤῥαβῶνας τοῦ κατὰ πάντων ἔσεσθαι προσδοκωμένου καὶ γενικωτάτου πράγματος, τὰ κατὰ μέρος εἰργάζετο καὶ πρὸ καιροῦ τοῦ δέοντος, ἵνα καὶ a1099 A. ἀνενδοιάστως πιστεύηται· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον πέμψειν εἰς ἡμᾶς τὸν Παράκλητον εἰπὼν, ὅταν ἀπέλθῃ πρὸς τὸν Πατέρα, καὶ καιρὸν τῇ κατὰ πάντων καὶ ἐπὶ πάντας χάριτι τοῦτον διορισάμενος, ἀπαρχὴν ὥσπερ τινὰ τῆς ἐπαγγελίας ἐν τοῖς μαθηταῖς εἰργάζετο, διὰ πολλὰς εὐλόγους τε καὶ ἀναγκαίας ἀφορμὰς ἃς προείπομεν.

Οὐκοῦν δέχονται μὲν τὴν τοῦ Ἁγίου Πνεύματος μέθεξιν, ὅτε καὶ ἐνεφύσησεν αὐτοῖς λέγων Λάβετε Πνεῦμα Ἅγιον· οὐδὲ b γὰρ ἦν διαψεύσασθαι λέγοντα τὸν Χριστὸν, οὐδ᾽ ἂν ἔφη Λάβετε, μὴ διδούς· ἐν δὲ ταῖς ἡμέραις τῆς ἁγίας πεντηκοστῆς ἐμφανεστέραν τῆς χάριτος τὴν ἀνάῤῥησιν καὶ τὴν φανέρωσιν τοῦ ἐνοικισθέντος αὐτοῖς Ἁγίου Πνεύματος τιθέντος Θεοῦ, ὤφθησαν αἱ γλῶσσαι διὰ πυρὸς, οὐκ ἀρχὴν ἐν αὐτοῖς τῆς δωρεᾶς σημαίνουσαι, εἰς ἀρχὴν δὲ μᾶλλον ἀναφέρουσαι τοῦ λόγου. γέγραπται γοῦν ὅτι "ἤρξαντο λαλεῖν ἑτέραις Acta SS. Ap. ii. 4. "γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐ"τοῖς." ἀκούεις ὅπως ἤρξαντο λαλεῖν, οὐ τοῦ ἁγιάζεσθαι, c καὶ ὅτι γλωσσῶν διανομὴ καταπεφοίτηκεν ἐπ᾽ αὐτοὺς, τοῦ ἐν αὐτοῖς ὄντος Πνεύματος ἐνεργοῦντος καὶ τοῦτο; ὥσπερ γὰρ ἐξ οὐρανοῦ πεφώνηκεν ὁ Πατὴρ ἐπιμαρτυρήσας τῷ ἰδίῳ γεννήματι καὶ λέγων "Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς S. Matth. iii. 17, xvii. 5. "ἐν ᾧ ηὐδόκησα," καὶ δέδρακε τοῦτο πρὸς πληροφορίαν τῶν ἀκροωμένων, ὀργανικὴν ὥσπερ τινὰ καὶ τοῖς ἡμετέροις ὠσὶν ἐμπίπτουσαν καταῤῥήξας φωνὴν, ἤτοι γενέσθαι ποιήσας, οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἀποστόλων ἐμφανεστέραν ἐτίθει τῆς d χάριτος τὴν ἀνάδειξιν, ἐν εἴδει πυρὸς τὰς γλώσσας αὐτοῖς ἐπαφεὶς, καὶ τῆς "φερομένης βιαίας πνοῆς" τὸν ἦχον τὴν Acta SS. Ap. ii. 2.

17. διὰ E.p.a. ὡσεὶ Ed. 20. αὐτοῖς ἀποφθέγγεσθαι a. 21. ἤρξαντο] + τοῦ a. 29. τοῖς ἁγίοις ἀποστόλοις p. ἐτίθει] ἐδείχθη E.

τοῦ Πνεύματος κάθοδον ἀπομιμεῖσθαι παρασκευάσας. ὅτι δὲ καθάπερ ἐν τάξει σημείου καὶ τοῦτο αὐτὸ τοῖς Ἰουδαίοις ἐδόθη, συνήσεις εὐκόλως, ὅταν ἀκούσῃς τοῦ πάντων δεσπότου Θεοῦ διὰ τῆς τοῦ προφήτου λέγοντος φωνῆς (1 Cor. xiv. 21, ex Es. xxviii. 11.) "Ὅτι ἐν "ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέρων λαλήσω τῷ λαῷ "τούτῳ," καὶ οὐ μὴ πιστεύσωσιν. οὐκοῦν ἵνα πιστεύωμεν, e ὅτι περ ἀληθῶς μέτοχοι τοῦ Ἁγίου Πνεύματός εἰσιν οἱ μακάριοι μαθηταὶ, καὶ ἄνωθεν τῇ παρὰ Χριστοῦ κατεστεμμένοι χάριτι λοιπόν εἰσι, καὶ ἱκανοὶ πρὸς τὴν τῆς ἀληθείας ἐξήγησιν, καὶ ἀξιοζήλωτον ἔχουσι τῆς ἰδίας ἀποστολῆς τὸ καύχημα, τῇ ἐξ ὕψους μεμαρτυρημένοι δωρεᾷ, καταπεφοίτηκε τὸ πῦρ ἐν εἴδει γλωσσῶν.

Διαρκῶς μὲν οὖν ὑπολαμβάνω ταυτὶ παρ' ἡμῶν εἰρῆσθαι νυνὶ πρὸς παράστασιν ἀκριβῆ τῆς τῶν προκειμένων θεωρίας· ἐπειδὴ δὲ πᾶσαν ἡμᾶς τοῦ λόγου ποιεῖσθαι προσήκει πρό-
1100 A. a νοιαν, ὡς ἂν μή τι τοῖς ἀδελφοῖς ἀναφύοι τὸ σκάνδαλον διὰ τῆς τινων συκοφαντίας, φέρε τοῖς εἰρημένοις προσθέντες καὶ τοῦτο, καὶ τὰς ἔσεσθαι προσδοκωμένας παρά του τυχὸν ἀθυρογλωττίας διακρουσώμεθα. εὑρήσομεν τοίνυν ἐν τοῖς ἐφεξῆς γεγραμμένον, (Infra ver. 24.) ὅτι "Θωμᾶς ὁ λεγόμενος Δίδυμος οὐκ "ἦν μετὰ τῶν μαθητῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς." πῶς οὖν, ἐρεῖ τις καὶ μάλα δικαίως, εἴπερ ἀπῆν, ἀληθῶς τοῦ Ἁγίου Πνεύματος ἀνεδείχθη μέτοχος, ὅτε τοῖς μαθηταῖς ἐπέλαμψεν ὁ Σωτὴρ, ἐνεφύσησέ τε λέγων Λάβετε Πνεῦμα Ἅγιον; φαμὲν
b οὖν, ὅτι κατὰ παντὸς ἐχώρει τοῦ λαβόντος τὴν χάριν ἡ τοῦ Πνεύματος δύναμις, καὶ τὸν τοῦ διδόντος ἐπλήρου σκοπόν. δέδωκε δὲ ὁ Χριστὸς οὔ τισιν ἀνὰ μέρος, ἀλλ' ὅλοις τοῖς μαθηταῖς. οὐκοῦν δέχονται καὶ εἰ μὴ παρῆσάν τινες, τῆς τοῦ διδόντος φιλοτιμίας οὐκ εἰς μόνους τοὺς παρόντας συστελλομένης, ἀλλ' εἰς ἅπαντα διηκούσης τὸν τῶν ἁγίων ἀποστόλων χορόν. ὅτι δὲ βίαιον οὐδὲν πεφρονήκαμεν ἐν τούτοις, ἀλλ' οὐδὲ ἀναίσχυντος ἡμῖν ὁ τοιοῦτος φανεῖται

6. πιστεύσουσιν E.

λόγος, ἐξ αὐτῶν σε τῶν ἱερῶν γραμμάτων πιστώσομαι, c παραθεὶς εἰς ἀπόδειξιν τὰ τοῖς Μωυσαϊκοῖς ἐγκείμενα βιβλίοις. οὐκοῦν ἐκέλευέ ποτε τῷ πανσόφῳ Μωυσῇ Κύριος ὁ Θεὸς ἄνδρας πρεσβυτέρους ἐκ τῆς τῶν Ἰουδαίων συναγωγῆς ἐπιλέξασθαι τὸν ἀριθμὸν ἑβδομήκοντα, ἐπηγγέλλετό τε σαφῶς ὅτι "ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ Num. xi. 17. "ἐπιθήσω αὐτοῖς." καὶ δὴ συνεκόμισεν ὁ Μωυσῆς καὶ τὸ θεῖον ἐπλήρου θέσπισμα. δύο γεμὴν ἀπελείφθησαν μόνοι τῶν ἐντεταγμένων τῷ ἀριθμῷ τῶν ἑβδομήκοντα πρεσβυτέρων, καὶ ἀπέμειναν ἐν τῇ συναγωγῇ Ἐλδὰδ καὶ Μωδάδ. d εἶτα τὸ θεῖον ἅπασιν ἐπιθέντος πνεῦμα τοῦ Θεοῦ κατὰ τὴν ἤδη δοθεῖσαν ὑπόσχεσιν, προεφήτευον μὲν παραχρῆμα λαβόντες τὴν χάριν, οἱ συνενεχθέντες διὰ Μωυσέως· προεφήτευον δὲ οὐδὲν ἧττον καὶ οἱ δύο πάλιν οἱ ἐν τῇ συναγωγῇ, φθανούσης καὶ ἐπ' αὐτοὺς τῆς ἄνωθεν χάριτος. καὶ γοῦν Ἰησοῦς ὁ καλούμενος τοῦ Ναυῆ, Μωυσῇ προσεδρεύων ἀεὶ, καὶ τὴν τοῦ μυστηρίου δύναμιν ἀγνοήσας παραχρῆμα, οἰη- e θεὶς δὲ ὅτι κατὰ μίμησιν Δαθάν τε καὶ Ἀβειρὼν ἀντιπροφητεύουσι καὶ οὗτοι τοῖς συνενεχθεῖσι διὰ Μωυσέως, ἔφη πρὸς αὐτόν "Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρ- Ib. 27. "εμβολῇ, κύριέ μου Μωυσῆ κώλυσον αὐτούς." καὶ τί πρὸς Ib. 28. ταῦτά φησιν ὁ σοφὸς ὄντως ἐκεῖνος καὶ μέγας, τῆς δοθείσης αὐτοῖς χάριτος τὴν ἐνέργειαν καὶ τὴν τοῦ Πνεύματος δύναμιν ἐννοήσας, ὡς σοφός "Μὴ ζηλοῖς σὺ ἐμοί; τίς γὰρ Ib. 29. "δοίη τῷ λαῷ Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ "Πνεῦμα αὐτοῦ ἐπ' αὐτούς;" ὁρᾷς ὅπως ἐπιλαμβάνεται τῶν Ἰησοῦ ῥημάτων οὐκ εἰδότος τὸ τετελεσμένον; εἴθε γὰρ a 1101 A. εἴθε, φησὶν, ἐδόθη τὸ Πνεῦμα παντὶ τῷ λαῷ, ἀλλ' ἔσται τοῦτο κατὰ καιροὺς, ὅταν αὐτοῖς ὁ πάντων Δεσπότης, τουτέστι Χριστὸς, τὸ ἴδιον αὐτοῖς χαρίσηται Πνεῦμα, καθάπερ ἐν ἀπαρχῇ τῶν ὀφειλόντων λαβεῖν τοῖς ἁγίοις ἀποστόλοις

5. τε om. p. 10. ἐλδὰ E. μοδάδ p. 11. ἐπιθέοντος p. 19. Μωυσέος E.p. 20. μοδὰδ p. Μωδαμ Aub. 29. τοῦτο assumptum ex E.p.

ἐμφυσήσας καὶ λέγων Λάβετε Πνεῦμα Ἅγιον. οὐκοῦν εἰ καὶ ἀπελείφθη Θωμᾶς, οὐκ ἐξέπεσε τοῦ λαβεῖν, κατὰ παντὸς τοῦ λαβεῖν ὀφείλοντος καὶ ἐντεταγμένου τῷ ἀριθμῷ τῶν τετιμημένων τοῦ Πνεύματος τρέχοντος.

Δοὺς δὲ τὸ Πνεῦμα Χριστός Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας b ἀφέωνταί φησιν· ἄν τινων κρατῆτε, κεκράτηνται, καίτοι μόνου τοῦ κατὰ φύσιν ὄντος Θεοῦ δυναμένου τε καὶ ἐξουσίαν ἔχοντος ἀπολύειν ἁμαρτίας τοὺς ἡμαρτηκότας· τίνι γὰρ ἂν καὶ προσήκοι τὸ χαρίζεσθαί τισι τὰ ἐφ' οἷσπερ ἂν ἁλοῖεν εἰς τὸν θεῖον πλημμελήσαντες νόμον, εἰ μὴ τῷ τὸν νόμον ὁρίσαντι; ἐξ αὐτῶν δὲ τῶν καθ' ἡμᾶς ἀθρητέον, εἰ δοκεῖ, τοῦ λόγου τὴν δύναμιν· τίς τοῖς θεσπίσμασι τῶν ἐπὶ γῆς βασιλέων ἐξουσιαστικῶς ἐπιφύεται, καὶ παραλύειν ἐπιχειρεῖ τὰ διὰ τῆς τῶν κρατούντων συντεταγμένα ψήφου τε καὶ c γνώμης, εἰ μὴ ἄρα τις εἴη τυχὸν τῶν τὴν βασιλίδα περικειμένων τιμήν τε καὶ δόξαν; τόπον γὰρ ἐν ἐκείνοις οὐκ ἔχει τῆς παρανομίας τὰ ἐγκλήματα. τοιγάρτοι καὶ σοφὸν ἔφη
Hiob xxxiv.18. λόγιον "Ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς." κατὰ τίνα τοιγαροῦν ἄρα τρόπον τε καὶ λόγον, τὸ μόνῃ πρέπον ἀξίωμα τῇ θείᾳ φύσει τοῖς ἑαυτοῦ μαθηταῖς περιέθηκεν ὁ Σωτήρ; ἀλλ' οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος ὁ ἐν Πατρὶ Λόγος, ἔδρα δὲ τοῦτο καὶ σφόδρα καλῶς. ᾤετο γὰρ δεῖν τοὺς τὸ θεῖόν τε καὶ δεσποτικὸν ἔχοντας ἐν ἑαυτοῖς ἤδη Πνεῦμα, καὶ τοῦ διαφεῖναι τάς τινων ἁμαρτίας εἶναι κυρίους, καὶ ὧνπερ ἂν d βούλωνται κρατεῖν, τοῦ ἐνοικισθέντος αὐτοῖς Ἁγίου Πνεύματος ἀφιέντος τε καὶ κρατοῦντος κατὰ βούλησιν οἰκείαν, κἂν δι' ἀνθρώπων τελῆται τὸ πρᾶγμα τυχόν.

Ἀφιᾶσι γεμὴν ἁμαρτίας ἤτοι κατέχουσιν οἱ πνευματοφόροι κατὰ δύο τρόπους, κατά γε διάνοιαν ἐμήν. ἢ γὰρ καλοῦσιν ἐπὶ τὸ βάπτισμα τοὺς οἷς ἂν ἤδη καὶ τούτου τυχεῖν ὠφείλετο διὰ τὴν τοῦ βίου σεμνότητα καὶ τὸ δεδοκι-

6. κρατεῖτε p. κεκράτηντε E. 9. τισι om. p. 14. ψόφου (sic) E. 19. πρέποντες E. 23. ἑαυτῷ (sic) p. 24. διαφεῖναι habent p. Cord. 27. τελοῖτο a. 30. οἷς] + περ a.

μασμένον εἰς πίστιν, ἢ διακωλύουσί τινας καὶ τῆς θείας χάριτος ἐξείργουσιν ἔτι οὔπω τέως γεγονότας ἀξίους· ἢ καὶ καθ' ἕτερον τρόπον ἀφιᾶσί τε καὶ κρατοῦσιν ἁμαρτίας, ἐπιτιμῶντες μὲν ἁμαρτάνουσι τοῖς τῆς Ἐκκλησίας τέκνοις, μετανοοῦσι δὲ συγγινώσκοντες, καθάπερ ἀμέλει καὶ Παῦλος τὸν ἐν Κορίνθῳ πορνεύσαντα παρεδίδου μὲν "εἰς ὄλεθρον 1 Cor. v. 5. *"τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ," προσίετο δὲ αὖθις, ἵνα μὴ "τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ," καθάπερ αὐτὸς ἐπιστέλλων φησί.* 2 Cor. ii. 7. *ὅτε τοίνυν τὸ Πνεῦμα Χριστοῦ γεγονὸς ἐν* a **1102 A.** *ἡμῖν τὰ μόνῳ Θεῷ πρέποντα πληροῖ, πῶς οὐκ ἂν εἴη κατὰ φύσιν Θεὸς, τὸ τῆς θείας φύσεως λαμπρὸν ἀξίωμα περικείμενον φυσικῶς, καὶ τῶν ἱερῶν κατεξουσιάζον νόμων;*

Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος δίδυμος, οὐκ ἦν 24
μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι 25
μαθηταί Ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς Ἐὰν b
μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ βάλω
τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων καὶ βάλω τὴν
χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

Τὰ ὑπερφερῆ τῶν θαυμάτων ἀεί πως ἔχει παρεπομένην τὴν ἀπιστίαν, καὶ ὅπερ ἂν τῶν δρωμένων τὸν τοῦ καθήκοντος ὑπερτρέχῃ λόγον οὐ λίαν ἐστὶ τοῖς ἀκροωμένοις εὐπρόσ- c *δεκτον· δυσωπεῖ δέ γε μόλις ἡ θέα πρὸς τοῦτο, καθάπερ ἐξ ἀνάγκης καὶ βίας ἕλκουσα πρὸς συναίνεσιν. τοιοῦτόν τι πεπονθὼς καὶ ὁ σοφώτατος Θωμᾶς, ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει τὴν τῶν ἑτέρων μαθητῶν ἀληθῆ μαρτυρίαν εὐχερῶς οὐ προσίεται, καίτοι τοῦ κατὰ Μωυσέα διειπόντος νόμου, δύο καὶ τριῶν ἐπὶ στόματος μαρτύρων ἅπαν σταθήσεται ῥῆμα.* Deut. xix. 15. *δοκεῖ δέ μοι μᾶλλον οὐ τοσοῦτον ἀπιστῆσαι* d *τοῖς εἰρημένοις ὁ μαθητὴς, ὅσον τῆς λύπης ἐλάσαι πρὸς*

1. *καὶ*] + *διὰ* (sic) p. 6. Non addunt *τῷ σατανᾷ* p. Cord. 9. *γεγονὸς* E. Migne. *γέγονεν* p. *γεγονὼς* Aub. 12. Hic des. *χρήσεις τῶν κατὰ ἰωάννου* in p. fol. 106. 16. *τῶν*] *τὸν* E.

αὐτὸ τὸ ἀκρότατον, ὅτι μὴ καὶ αὐτὸς τῆς τοῦ Σωτῆρος ἡμῶν ἠξιώθη θέας. ᾠήθη γὰρ ἴσως ἀμοιρήσειν αὐτῆς παντελῶς. οἶδε γὰρ ζωὴν ὄντα κατὰ φύσιν τὸν Κύριον, καὶ οὐκ ἀνικάνως ἔχοντα πρὸς τὸ καὶ αὐτὸν διαδρᾶναι τὸν θάνατον, καὶ τὸ τῆς φθορᾶς καταλῦσαι κράτος· ὃς γὰρ ἑτέρων τοῦτον ἐξήλασε, πῶς οὐκ ἂν μᾶλλον ἀπέστησε τῆς ἰδίας σαρκός; ἐκ πολλῆς δὲ ἄγαν τῆς περιχαρείας, ἐγγὺς ἀπιστίας γίνεται, καὶ μονονουχὶ γοργόν τι καὶ μέγα πηδήσας, ἰδεῖν τε ἤδη παρόντα ποθεῖ, καὶ πληροφορεῖσθαι τελείως ὅτι περ ἀνεβίω
Supra xvi. 16. e πάλιν, κατὰ τὴν παρ' αὐτοῦ γενομένην ὑπόσχεσιν. "Τεκνία" γὰρ, ἔφασκεν ὁ Σωτὴρ, "μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ
Ib. 22. "πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ χαρήσεται ὑμῶν ἡ καρ-"δία." οἶμαι δὲ δὴ πάλιν οἰκονομικώτατα σφόδρα τὴν τοῦ μαθητοῦ γεγονέναι πρὸς καιρὸν ὀλιγοπιστίαν, ἵνα διὰ τῆς αὐτοῦ πληροφορίας καὶ ἡμεῖς οἱ μετ' αὐτὸν ἀνενδοιάστως πιστεύωμεν ὅτι τὴν σάρκα τὴν ἐπὶ τοῦ ξύλου κρεμαμένην καὶ παθοῦσαν τὸν θάνατον ἐζωοποίησεν ὁ Πατὴρ δι' Υἱοῦ. διὸ
Rom. x. 9. καὶ Παῦλός φησιν "Ὅτι ἐὰν εἴπῃς ἐν τῷ στόματί σου ὅτι "Κύριος Ἰησοῦς, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς
1103 A. a "αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ." ἐπειδὴ γὰρ οὐχ ἡ τῆς σαρκὸς φύσις αὕτη γέγονε πρόξενος τῆς ζωῆς, ἐνεργείᾳ δὲ μᾶλλον τῆς θείας τε καὶ ἀῤῥήτου φύσεως τὸ πρᾶγμα τετέλεσται, ᾗ καὶ τὸ δύνασθαι τὰ πάντα ζωογονεῖν ἐνυπάρχει φυσικῶς· ἐνεργὸς ὁ Πατὴρ δι' Υἱοῦ καὶ εἰς τὸν θεῖον ἐκεῖνον γέγονε ναὸν, οὐχ ὡς ἀσθενοῦντος τοῦ Λόγου τὸ ἴδιον ἀναστῆσαι σῶμα, ἀλλ' ὅτι πᾶν ὅπερ ἂν ἐργάσηται τυχὸν ὁ Πατὴρ, ἐργάσεται δι' Υἱοῦ· δύναμις γάρ ἐστιν αὐτοῦ, καὶ ὅπερ ἂν ὁ Υἱὸς ἐπιτελῇ, τοῦτο δὴ πάντως ἐστὶ παρὰ τοῦ
b Πατρός. παιδευόμεθα τοίνυν, ὀλιγοπιστήσαντος ἠρέμα τοῦ μακαρίου Θωμᾶ, ὅτι τὸ τῆς ἀναστάσεως μυστήριον περὶ τὸ γήϊνον ἡμῶν ἐνεργεῖται σῶμα καὶ ὡς ἐν ἀπαρχῇ τοῦ γένους ἐν Χριστῷ, καὶ οὔτε φάσμα ἦν ἢ σκιὰ κατά τινας, τὸ ἀνθρώ-

3. γὰρ E. μὲν γὰρ Ed. 25. τοῦ om. E.

*πινον πλαττομένη σχῆμα, καὶ τῆς ἡμετέρας ἰδέας ψευδομένη
τοὺς χαρακτῆρας, οὔτε μὴν, ὡς ἑτέροις ἔδοξεν ἀσυνέτως
εἰπεῖν, σῶμα πνευματικὸν, τουτέστι λεπτομερές τε καὶ ἀερῶ-
δες καὶ ἕτερόν τι παρὰ τὴν σάρκα. δοκεῖ γὰρ οὕτω τισὶ* c
*νοεῖν τε καὶ δέχεσθαι τὸ πνευματικόν. ἐπειδὴ δὲ ὅλος ἡμῶν
τῆς ἐλπίδος ὁ λόγος καὶ ἡ τῆς ἀνεγκλήτου πίστεως δύναμις
μετὰ τὴν ὁμολογίαν τῆς ἁγίας καὶ ὁμοουσίου* Τριάδος *εἰς
τὸ περὶ τῆς σαρκὸς μυστήριον τέτραπταί τε καὶ βλέπει,
χρησιμώτατα λίαν καὶ αὐτὸ δὴ τουτὶ τοῖς ὀπίσω κεφαλαίοις
συντέταχεν ὁ μακάριος* Εὐαγγελιστής. *θέα γὰρ ὅπως οὐχ
ἁπλῶς ἰδεῖν ἐπιθυμεῖ τὸν* Κύριον *ὁ* Θωμᾶς, *ζητεῖ δὲ τοὺς
τύπους τῶν ἥλων, τουτέστι, τὰ περὶ τὴν σάρκα γεγονότα* d
*τραύματα. πιστεύσειν γὰρ οὕτως εὖ μάλα διισχυρίζεται καὶ
συναινέσειν τοῖς ἄλλοις, ὅτιπερ ἀληθῶς ἀνεβίω* Χριστός·
*ἀνεβίω δὲ δηλονότι κατὰ τὴν σάρκα. τὸ γάρ τοι τεθνηκὸς
παλινδρομεῖν ἂν εἰκότως νοοῖτο πρὸς ζωὴν, καὶ περὶ ὃ γέ-
γονεν ὁ θάνατος, περὶ ἐκεῖνο δὴ πάντως καὶ ἡ ἀνάστασις.*

Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἔσω ἦσαν οἱ μαθηταὶ αὐτοῦ, καὶ 26
Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλει- e
σμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν Εἰρήνη ὑμῖν. εἶτα 27
λέγει τῷ Θωμᾷ Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς
χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν
μου, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός.

Ἐπέλαμψε πάλιν τοῖς ἑαυτοῦ μαθηταῖς παραδόξως ὡς
Θεός. *οὐ γὰρ δὴ καθ' ἡμᾶς ἀνοιγνύναι τὰς θύρας αὐτῷ διε-
κελεύσατο πρὸς τὸ ἔσω βαδίζοντι, τὸν δὲ τῇ τοῦ πράγματος
φύσει πρέποντα μονονουχὶ καὶ ἀτιμάσας λόγον, εἴσω τε
γέγονε τῶν θυρῶν καὶ κατὰ μέσην ἀδοκήτως ἀναφαίνεται* a **1104 A.**
*τὴν ἑστίαν, τὸν ἴσον ὡς ἔοικε τοῦ θαύματος τρόπον καὶ
αὐτῷ δωρούμενος τῷ μακαρίῳ* Θωμᾷ. *ἔδει γὰρ ἔδει φαρ-
μάκου τῷ μάλιστα πεπονθότι καὶ βραχυτέρῳ περὶ τὴν πίστιν.*

5. *ὅλος* F. Ed. mg. *ὅλως* E(e sil.). Ed. 22. *βάλλε* E. 30. *αὐτῶν* E.

κέχρηται δὲ λόγῳ τῷ διὰ γλώττης αὐτῷ καὶ συνήθει πάλιν, καὶ τὸ τῆς εἰρήνης ἀγαθὸν σεμνὴν ἐποίησατο πρόσρησιν εἰς τύπον ἡμέτερον, καθάπερ ἤδη προείπομεν. καταπλαγείη δ᾽ ἄν τις εἰκότως καὶ τὴν ἐν τούτοις ἀκρίβειαν, φημὶ δὴ τοῖς προκειμένοις. ἀκριβὴς γὰρ οὕτω γέγονεν ἡ ἐπιτήρησις τῷ
b τὸ βιβλίον συντεθεικότι, καὶ σπουδαιοτάτην οὕτως ἐποιήσατο τὴν ἐπιτήρησιν, ὡς μὴ ἁπλῶς εἰπεῖν ὅτι πεφανέρωκεν ἑαυτὸν ὁ Χριστὸς, τοῖς ἁγίοις δὲ δηλονότι μαθηταῖς, ἀλλ᾽ ὅτι μεθ᾽ ἡμέρας ὀκτὼ, καὶ τοῦτο συνηγμένοις. τὸ γὰρ εἰς οἶκον ἕνα συγκεκομίσθαι τοὺς πάντας, τί ἂν εἴη ἕτερον παρὰ τοῦτο; οὐκοῦν ἐκεῖνό φαμεν διὰ τὴν ἀκριβῆ ταύτην καὶ ἀξιάγαστον ἐπιτήρησιν, ὅτι τῶν συνελεύσεων, ἤτοι συνάξεων, τῶν ἐφ᾽
c ἑαυτῷ τὸν καιρὸν φανερὸν ἡμῖν ἐτίθει καὶ διὰ τοῦτο Χριστός. ἐπιφοιτᾷ γὰρ πάντως καὶ τρόπον τινὰ συναυλίζεται τοῖς δι᾽ αὐτὸν συνηγμένοις, κατὰ τὴν ὀγδόην μάλιστα, τουτέστι τὴν κυριακήν· ἀναλογισώμεθα γὰρ, εἰ δοκεῖ· ποτὲ μὲν ὤφθη τοῖς ἑτέροις μαθηταῖς, ποτὲ δὲ αὖ πάλιν αὐτοῖς ἐπιφαίνεται παρόντος Θωμᾶ. γέγραπται τοίνυν ἐν τοῖς ὀπίσω βραχὺ
Supra ver. 19. "Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, "καὶ τῶν θυρῶν κεκλεισμένων, ἔστη εἰς τὸ μέσον." σύνες δὴ οὖν ὅπως τῇ μιᾷ τῶν σαββάτων, τουτέστι, τῇ τῶν σαββάτων
d κυριακῇ συνηγμένοις ἐφάνη τοῖς μαθηταῖς, καὶ πάλιν οὐδὲν ἧττον κατὰ τὴν ἑξῆς ὀγδόην ἐπιλάμψας ὁρᾶται. οὐ γὰρ ἐπειδήπερ εἴρηκε μεθ᾽ ἡμέρας ὀκτὼ, τὴν ἐννάτην αὐτὸν σημαίνειν ὑποληψόμεθα, συμπεριλαβὼν δὲ τῷ ἀριθμῷ καὶ αὐτὴν τὴν ὀγδόην, καθ᾽ ἣν ἐπεφάνη, τὰ τοιαῦτά φησιν.

Εὐλογώτατα τοιγαροῦν τὰς ἁγίας συνόδους ἐν ταῖς ἐκκλησίαις ποιούμεθα κατὰ τὴν ὀγδόην. καὶ εἰ χρή τι καὶ μυστικώτερον εἰπεῖν, διὰ τὴν τῶν νοημάτων ἀπαραίτητον χρείαν,

6. βιβλίῳ (pro more) E. 13. τούτου E. 15. τὴν alt. om. E. 16. ἀναλογισάμεθα E. 17. ἑτέροις] σφετέροις E. 19. τῇ ἡμέρᾳ et ante et post ἐκείνῃ exhibet E. 21. τῶν σαββάτων alt. om. E. 27—p. 145, 19 citat Nicetae in S. Lucam pars ultima in Bibl. βατοπαιδίου Montis Sancti 76. Est scriptum in margine fol. 421 v. manu aliquantum recentiori. Codex ipse sec. xii. exaratus.

ἀποκλείομεν μὲν τὰς θύρας, ἐπιφοιτᾷ δὲ καὶ ἐπιφαίνεται c πᾶσιν ἡμῖν ὁ Χριστὸς, ἀοράτως τε καὶ ὁρατῶς· ἀοράτως μὲν ὡς Θεὸς, ὁρατῶς δὲ πάλιν ἐν σώματι. ἐπιτρέπει δὲ καὶ δίδωσι τῆς ἁγίας αὐτοῦ σαρκὸς ἀποθίγειν. πρόσιμεν γὰρ κατὰ χάριν Θεοῦ τῇ μεθέξει τῆς μυστικῆς εὐλογίας, εἰς χεῖρας δεχόμενοι τὸν Χριστὸν, ἵνα καὶ ἡμεῖς ἀραρότως πιστεύσωμεν ὅτι τὸν ἴδιον ἀληθῶς ἤγειρε ναόν. ὅτι γὰρ ἡ κοινωνία τῆς μυστικῆς εὐλογίας ὁμολογία τίς ἐστι τῆς ἀναστάσεως τοῦ Χριστοῦ, σαφὲς ἂν γένοιτο, καὶ μάλα ῥᾳδίως, δι' ὧν αὐτὸς ἔφη τὸν τοῦ μυστηρίου τύπον ἐπιτελέσας δι' a **1105 A** ἑαυτοῦ· διακλάσας γὰρ τὸν ἄρτον, καθὰ γέγραπται, διεδίδου, λέγων "Τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν διδόμενον "εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνη-"σιν." [S. Luc. xxii. 19. S. Matth. xxvi. 28.] ἔστι τοίνυν ὁμολογία τις ἀληθὴς καὶ ἀνάμνησις τοῦ τεθνάναι τε καὶ ἀναβιῶναι δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὸν Κύριον, τῶν ἁγίων μυστηρίων ἡ μέθεξις πρὸς τὸ καὶ θείας ἡμᾶς εὐλογίας ἀναπίμπλασθαι διὰ τοῦτο. παραιτώμεθα b τοίνυν ὡς ὀλέθριόν τι χρῆμα τὴν ἀπιστίαν καὶ μετὰ τὸ ἅψασθαι τοῦ Χριστοῦ, πιστότατοι δὲ μᾶλλον καὶ βέβαιον ἔχοντες εὑρισκώμεθα φρόνημα.

Διαμεμνήσθω δὲ πάλιν ὁ φιλομαθὴς, ὅτι Μαρίαν μὲν τὴν Μαγδαληνὴν ἀπεῖργε τῆς ἁφῆς, σαφέστατα λέγων "Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα·" [Supra ver. 17.] Θωμᾷ γεμὴν ἐπιτρέπει καὶ τὴν πλευρὰν ψηλαφῆσαι, καὶ [Ib. 25.] τοὺς τύπους τῶν ἥλων δακτύλῳ περιεργάζεσθαι. καὶ διὰ ποίαν αἰτίαν, εἴρηται μὲν ἤδη σαφῶς, ἀναμνήσω δὲ οὐδὲν c ἧττον, τὸ μῆκος τῶν λόγων ἐπιτεμών. τῇ μὲν γὰρ οὔπω καιρὸς ἐδίδου τὸ ἅψασθαι, διὰ τὸ μήπω τῇ τοῦ Πνεύματος ἡγιάσθαι χάριτι· σὺν ἡμῖν γὰρ ὄντος ἔτι τοῦ Χριστοῦ, καὶ οὔπω πρὸς τὸν ἐν τοῖς οὐρανοῖς ἀναβεβηκότος Πατέρα, τὴν τοῦ παρακλήτου κάθοδον οὐκ ἦν ἐν ἀνθρώποις τετελειωμένην

4. τοῖς ἁγίοις E. 15. καὶ alt. om. Nik. 16. τὸ Nik. τῷ Ed.
17. διὰ τοῦτο παραιτώμεθα (omittens τοίνυν) Nik. 21. μαριὰμ E.
22. μαγδαλινὴν (ut supra 1089 d) E. 23. Πατέρα] + μου Ed. invito E.

ἰδεῖν· τῷ δὲ ἦν ἤδη καὶ τοῦτο πρέπον, ὡς ὁμοῦ τοῖς ἄλλοις τὸ Πνεῦμα πλουτήσαντι. ὡς γὰρ ἤδη φθάσαντες εἴπομεν, οὐκ ἐπείπερ ἀπελείφθη, διὰ τοῦτο τοῦ Πνεύματος ἀμέτοχος
d ἦν. ἐξετείνετο γὰρ καὶ εἰς αὐτὸν ἡ τοῦ διδόντος φιλοτιμία, ὅλῳ τῷ πληρώματι τῶν ἁγίων μαθητῶν ἀπονεμηθείσης τῆς δωρεᾶς.

Οἶμαι δὲ δεῖν ἐπὶ τούτοις ἐρευνῆσαι κἀκεῖνο. ἐψηλάφησεν ὁ Θωμᾶς τὴν τοῦ Σωτῆρος πλευρὰν, καὶ τὰ ἐκ τῆς λόγχης τῆς στρατιωτικῆς ἐζήτησε τραύματα· εἶδε τοὺς τύπους τῶν ἥλων. εἶτα πῶς, ἐρεῖ τις τυχὸν, ἐν τῷ ἀφθάρτῳ σώματι τὰ τῆς φθορᾶς διεφαίνετο σημεῖα; φθορᾶς γὰρ σωματικῆς ἀπόδειξιν ἔχει, καὶ χειρῶν καὶ πλευρᾶς ἔτι μένουσά τε καὶ σωζομένη διάτρησις, καὶ τραυμάτων ἰδέαι καὶ ἀποκεντήσεων
e τῶν διὰ σιδήρου γεγενημένων, καίτοι τοῦ πρὸς ἀφθαρσίαν ἀναπλασθέντος σώματος ὁ ἀληθής τε καὶ ἀνυπαίτιος λόγος εἰς τὸ χρῆναι βλέπει συναποδύσασθαι τῇ φθορᾷ καὶ πάντα τὰ ἐξ αὐτῆς. ἆρα γὰρ εἴ τις χωλεύοι τυχὸν ἀναβιώσεται πάλιν τὴν τοῦ ποδὸς ἤτοι τοῦ σκέλους πήρωσιν ἔχων; εἰ δὲ καὶ ὀφθαλμοὺς ἀπολωλεκώς τις εἴη κατὰ τόνδε τὸν βίον, ἆρα τοῦ βλέπειν ἔρημος ἐγερθήσεται; πῶς οὖν ἔτι, φαίη τις ἂν, ἀπεσεισάμεθα τὴν φθορὰν, εἰ τὰ ἐξ αὐτῆς ἔτι σώζεται πάθη, καὶ τῶν ἡμετέρων κατακρατεῖ σωμάτων; καὶ ζη-
1106 A. a τήσεως μὲν ἀναγκαίας ἀμοιρεῖν οὐκ οἶμαι τὸν ἐπὶ τούτῳ λόγον, πλὴν ἐκεῖνό φαμεν ταῖς τῶν προκειμένων ἀπορίαις, καθόσον ἐνδέχεται, συνειπεῖν σπουδάζοντες, ὅτι κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν οὐδὲν ἐν ἡμῖν περιλειφθήσεται φθορᾶς τῆς ἐπεισάκτου λείψανον, ἀλλ' ὥσπερ ὁ σοφὸς ἔφη Παῦλος περὶ τοῦδε
1 Cor. xv. 43. τοῦ σώματος, τὸ ἐσπαρμένον "ἐν ἀσθενείᾳ ἐγείρεται ἐν δυνάμει," καὶ τὸ ἐσπαρμένον "ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δόξῃ." τί δ' ἂν ἕτερον εἴη τυχὸν τὸ ἐν δυνάμει καὶ δόξῃ τὴν τοῦδε

7—p. 147, 16 citat Severus in Epistola: est Syriace in Cod. Brit. Mus. (Add. 17200) fol. 33 v. 11–14 citat Severus contra Jul. Hal. in Cod. ejusdem Brit. Mus. (Add. 12158) fol. 124 v: partim quoque est in collectione testimoniorum (Add. 14532) fol. 59. 12. πλευρᾶς] ποδῶν collectio cit. sed πλευρᾶς habet Severus. 19. ὀφθαλμοὺς E. Sev. ὀφθαλμὸς Ed. 21. τις assumptum ex E. 30. γὰρ pro δ' Sev.

τοῦ σώματος ἀνάστασιν ἔσεσθαι προσδοκᾶν, εἰ μὴ ὅτι b πᾶσαν ἀποβεβληκὸς ἀσθένειάν τε καὶ ἀτιμίαν τὴν ἀπὸ φθορᾶς καὶ παθῶν, εἰς τὴν ἐξ ἀρχῆς ἀναδραμεῖται ποίησιν; πεποίηται γὰρ οὐκ ἐπὶ θανάτῳ καὶ φθορᾷ. ἐπειδὴ δὲ πρὸς πληροφορίαν σαφῆ καὶ τοῦτο ἐζήτησεν ὁ Θωμᾶς, ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς πρόφασιν οὐδεμίαν ταῖς ἡμετέραις ὀλιγοπιστίαις ἐνδιδοὺς, ὡς ἐζήτησεν ἰδεῖν, οὕτω καὶ φαίνεται, ἐπείτοι καὶ εἰς αὐτὸν ἀναβαίνων τὸν οὐρανὸν, καὶ γνωρίζων ταῖς ἄνω δυνάμεσιν, ἀρχαῖς τε καὶ ἐξουσίαις, c καὶ τοῖς τῶν ἀγγελικῶν ταγμάτων προεστηκόσι καὶ προεδρεύουσι, τοῦ καθ' ἑαυτὸν μυστηρίου τὴν δύναμιν, ἐν αὐτῷ δὴ τούτῳ διεφαίνετο πάλιν τῷ σχήματι, ἵνα δὴ καὶ ὄντως ἄνθρωπόν τε γενέσθαι δι' ἡμᾶς πιστεύσειαν τὸν ἐκ Πατρός τε καὶ ἐν Πατρὶ Λόγον, καὶ εἰδεῖεν ὅτι τοσαύτην ποιεῖται τῶν ἰδίων κτισμάτων τὴν πρόνοιαν, ὡς καὶ τῆς ἡμετέρας προτεθνάναι ζωῆς. ὑπὲρ δὲ τοῦ σαφεστέραν γενέσθαι τοῖς ἀκροωμένοις τοῦ λόγου τὴν δύναμιν, αὐτὰ παραθήσω τὰ διὰ d φωνῆς Ἡσαΐου περὶ τούτων αὐτῶν εἰρημένα. λέγει τοιγαροῦν "Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ, ἐρύθημα ἱματίων Es. lxiii. 1. "αὐτοῦ ἐκ Βοσόρ;" ἀλλ' οἱ ταῦτα βοῶντες καὶ λέγοντες, φημὶ δὴ τό Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ, τουτέστιν ἐκ γῆς, ἄγγελοι καὶ δυνάμεις εἰσὶ λογικαί· ἀναβαίνοντα γὰρ θαυμάζουσιν εἰς οὐρανοὺς τὸν Κύριον. μόνον δὲ οὐχὶ τῷ ἰδίῳ πεφοινιγμένον αἵματι βλέποντες, λέγουσι πρὸς αὐτὸν, οὔπω συνέντες τὸ μυστήριον "Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, Ib. 2. "καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;" οἴνῳ γὰρ e μάλιστα τῷ νέῳ καὶ ἄρτι πεπατημένῳ τὴν τοῦ αἵματος εὔχροιαν παραβάλλουσι. καὶ τί πρὸς αὐτοὺς ὁ Χριστός; πρῶτον μὲν ἵνα νοῆται κατὰ φύσιν ὑπάρχων Θεός "Ἐγὼ," Ib. 1. φησὶ, "διαλέγομαι δικαιοσύνην," τό Διαλέγομαι πάλιν, ἀντὶ

7. ἐζήτησεν E. Sev. ἐξήτησεν Ed. 26—p. 148, 10. Haec citat Catena pulcherrima in quatuor prophetas in bibl. S. Laurentiae Florentina (Plut. v. 9) sec. x. fol. 117 v, sub titulo κυρίλλου ἐκ τοῦ κατὰ λουκᾶν εὐαγγελίου. 27. πεπατημένῳ] + ἐν τῷ ληνῷ Cat. cit.

τοῦ διδάσκω τιθείς. ὁ δὲ διδάσκων δικαιοσύνην, πῶς οὐκ ἂν νοοῖτο νομοθέτης ὁμολογουμένως· εἰ δὲ νομοθέτης, πῶς οὐχὶ πάντως καὶ Θεός; εἶτα πρὸς αὐτὸν οἱ ἄγγελοι λέγουσι,
1107 A. a τοὺς τύπους τῶν ἥλων καὶ αὐτοῖς ὥσπερ ἐπιδεικνύντος
Zach. xiii. 6. Χριστοῦ "Τί αὗται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σου;" πρὸς αὐτοὺς δὲ ὁ Κύριος "Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου." οἶκος γὰρ ὢν ἀγαπητὸς ὁ Ἰσραὴλ ἔπληξεν ἥλοις καὶ λόγχῃ τὸν Κύριον. τὰ γὰρ τῶν στρατιωτῶν τολμήματα ταῖς Ἰουδαίων κεφαλαῖς εἰκότως ἂν ἐπιγράφοιτο. προσήγαγον γὰρ αὐτοὶ τῷ παθεῖν τὸν Κύριον. ὅτε τοίνυν καὶ
b αὐτοὺς ἐθελήσας πληροφορῆσαι Χριστὸς τοὺς ἁγίους ἀγγέλους, ὅτι καὶ ἄνθρωπος γέγονεν ἀληθῶς, καὶ ὅτι τὸν ὑπὲρ ἡμῶν ὑπέμεινε σταυρὸν, ἐγήγερται καὶ ἀνεβίω πάλιν ἐκ νεκρῶν, οὐχὶ μόνοις ἠρκέσθη λόγοις, ἀλλὰ τὰ τοῦ πάθους ἔδειξε σημεῖα· τί τὸ θαυμαστὸν ἢ ξένον, εἰ καὶ αὐτὸν τὸν μακάριον ἀπαλλάξαι τῆς ἀπιστίας θελήσας Θωμᾶν, τοὺς τύπους ἔδειξε τῶν ἥλων, καὶ παρ᾽ αὐτὸ τὸ εἰκὸς ὀφθεὶς διὰ τὸ πᾶσι συμφέρον, καὶ ἵνα τὸ τῆς ἀναστάσεως πεπρᾶχθαι μυστήριον ἀναμφιλόγως πιστεύωμεν, οὐχ ἑτέρου τινὸς ἐγη-
c γερμένου σώματος, ἀλλὰ τοῦ παθόντος τὸν θάνατον;

28 Ἀπεκρίθη αὐτῷ Θωμᾶς καὶ λέγει αὐτῷ Ὁ κύριός μου καὶ ὁ Θεός μου.

Ὀξὺς εἰς ὁμολογίαν ὁ ἄρτι βραδὺς περὶ τὸ χρῆναι πιστεύειν αὐτῷ, ἐν ὀλίγῳ δὲ παντελῶς τεθεράπευται καιρῷ. ὀκτὼ γὰρ ἡμέραι διαγεγόνασι μόναι, καὶ τὰ τῆς ὀλιγοπίστιας διακωλύματα κατηργήθη παρὰ Χριστοῦ, τούς τε τῶν ἥλων τύπους καὶ αὐτὴν ἐπιδείξαντος τὴν πλευράν. ἀλλ᾽ ἴσως τις
d πρὸς τοῦτο ἐρεῖ Τί γὰρ, εἰπέ μοι, διὰ τῆς οὕτω λεπτῆς

1. *τίθησιν* Cat. cit. 3. *μᾶλλον* pro *πάντως* Cat. cit. 6. *τοῦ ἀγαπητοῦ* Cat. cit. cf. supra 463 c et in xii Proph. 415 d, Ep. ad Acac. Scythop. de capro emissario 129 b. *τῷ ἀγαπητῷ* E prius script. Ed. cf. in xii Proph. ad loc. et comm. 790 d. *τῶν ἀγαπητῶν* correxit manus eadem in E. 7, 8. *οἶκος—Κύριον*] *οἶκος γὰρ ἀγαπητὸς ὁ τοῦ Ἰσραὴλ, ἐν ᾧ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔπληξαν ἥλοις καὶ λόγχῃ* Cat. cit. 9. *αὐτοὶ* et *προσήγαγον* inter se transponit Cat. cit. 12. *τῶν* pro *τὸν* E. 15. *ἢ ξένον εἰ*] *καὶ ξένον ἢ* E. 27. *ἐπιδείξας* E.

ζητήσεως καὶ ἀκριβεστάτης ἐρεύνης ὁ τῶν ἁγίων μαθητῶν ἔρχεται νοῦς; οὐ γὰρ ἐξήρκεσεν ἂν εἰς ἀπόδειξιν τοῦ ἐγηγέρθαι τε κατ' ἀλήθειαν ἐκ νεκρῶν, καὶ ἐπιγνωσθῆναι τὸν Κύριον, ἡ τοῦ σώματος ὄψις, ὁ τοῦ προσώπου χαρακτὴρ, τῆς ἡλικίας τὸ μέτρον; καὶ τί πρὸς τοῦτό φαμεν; οὐκ ἐλευθέραν ἐνδοιασμοῦ τὴν διάνοιαν εἶχον οἱ θεσπέσιοι μαθηταὶ, καίτοι τεθεαμένοι τὸν Κύριον. ᾤοντο μὲν γὰρ οὐκ ἐκεῖνον αὐτὸν ὑπάρχειν κατὰ ἀλήθειαν τὸν πάλαι συνόντα τε αὐτοῖς καὶ συνδιαιτώμενον, καὶ ἐπὶ ξύλου κεκρεμασμένον, πνεῦμα e δὲ μᾶλλον πρὸς τὴν τοῦ Σωτῆρος εἰκόνα διαπεπλασμένον ἀστείως, καὶ μορφῆς ἧς ᾔδεσαν τὰ ἴχνη ψευδόμενον. κατώλισθον γεμὴν εἰς τὸ οὕτω φρονεῖν, οὐκ ἀφορμῆς τινος δίχα τῆς εἰς τοῦτο καλούσης εὐλόγως. ἐπειδὴ δὲ τῶν θυρῶν κεκλεισμένων παραδόξως εἰσήλασε, τοῦ γεώδους καὶ παχυτέρου σώματος τὴν ἀποχρῶσαν αὐτῷ ζητοῦντος εἴσοδον, καὶ τὸ τοσοῦτον ἀνευρύνεσθαι τὰς τῶν δωματίων εἰσβολὰς ἀναγκάζοντος, ὅσον τὸ ἑκάστου μέγεθος ἔχει· τοιγαροῦν καὶ a **1108 A.** σφόδρα χρησίμως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, ἀπεγύμνωσε μὲν τῷ Θωμᾷ τὴν πλευρὰν, τὰ δὲ ἐν τῇ σαρκὶ τραύματα καθίστη διαφανῆ, πάντας δι' ἐκείνου πληροφορῶν. μόνου μὲν γὰρ τοῦ ἁγίου Θωμᾶ φέρεται λόγος "Ἐὰν μὴ "βάλω τὰς χεῖράς μου καὶ ἴδω τοὺς τύπους τῶν ἥλων, καὶ "βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πι"στεύσω," ἀλλ' ἦν πως ἅπασι κοινὰ τὰ τῆς ὀλιγοπιστίας ἐγκλήματα, καὶ τῶν ἄλλων μαθητῶν οὐκ ἔξω θορύβου τὸν νοῦν εὑρήσομεν, καίτοι καὶ αὐτῶν λεγόντων τῷ ἁγίῳ Θωμᾷ b "Ἑωράκαμεν τὸν Κύριον." ὅτι δὲ τῆς ἀληθείας ἡμῖν ὁ λόγος οὐκ ἐξοίχεται, χαλεπὸν οὐδὲν ἐκμαθεῖν δι' ὧν ἔφη περὶ τούτων ὁ θεῖος ἡμῖν Λουκᾶς "Ταῦτα γὰρ αὐτῶν λα"λούντων, φησὶν, ἔστη ἐν μέσῳ αὐτῶν·" αὐτὸς δὲ δηλονότι Χριστός· "καὶ λέγει αὐτοῖς Εἰρήνη ὑμῖν. πτοηθέντες δὲ "καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν. καὶ εἶπεν

Supra ver. 25.

Ib.

S. Luc. xxiv. 36–43.

3. κατὰ E. 6. τὴν assumptum ex E. 16. τὸ om. E.
22. χεῖρας] οἶμαι τὸν δάκτυλόν μου F mg. τόπους E.

“ αὐτοῖς Τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ c “ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; ἴδετε τὰς χεῖράς μου “ καὶ τοὺς πόδας μου, ὅτι ἐγώ εἰμι αὐτός. ψηλαφήσατέ με “ καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ “ θεωρεῖτε ἔχοντα. καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς “ χεῖρας καὶ τοὺς πόδας. ἔτι δὲ ἀπιστούντων αὐτῶν καὶ “ θαυμαζόντων ἀπὸ τῆς χαρᾶς εἶπεν αὐτοῖς Ἔχετέ τι βρώ- “ σιμον ἐνθάδε; οἱ δὲ ἐπέδωκαν αὐτῷ, φησὶν, ἰχθύος ὀπτοῦ “ μέρος καὶ ἀπὸ μελισσίου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν “ ἔφαγεν.” ὁρᾷς ὅπως ὁ τῆς ἀπιστίας ἐνδομυχεῖ λογισμὸς, d οὐκ ἐν μόνῳ τῷ μακαρίῳ Θωμᾷ, νοσεῖ δὲ τὸ πάθος καὶ τῶν ἑτέρων μαθητῶν ὁ νοῦς; ἰδοὺ γὰρ ἰδοὺ καὶ μετὰ τὴν θέαν τῶν ἐπὶ τῷ σταυρῷ τραυμάτων ὀλιγοπιστοῦντας ὁρῶν, ἀναπείθειν ᾤετο δεῖν καὶ δι' ἑτέρου πράγματος, κατ' οὐδένα μὲν τρόπον πνεύματι πρέποντος, ἀνήκοντος δὲ μᾶλλον ἰδικῶς τοῖς ἀπὸ γῆς σώμασι καὶ τῇ τῶν σαρκῶν φύσει. κατεδήδοκε γὰρ τὸ προκομισθὲν ἰχθύδιον, ἤτοι τὸ ἐξ αὐτοῦ μέρος. ἀνάγκης δὲ ὥσπερ ἔργον ἑκάτερον εἶναι δώσομεν. φθορᾶς γὰρ ὅλως σωζομένης οὐκέτι μετὰ τὴν ἀνάστασιν τῆς ἁγίας e μάλιστα σαρκὸς, ἐπείπερ ἀνεβίω πρὸς ἀφθαρσίαν, ἀλλ οὐδὲ τροφῆς τῆς συνήθους δεδεῆσθαι πεπιστευμένης, καθάπερ καὶ πρότερον, τύπους ἥλων ἐπέδειξε, καὶ τροφῆς μεταλαχεῖν οὐκ ἀνένευσεν, ἵνα τὸ μέγα τῆς ἀναστάσεως ῥιζώσῃ μυστήριον, καὶ τὴν ἐπὶ τούτῳ πίστιν ταῖς ἁπάντων ἡμῶν ἐμφυτεύσῃ ψυχαῖς. ἐργάζεται δὲ τὰ τῆς τῶν πνευμάτων φύσεως παντελῶς ἀλλότρια. τύποι γὰρ ἥλων, καὶ τραυμάτων ἴχνη, καὶ τροφῆς μέθεξις σωματικῆς, πόθεν ἂν ἢ πῶς ἐνυπάρχοι πνεύματι γυμνῷ τε παντάπασι καὶ ἀσυμπλόκῳ σαρκὶ, ᾗπερ **1109 A.** a ἂν πρέποι κατά γε τὸν λόγον τῆς ἰδίας φύσεως καὶ τὸ ἐν τούτοις γίνεσθαι φιλεῖν; οὐκοῦν ἵνα μὴ πνεῦμα λεπτὸν οἴωνταί τινες ἐγηγέρθαι τὸν Κύριον, μήτε μὴν ἀνέπαφον

18—p. 151, 4 citat collectio testimoniorum Syriace supra cit. e Cod. Mus. Brit. (Add. 14532) fol. 46 v. necnon ad ver. 25 infra Severus contra Julian. ex Bibl. eadem (Add. 12158) fol. 124 v. 24. τὴν assumptum ex E. τῶν pro ταῖς Migne.

σῶμα, σκιοειδές τε καὶ ἀέριον, ὅπερ ἔθος τισὶν ὀνομάζειν πνευματικὸν, ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ ἐσπαρμένον ἐν φθορᾷ (1 Cor. xv. 42) κατὰ τὴν τοῦ Παύλου φωνὴν διαναστὰν πιστεύηται, τὰ σώματι πρέποντα τῷ παχεῖ δέδρακέ τε καὶ δέδειχεν. ἀποδημήσει γεμὴν οὐκ ἀπὸ τοῦ πρέποντος λογισμοῦ τὸ εἰπεῖν ἐν ἀρχαῖς, οὐ τοσοῦτον ἀπιστῆσαι διὰ γνώμης ἀσθένειαν τὸν μακάριον μαθητὴν, ὅσον ἐκ περιχαρείας τῆς ἄγαν τοῦτο παθεῖν. ἀκηκόαμεν γὰρ τοῦ μακαρίου φάσκοντος Λουκᾶ καὶ b περὶ τῶν ἄλλων ἀπάντων ὅτι "ἀπιστούντων αὐτῶν καὶ (S. Luc. xxiv. 41) "θαυμαζόντων ἀπὸ τῆς χαρᾶς." οὐκοῦν τὸ θαυμάσαι, τὸ ἐπὶ τῇ πίστει βράδος τοῖς μαθηταῖς ἐνειργάζετο. ἐπειδὴ δὲ λοιπὸν ἀπροφάσιστος ἦν τοῖς ὁρῶσιν ἡ ἀπιστία, ἀκολούθως ὁ μακάριος Θωμᾶς ὀρθοτάτην ἐπ' αὐτῷ τὴν ὁμολογίαν ἐποιεῖτο λέγων Ὁ Κύριός μου καὶ ὁ Θεός μου. τῷ γὰρ κατὰ φύσιν Κυρίῳ καὶ τὸ κατὰ πάντων ἔχοντι κράτος παρέποιτο ἂν ἀληθῶς τε καὶ ὁμολογουμένως καὶ τὸ εἶναι Θεῷ ὥσπερ οὖν ἀμέλει καὶ τῷ κατὰ φύσιν Θεῷ προσὸν ὁρῷτο δὴ παντε- c λῶς καὶ τὸ τῶν ὅλων δύνασθαι κρατεῖν, καὶ τὴν τῆς κυριότητος ἀμπέχεσθαι δόξαν.

Ἐπιτηρητέον δὲ ὅτι μοναδικῶς καὶ συνάρθρως Ὁ Κύριός μου φησὶ καὶ ὁ Θεός μου. οὐ γὰρ ἁπλῶς ἔφη Κύριός μου καὶ Θεός μου, ἵνα μή τις οἴηται καθ' ὁμοιότητα τὴν ἡμετέραν ἤγουν τῶν ἁγίων ἀγγέλων κύριον αὐτὸν εἰρῆσθαι καὶ Θεόν· πολλοὶ γὰρ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς κύριοί τε καὶ (1 Cor. viii. 5) θεοὶ, καθάπερ ὁ σοφὸς ἡμᾶς ἐδίδαξε Παῦλος· ἀλλ' ἕνα Κύριον αὐτὸν ἰδικῶς καὶ Θεὸν, ὡς ἐκ τοῦ κατὰ φύσιν Κυρίου καὶ Θεοῦ γεννηθέντα Πατρός Ὁ Κύριός μου καὶ ὁ Θεός μου φησὶ, καὶ τὸ ἔτι μεῖζον εἰς παράστασιν ἀληθείας, d ἀκήκοε τοῦτο λέγοντος ὁ Σωτὴρ τοῦ ἰδίου μαθητοῦ, διακειμένου τε καὶ πεπιστευκότος ὅτι δὴ κατὰ ἀλήθειαν ὁ Κύριός τε αὐτὸς ὑπάρχοι καὶ ὁ Θεὸς, ἀλλ' ἐπιτιμᾶν οὐκ ᾤετο δεῖν.

2. ἐνσπαρμένον E. Voluitne ἐνεσπαρμένον? 4. πρέποντι (pro more) E. 17. τῷ E.F. Ed. mg. τὸ Ed. 21. ὁ assumptum ex E. 26. ἰδικῶς] γρ. εἰδὼς Ed. mg. sed praeter rem ut vid. ἰδικῶς habet F. 27. γεννηθέντος (pro more) E.

οὐκοῦν ἐπῄνει πεπιστευκότα, καὶ λίαν ὀρθῶς. ἴδοις δ᾽ ἂν τοῦτο ὑπάρχον ἀληθὲς, καὶ μάλα ῥᾳδίως. πρὸς γὰρ τὸν οὕτω πεπιστευκότα καὶ διακείμενον, ἐπὶ τέλει τοῦ εὐαγγελίου φησί

S.Matth. xxviii. 19. "Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη." εἰ δὲ οὕτως ἔχοντα γνώμης πάντα τὰ ἔθνη διδάσκειν κελεύει, καὶ μυσταγωγὸν αὐτὸν ἀνέδειξεν οἰκουμενικὸν, οὐχ ἑτέραν ἡμᾶς ἔχειν βούλεται τὴν πίστιν. Κύριος γὰρ ὄντως ἐστὶ κατὰ φύσιν καὶ Θεὸς καὶ ὅτε γέγονεν ἄνθρωπος. κατανόει γὰρ ὅτι χεῖράς τε καὶ πόδας καὶ πλευρὰν ψηλαφήσας ὁ μαθητὴς προσκεκόμικεν αὐτῷ τὴν ὁμολογίαν, οὐκ εἰς υἱῶν δυάδα διατεμὼν τὸν Ἐμ-

1110 A. a μανουὴλ, ἀλλ᾽ ἕνα καὶ τὸν αὐτὸν ἐπιγινώσκων μετὰ σαρκός· εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς.

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

Οἰκονομικώτατος σφόδρα τοῦ Σωτῆρος ὁ λόγος, καὶ πλείστην ὅσην ἡμῖν τὴν ὄνησιν ἐμποιεῖν ἱκανός. προενόησε γὰρ οὐ μετρίως κἀν τούτῳ τῶν ἡμετέρων ψυχῶν, ἐπείπερ

1 Tim. ii. 4. ἐστὶν ἀγαθὸς καὶ "πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ "εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν," κατὰ τὸ γεγραμμένον. τὸ δέ γε τοῦ θαύματος αἴτιον ἐκεῖνό ἐστιν. ἔδει μὲν γὰρ ἀνεξι-

b κακῆσαι συνήθως ἐκεῖνο λέγοντι τῷ Θωμᾷ, ἀλλὰ καὶ τοῖς ἑτέροις σὺν αὐτῷ μαθηταῖς, οἰηθεῖσιν ὅτι πνεῦμά ἐστι καὶ φάντασμα, ἐπιδεῖξαί τε καὶ μάλα προθύμως εἰς πληροφορίαν οἰκουμενικὴν καὶ τύπους τῶν ἥλων καὶ τῆς πλευρᾶς τὴν διάτρησιν, οὐδὲν δὲ ἧττον καὶ παρὰ τὸ εἰωθὸς αὐτὸ, καὶ τὴν χρείαν καὶ τροφῆς μεταλαχεῖν, ἵνα μηδεμία παντελῶς περιλείπηται πρόφασις καλοῦσα πρὸς ἀπιστίαν τοὺς διὰ τῶν τοιούτων ὠφελεῖσθαι ζητήσαντας. ἀλλ᾽ ἦν ἀναγκαῖον οὐ μικροῦ τινος ἀξιῶσαι λόγου καὶ τὴν εἰς ἡμᾶς ἀσφάλειαν.

c ἔδει πρὸς ἐκείνῳ καὶ τὸ ἕτερον ἰδεῖν, φημὶ δὴ τὸ μηδαμόθεν εὐκόλως κατασύρεσθαι πρὸς ἀπιστίαν τοὺς ἐν τοῖς ἐφεξῆς

28. ζητήσαντες E. 30. δὲ pro δὴ Migne. τὸ alt.] τὸν E.

ἐσομένους καιροῖς. ἦν γὰρ δή τινας εἰκὸς ἔξω τῆς εὐθείας ἰόντας ὁδοῦ, καὶ νόθην εὐλάβειαν ἐξ ἀμαθίας ἐπιτηδεύοντας ἀποπέμπεσθαι τὴν πίστιν, οὐ προσίεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν, ἥκειν τε εἰς μέσον κατ' ἐκεῖνον ἡμῖν ἐροῦντας τὸν ἀπιστήσαντα μαθητήν "Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ (Supra ver. 25.) "τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν "πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω." εἶτα τίς ἂν αὐτοῖς πληροφορίας ἔτι διαρκὴς ἐγένετο τρόπος, οὐκ ὄντος μὲν ἐπὶ γῆς σωματικῶς ἔτι Χριστοῦ, ἀναβεβηκότος δὲ μᾶλλον εἰς d οὐρανούς; πῶς δὲ οὐκ ἂν ὑπωπτεύθησαν ἔσθ' ὅτε τὰ τοιαῦτα λέγειν ὀρθῶς, ὅτε ζηλοῦντες ἐφαίνοντο τοῦ Σωτῆρος τὸν μαθητὴν, καὶ ὡς ἄριστόν τι χρῆμα τὸ μὴ πιστεῦσαι προχείρως ἐπιλεξάμενοι, ἐξαιτεῖν δὲ μᾶλλον πρὸς πληροφορίαν ἀσφαλῆ διετείνοντο τὰ καὶ αὐτοῖς τοῖς ἁγίοις ἐπιδειχθέντα μαθηταῖς; ἀνασειράζει τοιγαροῦν ὁ Χριστὸς καὶ τὴν ἐν τοῖς τοιούτοις ἐσομένην ἔσθ' ὅτε καταδρομὴν, καὶ περιστέλλει τὸν ὄλισθον. ᾔδει γὰρ ᾔδει Θεὸς ὑπάρχων ἀληθινὸς τὴν τοῦ διαβόλου φιλοκακοῦργον γνώμην, καὶ τὸ εἰς ἀπάτην εὐμήχανον. διὸ μακαρίους ἀποφαίνει τοὺς καὶ δίχα τοῦ ἰδεῖν πιστεύοντας· θαυμάσιοι γὰρ ὄντως. καὶ διὰ ποίαν αἰτίαν; τοῖς μὲν γὰρ ἐν ὄψει κειμένοις οὐδαμόθεν ἀμφίλογος ὀφείλεται πίστις· τὸ γὰρ ἐνδοιάζειν ὅλως ἀναπεῖθον οὐδέν. ὃ a **1111 A.** δὲ μὴ τεθέαταί τις εἰ παραδέξαιτο, καὶ ἀληθὲς εἶναι πιστεύσειεν ὅπερ ἂν εἰς ὦτα διακομίσειαν τοῦ μυσταγωγοῦντος οἱ λόγοι, ἀξιολογωτάτῃ τετίμηκε πίστει τὸν κηρυττόμενον. ἕψεται τοίνυν ὁ μακαρισμὸς παντὶ τῷ πιστεύοντι διὰ τῆς τῶν ἁγίων ἀποστόλων φωνῆς, οἳ καὶ αὐτόπται καὶ θεωροὶ τῶν κατορθωμάτων γεγόνασι καὶ ὑπηρέται τοῦ λόγου, καθά φησιν (S. Luc. i. 2.) ὁ Λουκᾶς· οἷς καὶ προσέχειν ἡμᾶς ἀναγκαῖον, εἰ τῆς αἰωνίου ζωῆς καθεστήκαμεν ἐρασταὶ, καὶ τὸ ἐν ταῖς ἄνω μοναῖς b αὐλίζεσθαι περὶ πολλοῦ ποιεῖσθαι σπουδάζομεν.

6. Adnotat F rubrice in mg. οὐκ ἦν ἐν τῷ ἀντιγράφῳ καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων. 9. ἀναβεβηκότα E. 14. ἐπιδειχθέντες E. 21. ὄψει—ὀφει- omittit ἀσφαλῆ—τοῖς ἁγίοις e supra repetens E.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον
τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ
31 τούτῳ. ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν
ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν αἰώνιον
ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

c Ἀνακεφαλαιοῦται τρόπον τινὰ τὴν ἰδίαν συγγραφὴν, ἐμφανῆ τε τοῖς ἀκροωμένοις τὸν τῶν εὐαγγελικῶν κηρυγμάτων σκοπὸν ἐργάζεται. ἵνα γὰρ πιστεύσητέ φησι καὶ πιστεύσαντες ἔχητε τὴν αἰώνιον ζωὴν, συνετέθη ταυτί· πολλὰ δὲ εἶναί φησι τὰ σημεῖα, καὶ οὐ μέχρι τῶν αὐτῷ καὶ μόνῳ διεγνωσμένων τε καὶ εἰρημένων τὰ τοῦ Σωτῆρος ἡμῶν ἵστησι κατορθώματα καὶ τὰς παραδόξους ἐνεργείας, ἀπονέ- d μει δὲ ὥσπερ καὶ τοῖς ἑτέροις εὐαγγελισταῖς ἅπερ ἂν αὐτοῖς διὰ μνήμης ἴοι τῆς ἀκριβοῦς παρακομίζειν, εἰ βούλοιντο. γέγραπται γὰρ οὐ πάντα, φησὶν, ἐν τῷ βιβλίῳ τούτῳ, ταυτὶ δὲ καὶ μόνα διὰ τῆς ἐμῆς ἐνετέθη φωνῆς, ἅπερ ἦν εἰκὸς ἐξαρκέσειν οὐ μετρίως πρὸς τὸ ἀναπεῖσαι δύνασθαι τοὺς ἀκροωμένους ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ.

Ταυτὶ μὲν οὖν ὁ θεσπέσιος Εὐαγγελιστής· ἐγὼ δὲ δὴ πάλιν οἰήσομαι δεῖν ἐκεῖνο φάναι χρησίμως. εἰ γὰρ ὅλη τῶν γεγραμμένων ἡ δύναμις τοιαύτην ἡμῖν ἐνεργάζεται πίστιν, e διακεῖσθαί τε καὶ σφόδρα καλῶς ἀναπείθει, ὡς ὁ γεννηθεὶς ἐκ τῆς ἁγίας παρθένου, ὃς καὶ ἐπεκλήθη Ἰησοῦς διὰ τῆς τοῦ ἀγγέλου φωνῆς (S. Luc. ii. 21.), αὐτὸς οὗτός ἐστιν ὁ διὰ τῆς θεοπνεύστου γραφῆς κηρυττόμενος Χριστός· αὐτὸς δέ ἐστιν οὗτος, καὶ οὐχ ἕτερος, οὐχ ἁπλῶς υἱὸς, ἀλλ' Ὁ Υἱὸς τοῦ Θεοῦ μοναδικῶς τε καὶ ἰδικῶς, τί δράσαιεν ἄρα, τί δὲ καὶ φθέγξαιντο, καὶ ποῖον ἕξουσι κρῖμα, κατὰ τὸν τῆς μεγάλης ἡμέρας καιρὸν, οἱ ἐξ ἀμαθίας διακρινόμενοι περὶ τὴν πίστιν, καὶ πρὸς τούτῳ διδάσκειν ἑτέρους ἐπιχειρήσαντες δύο νομίζειν εἶναι χριστούς;

4. ζωὴν ἔχητε (rubrice) F mg. 19. δὲ assumptum ex E. δὴ ad δὲ corrigit Migne. 27—p. 155, 2. Ab ἰδικῶς ad ἰδικῶς transilit E. 27. γρ. δράσειαν Ed. mg. δράσαιεν habet F. καὶ secundum assumptum ex F. Statim φθέγξαιντο F. Ed. mg. φθέγξαιτο Ed.

κατατέμνουσι γὰρ εἰς ἄνθρωπον ἰδικῶς καὶ εἰς Θεὸν Λόγον [a 1112 A.] ἰδικῶς καὶ μετὰ τὴν ἕνωσιν καὶ τὴν ἄφραστόν τε καὶ ἀπερινόητον παντελῶς πρὸς τὸ σῶμα σύνοδον. τοιγάρτοι πεπλάνηνται, καὶ πόῤῥω που τῆς ἀληθείας ἐρχόμενοι τὸν ἀγοράσαντα [2 S. Pet. ii. 1.] αὐτοὺς Δεσπότην ἠρνήσαντο. τὸν μὲν γὰρ τῆς φύσεως ἐξετάζοντες λόγον, ὅταν τι νοῶμεν περὶ Χριστοῦ, ἑτέραν οὖσαν τὴν σάρκα παρὰ τὸν ἐκ Πατρός τε καὶ ἐν Πατρὶ Θεὸν Λόγον εὑρίσκωμεν· τὴν δὲ τῆς συνόδου τῆς πρὸς αὐτὸν κατασκεπτόμενοι δύναμιν, βασανίζοντές τε κατὰ τὸ [b] ἐγχωροῦν τὸ ἐξαίσιον τουτὶ καὶ ὑπὲρ νοῦν μυστήριον, ὡς ἕν τι μετὰ τῆς ἰδίας σαρκὸς νοοῦμεν τὸν Λόγον, οὐκ εἰς σάρκα μεταβεβλημένον· οὐ γὰρ τοῦτό φαμεν, ἔστι γὰρ ἄτρεπτός τε καὶ ἀναλλοίωτος καὶ τροπῆς ἁπάσης ἀνεπίδεκτος παντελῶς ἡ τοῦ Λόγου φύσις· ἀλλ' ὅτι κατὰ τὴν ἁγίαν ἡμῶν καὶ θεόπνευστον γραφὴν, ἔκ τε τοῦ θείου ναοῦ ὁλόκληρον ἔχοντος τῆς ἀνθρωπότητος τὸν ὅρον, καὶ ἐκ τοῦ ζῶντος Λόγου νοούμενος, εἷς ἐστι λοιπὸν ὁ Ἰησοῦς καὶ Χριστὸς καὶ [c] Υἱός. νοῆσαι δ' ἂν τοῦτο αὐτὸ καὶ ἐφ' ἡμῶν ἀληθές τε ὑπάρχον καὶ οὕτως ἔχον τῇ φύσει. συγκείμεθα γὰρ εἰς ἕνα ἄνθρωπον τὸν ἐκ ψυχῆς καὶ σώματος, ἑτέρου μὲν ὄντος τοῦ σώματος, ἑτέρας δὲ αὖ τῆς ἐν τῷ σώματι ψυχῆς, κατά γε τὸν ἐφ' ἑκατέρῳ λόγον, πλὴν εἰς ἑνὸς ζῴου συνθεόντων ἀνάδειξιν, καὶ διαιρεῖσθαι τὸ παράπαν οὐκ ἀνεχομένων μετὰ τὴν εἰς ἄλληλα συμπλοκήν.

[d]

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς Κεφ. κα'.
ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐφανέρωσε δὲ οὕτως. ἦσαν 2
ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος δίδυμος καὶ
Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας καὶ οἱ υἱοὶ Ζεβεδαίου
καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. λέγει αὐτοῖς Σίμων 3
Πέτρος Ὑπάγω ἁλιεύειν· λέγουσιν αὐτῷ Ἐρχόμεθα καὶ ἡμεῖς

2. ἄφραστόν E. ἄῤῥητόν Ed. 8. γρ. εὑρίσκομεν Ed. mg. et ita prius scripsit E. εὑρίσκωμεν E ex corr. F. Ed. 9. αὐτὴν E. 22. ἀπόδειξιν E. 26. τιβηριάδος E. 28. υἱοὶ E (D. ℵ). υἱοὶ (τοῦ rubr.) F. τοῦ Ed.

e σὺν σοί. ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον καὶ ἐν ἐκείνῃ τῇ
4 νυκτὶ ἐπίασαν οὐδέν. πρωΐας δὲ ἤδη γενομένης ἔστη Ἰησοῦς
ἐπὶ τὸν αἰγιαλόν, οὐ μέντοι ἔγνωσαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς
5 ἐστι. λέγει αὐτοῖς ὁ Ἰησοῦς Παιδία, μή τι προσφάγιον ἔχετε;
6 ἀπεκρίθησαν αὐτῷ Οὔ. ὁ δὲ εἶπεν αὐτοῖς Βάλετε εἰς τὰ δεξιὰ
μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. οἱ δὲ εἶπον Δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ σῷ ὀνόματι βαλοῦμεν. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

1113 A. a *Ἐπιδαψιλεύεται πάλιν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἑαυτοῦ πολυεύκτου θέας τὴν ἀπόλαυσιν, καὶ τρίτην αὐτοῖς ἐφ' ἑτέραις ἤδη δυσὶ δωρεῖται τὴν ἐπιφοίτησιν, ἵνα δηλονότι βέβαιόν τε καὶ ἐν πίστει τῇ εἰς αὐτὸν ἀκλινῶς ἱδρυμένον ἐνεργάσηται φρόνημα. οἱ γὰρ οὐχ ἅπαξ, ἀλλ' ἤδη καὶ τρίτον τεθεαμένοι, πῶς οὐκ ὀλιγοπιστίας ἁπάσης τὸν οἰκεῖον ἀπαλλάξαντες νοῦν, καὶ τοῖς ἄλλοις ἅπασιν ἀκριβεῖς ἂν ἐγένοντο μυσταγωγοὶ τῶν τῆς εὐσεβείας*
b *δογμάτων; ἔξεισι τοίνυν ὁ Πέτρος ἁλιεύων τοῖς ἄλλοις ὁμοῦ· συνθέουσι γὰρ καὶ πρὸς τοῦτο βαδίζοντι, τάχα τι καὶ διὰ τούτων οἰκονομοῦντος χρήσιμον τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ. ἔφη μὲν γάρ που πρὸς αὐτούς, ὅτε τὸν τῆς μαθητείας ἐπετίθει ζυγὸν καὶ πρὸς τὴν τῆς ἀποστολῆς ἀξίαν*
S.Matth. iv. 19. *ἐκάλει "Δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς "ἀνθρώπων." ἵνα δὲ πάλιν αὐτοὺς ὡς ἐν τύπῳ πληροφορήσῃ παχεῖ, ὅτι δὴ πάντως τὸ εἰρημένον ἐκβήσεται, καὶ εἰς τὴν τῆς ἀληθείας ἐκτελευτήσει δύναμιν ἡ ὑπόσχεσις, ἐξ αὐτοῦ τοῦ μετὰ χεῖρας ὄντος ἐπιτηδεύματος ἀναπείθει σαφῶς. οἱ μὲν γὰρ μακάριοι μαθηταὶ τὰ ἐκ τῆς οἰκείας*
c *ἐνεργήσαντες τέχνης, ἰχθυοθῆραι δὲ ἦσαν, ἐπίασαν οὐδὲν,*

ἐ rubrice
1. ἀνέβησαν F. πλοῖον E.F. εὐθὺς rubrice exhibet F mg. unde πλοῖον εὐθὺς Ed.
εἰς rubrice
3. ἐπὶ F. 6. οὐ κεῖται ἐν ἄλλοις οἱ δὲ εἶπον—βαλοῦμεν adnotat F mg.
8. ὀνόματι] Legendum ut vid. ῥήματι ut bis in comm. 10. ὁ alt. om. E.
25. δὲ pro δὴ Migne.

καίτοι δι' ὅλης κεκοπιακότες τῆς νυκτός. πρωΐας δὲ ἤδη γενομένης, ἀρξαμένου δὲ ἤδη διαχεῖσθαι φωτὸς καὶ τῆς ἡλίου βολῆς, ἔστη Ἰησοῦς ἐπὶ τὸν αἰγιαλόν. οἱ δὲ οὐκ ᾔδεσαν μὲν, ὅτι περ αὐτός ἐστι. διερωτῶντι γεμὴν καὶ λέγοντι μὴ ἆρά τι τῶν εἰς τραπέζης τελούντων χρείαν εἴσω γέγονε δικτύων αὐτοῖς, οὐδὲν τὸ παράπαν εἰληφέναι φασίν. εἶτα κελεύει καθεῖναι τὸ δίκτυον εἰς μέρη τοῦ πλοίου τὰ δεξιά· οἱ δέ Καίτοι διὰ νυκτὸς ὅλης εἰκαίους τε καὶ ἀνονήτους δαπανήσαντες πόνους, ἐπὶ τῷ σῷ ῥήματι σαγηνεύσομεν, φασίν. οὗ δὴ d δρωμένου, τὴν τῶν ἀνελκόντων ἰσχὺν ἐβιάζετο λοιπὸν τῶν τεθηραμένων τὸ βαρός.

Ταυτὶ μὲν οὖν ἡμῖν ὁ θεσπέσιος Εὐαγγελιστὴς ἐξηγήσατο· ἐπειδὴ δὲ ἀρτίως ἐλέγομεν, ὡς διὰ πράγματος ἐναργεστάτου τε λίαν καὶ τετελεσμένου κατὰ ἀλήθειαν πεπληροφόρηκεν ὁ Σωτὴρ τοὺς ἁγίους ἀποστόλους ὅτι δὴ μέλλοιεν ἔσεσθαι κατὰ τὴν αὐτοῦ φωνὴν ἁλιεῖς ἀνθρώπων, φέρε μεθιστάντες, ὡς ἔνι, καλῶς εἰς ἀληθείας δήλωσιν τὰ ὡς ἐν τύπῳ πεπληρωμένα, τοῖς τοῦ Σωτῆρος λόγοις μαρτυρήσωμεν τὴν ἀλήθειαν, ἕκαστα δὲ τῶν γεγονότων κατά γε τὸ ἐγχωροῦν διαπτύξαντες, παραθῶμεν τοῖς ἐντευξομένοις θεωρίας πνευματικῆς οὐ μετρίας, ὡς ἐγῷμαι, τὰς ἀφορμάς· "Δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώ- Prov. ix. 9.
"ριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι." οἶμαι τοίνυν ὅτι τὸ διὰ νυκτὸς μὲν ὅλης ἁλιεῦσαι τοὺς μαθητὰς, μὴ μὴν ἑλεῖν τι παντελῶς, εἰκαίους δὲ ἀνατλῆσαι πόνους, σημαίνει a **1114 A.** τι τοιοῦτον, ὅτι τοῖς τῶν ἀρχαιοτέρων διδασκάλων κηρύγμασιν οὐδένα τὸ παράπαν ἀναπεπεισμένον εὑρήσομεν, καὶ εἰς τὸ τελείως ἀρέσκον τῷ Θεῷ σεσαγηνευμένον, ἢ ὀλίγους κομιδῇ. ἐν ἴσῳ δὲ τῷ μηδενὶ τὸ σφόδρα βραχὺ, ὅταν ἐκ πολλοῦ μάλιστα λαμβάνηται. πολὺς δὲ δὴ λίαν ὁ κατὰ πᾶσαν τὴν οἰκουμένην ἄνθρωπος νοεῖται πρεπόντως. τί οὖν

3. ἔστη] + ὁ E. 17. ὡς alt. assumptum ex E. 25. τι assumptum ex E. 30. δὴ om. E.

ἄρα τὸ διακωλῦσαν καὶ ἐμποδὼν εὑρεθὲν, ὃ καὶ τῶν ἀρχαιο-
b τέρων τὸν πόνον εἰκαῖον ἐτίθει; τί δὲ καὶ ἄκαρπον ὥσπερ αὐτοῖς ἀπετέλει τὸ κήρυγμα; νὺξ ἦν καὶ σκότος ἔτι καὶ νοητή τις ἀχλὺς καὶ δαιμονιώδης ἀπάτη τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἐνιζάνουσα, καὶ τὸ θεῖον ὄντως καὶ ἀληθὲς ἰδεῖν
Ps. xiii. 1, 3. οὐκ ἐφιεῖσα φῶς. οὐ γὰρ ἦν ὁ ποιῶν χρηστότητα, κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, οὐκ ἦν ἕως ἑνὸς, ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. εἰ δὲ καὶ τεθήρευτό πως διὰ Μωυσέως ὁ Ἰσραὴλ, ἀλλ' ἦν ἐν ἴσῳ τοῖς οὐδ' ὅλως τεθηρευ-
c μένοις, τὴν ἐν σκιαῖς καὶ τύποις ἐπιτηδεύων λατρείαν, καὶ τῷ τελειοῦντι μηδὲν παιδαγωγούμενος νόμῳ. ὅτι γὰρ ἀχρειοτάτην ὥσπερ καὶ ἀπῳδὸν τῷ Θεῷ τὴν ἐν τύποις λατρείαν εὑρήσομεν, εὔκολον ἰδεῖν ἐξ ὧν τὰς δι' αἱμάτων παρωθεῖται θυσίας καὶ πᾶν εἶδος προσαγωγῆς γεώδους τε καὶ σωματικῆς
Hier. vi. 20. "Ἵνα τί γάρ μοι, φησὶ, λίβανον ἐκ σαβᾶ φέρετε καὶ κιννάμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν με."

Καὶ ταῦτά φαμεν, οὐ τὴν πρώτην καὶ πάλαι δοθεῖσαν
d ἀτιμάζοντες ἐντολὴν, οὔτε μὴν τοῦ νόμου κατηγορεῖν ἐγνωκότες, ἐκεῖνο δὲ μᾶλλον τοῖς ἀκροωμένοις ἐθέλοντες ὑποδηλοῦν, ὅτι τοῦ πάντων Δεσπότου Θεοῦ πρὸς μόνον ὁρῶντος τῆς εὐαγγελικῆς πολιτείας τὸ κάλλος, καὶ οἱ διὰ νόμου τεθηρευμένοι πρὸς τὴν ἐν σκιαῖς καὶ τύποις ἀνόνητον λατρείαν ἐν ἴσῳ πως τέθειντο τοῖς οὔπω τεθηρευμένοις,
Heb. ix. 10. ἄχρις ἂν ὁ τῆς διορθώσεως ἐπιλάμψῃ καιρὸς, λέγοντος ἐν-
Supra xiv. 6. αργῶς τοῦ Χριστοῦ, ὅτε γέγονεν ἄνθρωπος "Ἐγώ εἰμι ἡ
e "ἀλήθεια." εἰ δὲ δεῖ τούτοις καὶ ἕτερόν τι ἐπειπεῖν, οὐκ ὀκνήσω διὰ τὸ χρήσιμον. οἱ πρὸς τὴν ἐκ νόμου μάθησιν κεκλημένοι διὰ Μωυσέως, καὶ αὐτὸν τὸν δοθέντα διαπτύσαντες νόμον καὶ μονονουχὶ πλατὺ γελῶντες κατὰ τῆς ἁγίας
S. Matth. xv. 9. ἐντολῆς, ἐτράποντο πρὸς διδασκαλίας ἐντάλματα ἀνθρώπων· κατώλισθον δὲ πρὸς τοῦτο σκληρᾶς καὶ ἀτέγκτου βουλῆς,

11. τελοῦντι Migne. νόμῳ E.F. Ed. mg. νόμος Ed. 23. τεθυρευμένοι E.

ὡς καὶ τὸν τῶν ἁγίων προφητῶν ἀτονῆσαι λόγον. τοιγάρτοι καὶ ἔκραζον "Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;" Ἱερε- Es. liii. 1. μίας δὲ πάλιν "Οἴμοι ἐγὼ, μῆτερ, ὡς τινά με ἔτεκες ἄν- Hier. xv. 10. "δρα δικαζόμενον καὶ δικαρινόμενον ἐν πάσῃ τῇ γῇ, οὔτε a 1115 A. "ὠφέλησα, οὔτε ὠφέλησέ με οὐδείς· ἡ ἰσχύς μου ἐξέλιπεν "ἐν τοῖς καταρωμένοις με." πῶς οὖν οὐκ ἐν ἴσῳ τεθεῖσθαι δοίη τις ἂν τοῖς μηδόλως τεθηρευμένοις τὸν ἀπειθῆ καὶ δυσήνιον Ἰσραὴλ, ὅτε καὶ αὐτὸν τὸν διορισθέντα διὰ Μωυσέως πεπάτηκε νόμον; ὅτι δὲ καὶ αὐτὴ τῶν ἐθνῶν ἡ πληθὺς ἀσαγήνευτός τε ἦν ἔτι, καὶ τῆς τῶν θείων μαθημάτων περιβολῆς ἔξω μένουσα παντελῶς, οὐδενὸς ἂν ἡμῖν πρὸς ἀπόδειξιν δεήσαι λόγου. ἐκείνοις οὖν ἄρα σκότος ἦν ἐν καρδίᾳ καὶ νὺξ διαβολικὴ, τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐξείργουσα b φῶς. οὐκοῦν δι' ὅλης ὡς ἔπος εἰπεῖν κοπιάσαντες τῆς νυκτὸς, ἰχθύων ἔτι χηρεύουσαν τὴν σαγήνην εἶχον τὴν νοητὴν οἱ πρὸ τῆς ἐπιδημίας· πρωΐας δὲ γενομένης, τουτέστι, διαλελυμένης ἤδη τῆς διαβολικῆς ἀχλύος καὶ ἀνίσχοντος τοῦ φωτὸς τοῦ ἀληθινοῦ, δῆλον δὲ ὅτι Χριστοῦ, πυθομένου τε παρὰ τῶν κεκοπιακότων Μὴ ἄρα τι τῶν λίνων ἔχουσιν ἐντὸς, ὅπερ ἂν γένοιτο τροφὴ τῷ τὴν ἁπάντων ἡμῶν σωτηρίαν οἱονεὶ πεινῶντι Θεῷ· βρῶσιν γὰρ οἰκείαν ὠνόμασεν ἡ γραφὴ τὴν Supra iv. 34. Σαμαρειτῶν ἐπιστροφήν· ἐναργῶς τε τῶν ἐρωτωμένων διω- c μολογηκότων ὡς οὐδὲν τὸ παράπαν ἐστὶν αὐτοῖς, καθεῖναι πάλιν ἐπιτάττει τὸ δίκτυον εἰς τὰ τοῦ πλοίου δεξιά. καθῆκε μὲν γὰρ καὶ ὁ μακάριος Μωυσῆς τὸ τῆς ὑφηγήσεως λίνον, διὰ νομικοῦ δὲ δηλονότι γράμματος· ἀλλ' ἐγένετό πως ἐν εὐωνύμοις ἡ θήρα, νοουμένης ἐν δεξιᾷ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐντολῆς. μείζων γὰρ ἀσυγκρίτως καὶ ἀμείνων κατὰ πολὺ κατά τε τιμὴν καὶ δόξαν τῶν νομικῶν ἐνταλμάτων ἡ διὰ Χριστοῦ νοεῖται παίδευσις, ἐπεὶ καὶ τῶν τύπων προκείσεται πάντως ἡ ἀλήθεια, καὶ οἰκέτου Δεσπότης, καὶ τοῦ

5. οὔτε] οὔτ' E. 6. με assumptum ex E. 18. τε assumptum ex E. 21. πινῶντι E. 23. ἐκθεὶς pro καθεῖναι E. 27. θήρα E.F. Ed. mg. θύρα Ed.

d κατακρίνοντος γράμματος ἡ δικαιοῦσα τοῦ Πνεύματος χάρις. ἐν δεξιοῖς οὖν ἄρα στήσεται τὰ διὰ Χριστοῦ, τὴν ὑπεροχὴν ἡμῖν τὴν κατὰ νόμου καὶ προφητῶν τοῦ δεξιοῦ σημαίνοντος.

Ἀμελλητὶ τοιγαροῦν τοῖς τοῦ Σωτῆρος ἡμῶν διατάγμασιν ἀναπεπεισμένοι χαλῶσι τὸ δίκτυον οἱ θεσπέσιοι μαθηταί. σημαίνει δὲ καὶ τοῦτο ἡμῖν ὡς οὐχ ἑαυτοῖς τὴν τῆς ἀποστολῆς ἥρπασαν χάριν, ἀλλὰ τοῖς αὐτοῦ διατάγμασιν ἐπὶ τὴν
S.Matth. xxviii. 19. θήραν ἐξῆλθον τὴν πνευματικήν· "Πορευθέντες γάρ φησι "μαθητεύσατε πάντα τὰ ἔθνη·" καὶ αὐτοὶ δέ φασιν, ὡς ἐπὶ τῷ ῥήματι τοῦ Χριστοῦ χαλῶσι τὸ δίκτυον. σαγηνεύουσι γὰρ οὐχ ἑτέρως ἢ τοῖς τοῦ Σωτῆρος ἡμῶν ῥήμασι καὶ εὐαγγελικοῖς προστάγμασι. τῶν γεμὴν εἴσω δικτύων γεγονότων ἰχθύων πολύ τι τὸ πλῆθος ἦν, ὡς καὶ ἀνέλκειν αὐτὸ μηκέτι ῥᾳδίως δύνασθαι τοὺς μαθητάς. ἀναρίθμητοι γὰρ οἱ σεσαγηνευμένοι
1116 A. a καὶ πιστεύσαντες, καὶ τῆς τῶν ἁγίων ἀποστόλων ἰσχύος μεῖζόν τε ἤδη καὶ ὑπερτεροῦν ἀληθῶς τὸ ἐπὶ τούτῳ θαῦμα φαίνεται. Χριστοῦ γάρ ἐστιν ἡ ἐνέργεια, τὴν τῶν σωζομένων πληθὺν ἰδίᾳ δυνάμει συλλέγοντος καθάπερ εἰς λίνον ἀποστολικὸν τὴν ἐπὶ γῆς Ἐκκλησίαν.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ Ὁ
κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι,
b τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἔβαλεν ἑαυτὸν
8 εἰς τὴν θάλασσαν· οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον,
οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πήχεων διακο-
9 σίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. ὡς οὖν ἐπέβησαν ἐπὶ
τὴν γῆν βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικεί-
10 μενον καὶ ἄρτον· καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς Ἐνέγκατε ἀπὸ
11 τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. ἀνέβη οὖν Σίμων Πέτρος καὶ

5. δίκτυον] + σαγηνεύουσι γὰρ (ex infra) E. 6. καὶ om. E. 8. ἐξῆλθε E. 11. εὐαγγελικῆς (pro more) E. 12. δικτύου E. 18. ἀποστολικὸν E. ἀποστολικὴν Ed. 21. ὁ assumptum ex E. 25. γρ. ἀπέβησαν ᾳ rubrice rubrice F mg. 28. ἀνέβη E. ἐνέβη F. ἐνέβη Ed., nec ἀνέβη sine dubitatione edidi ipse. Statim οὖν suprascripsit F. Post hoc verbum ὁ addit E.

εἵλκυσε τὸ δίκτυον εἰς τὴν γῆν, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν c
πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον·
λέγει αὐτοῖς ὁ Ἰησοῦς Δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα 12
τῶν μαθητῶν ἐξετάσαι αὐτόν Σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός
ἐστιν. ἔρχεται ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν 13
αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. τοῦτο ἤδη τρίτον ἐφανερώθη 14
ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν. d

Ἑαυτὸν εἶναι πάλιν κἀνθάδε φησὶ τὸν ἀγαπώμενον μαθητὴν ὁ τόδε συνθεὶς τὸ βιβλίον. ἠγαπᾶτο δὲ λίαν, διὰ πλείστην ὡς ἐοικὸς ἀγχίνοιαν καὶ νοῦ καθαρότητα καὶ ὀφθαλμῶν καρδίας ὀξύτητα, ἐπιτηδείως τε ἔχειν εὖ μάλα πρὸς τὸ δύνασθαί τι συνιέναι γοργῶς. καὶ γοῦν προαρπάσας τῶν ἄλλων ἁπάντων τοῦ σημείου τὴν αἴσθησιν, ἔγνω παρόντα Χριστὸν, καὶ τοῖς ἑτέροις διαμεμήνυκεν, οὐδὲν ἐνδοιάσας ὅλως, ἀναφωνήσας δὲ μᾶλλον καὶ σφόδρα τεθαῤῥηκότως Ὁ Κύριός ἐστι. καὶ προεξάλλεται μὲν ὁ θεσπέσιος Πέτρος βραδυτέραν e *ἔσεσθαί πως καὶ τὴν διὰ σκάφους ἐννοήσας ἄφιξιν· θερμὸς γὰρ εἰς προθυμίας ἀεὶ, καὶ κεκινημένος πρὸς εὐτολμίαν καὶ ἀγάπην τὴν ἐπὶ Χριστῷ· ἕπονται δὲ καὶ οἱ λοιποὶ τῷ προὔχοντι ὁμοῦ τῷ πλοίῳ τὸ δίκτυον ἄγοντες. εἶτα θεωροῦσιν ἀνθρακιὰν κειμένην, παραδόξως καὶ πυρὰν ἀνακαύσαντος τοῦ Χριστοῦ καὶ ὀψάριον ἐνθέντος τῇ ἀῤῥήτῳ δυνάμει δηλονότι τεθηρευμένον, οἰκονομικῶς τε καὶ τοῦτο. οὐ γὰρ ἡ τῶν ἁγίων ἀποστόλων ἤρξατο χεὶρ, ἤτοι τὸ κήρυγμα τῆς ἐφ᾽ ἡμῶν νοουμένης ἄγρας πνευματικῆς, ἀλλ᾽ ἡ τοῦ Σωτῆρος ἰσχύς. ἐσαγήνευσε γὰρ πρῶτος, ὡς ἐν ἀπαρχῇ τῶν μελλόντων ἕνα, καὶ οὐχὶ δὴ πάντως ἕνα φαμὲν, διὰ δὲ τοῦ ἑνὸς τὸ μὴ* a **1117 A.** *σφόδρα πολλοὺς σημαίνεται· εἶτα μετὰ τοῦτο σαγηνεύουσιν οἱ μαθηταὶ τὸ πλῆθος, τοῖς αὐτοῦ πάλιν θεοπρεπεστάτοις νεύμασι καὶ εἰς τὸ δύνασθαί τι λαβεῖν τῶν ζητουμένων νευρούμενοι. ἀνέλκει γεμὴν τὴν σαγήνην ὁ Πέτρος, δι᾽ οὗ πάλιν*

1. *μεγάλων* om. E. 18. *προθυμίας* E. *προθυμίαν* Ed. *καὶ κινημένος* (=*κεκινημένος* sine *καὶ* praecedenti) E. 19. *τὴν* om. E.

ἔξεστι νοεῖν, τὸ μὴ ἀτέλεστον ἔσεσθαι τῶν ἁγίων ἀποστό-
λων τὸν πόνον. παρέστησαν γὰρ τῷ θηρᾶσθαι διατεταχότι
τῶν τεθηρευμένων τὸν ὄχλον, ὃς καὶ ἐν ἰχθῦσι σημαίνεται
b τὸν ἀριθμὸν ρνγʹ· τοῦ μὲν ἑκατὸν, ὥς γε μοι φαίνεται καὶ
δοκεῖ καλῶς ἔχειν, τὸ πλήρωμα τῶν ἐθνῶν σημαίνοντος·
πληρέστατος γὰρ ὁ ἑκατὸν ἀριθμὸς ἐκ δεκάδων δέκα συγκεί-
μενος, τοιγάρτοι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χρι-
S.Matth. xviii. 12. στὸς, ποτὲ μὲν ἑκατὸν εἶναί φησι τὰ ὑπάρχοντα αὐτῷ πρό-
βατα, τὸ τελείως ἔχειν ἐν ἀριθμῷ τὰ λογικὰ κτίσματα διὰ
Ib. xiii. 8. τούτου δηλῶν, ποτὲ δὲ γῆν τὴν ἀρίστην ρʹ καρποφορήσειν
c διισχυρίσατο, τὸ τέλειον εἰς εὐκαρποφορίαν τῆς ὁσίας ψυχῆς
διὰ τούτου σημαίνων· τοῦ δέ γε πεντήκοντα παρατιθέντος
εἰς νόησιν οἱονεὶ τὸ κατʼ ἐκλογὴν λεῖμμα χάριτος τῶν ἐξ
Ἰσραὴλ, ἐν ἡμίσει γὰρ τῶν ἑκατὸν τὰ πεντήκοντα, καὶ
λείπεται τοῦ τελείου πρὸς ἀριθμόν· τῶν δέ γε τριῶν εἰσκο-
μίζειν δυναμένων τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος ὡς ἐν
ἀριθμῷ μόνῳ τὴν δήλωσιν, ἧς εἰς δόξαν καὶ ἀκατάληκτον
εὐφημίαν, ἡ τῶν διὰ πίστεως τεθηρευμένων ἀναγράφεται
d ζωὴ καὶ νοεῖται συνεζευγμένως. Θεὸς γὰρ ἐν ὅλοις ἐστὶ τοῖς
πιστεύουσιν ἐγγὺς ἔχων, κατά γε τὸν ἐν ἁγιασμῷ νοούμενον
τρόπον, τοὺς τοῖς εὐαγγελικοῖς ἀναπεπεισμένους κηρύγμασιν.
ἐπειδὴ δὲ καὶ ἀνειλκύσθη τὸ δίκτυον, ἔφη πάλιν ὁ Κύριος
ἡμῶν τοῖς ἁγίοις μαθηταῖς Δεῦτε ἀριστήσατε, καὶ διὰ τούτου
δὲ δηλονότι δικάσκων, ὅτι μετὰ πόνους καὶ ἱδρῶτας τοὺς ἐπὶ
Cf. S. Luc. xiii. 29. τοῖς κεκλημένοις τε καὶ ἀνασεσωσμένοις, συνανακλιθήσον-
ται πάλιν αὐτῷ, κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος φωνὴν, καὶ
συνέσονται διὰ παντὸς, παρακειμένης αὐτοῖς τῆς ἀῤῥήτου
e τρυφῆς, πνευματικῆς δῆλον ὅτι θείας τε καὶ ὑπὲρ νοῦν τὸν
ἡμέτερον. μόνον δὲ οὐχὶ κατασημᾶναι βούλεται Χριστὸς
Ps. cxxvii. 2. τὸ ἐν ψαλμοῖς εἰρημένον ὅτι “ Τοὺς καρποὺς τῶν πόνων σου

10. καρποφορήσας E. 12. πεντήκοντα] + τάλαντα E. 13. -λογὴν λεῖμμα χάριτος om. (spatio 12 fere litt. relicto) E. 22. καὶ assumptum ex E. 23. Δεῦτε ἀριστήσατε om. (spatio 19 fere litt. relicto) E. 25. συνανακλιθήσεται E. 26. τὴν αὐτῷ E. 27. παρακειμένοις E. 28. τὸν καθʼ ἕτερον E. 30. γρ. ψαλτηρίῳ (sic) F mg.

“ *φάγεσαι.*” *οὐχ ἑαυτοῖς δὲ λαβόντες ἐσθίουσι, διαδίδωσι δὲ μᾶλλον αὐτοῖς ὁ Χριστὸς, ἵνα δὴ πάλιν ὡς ἐν τύπῳ μανθάνωμεν, ὅτι περ ἔσται καὶ κατ' ἐκεῖνο καιροῦ πάλιν αὐτὸς ὁ Χριστὸς τῶν θείων ἡμῖν χαρισμάτων ὁ χορηγὸς, καὶ τῶν ὠφελεῖν εἰωθότων διανομεὺς, ὡς Κύριος.*

Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς Σίμων 15
Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; λέγει αὐτῷ Ναὶ Κύριε, σὺ a 1118 A.
οἶδας ὅτι φιλῶ σε· λέγει αὐτῷ Βόσκε τὰ ἀρνία μου. λέγει 16
αὐτῷ πάλιν δεύτερον Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ
Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε· λέγει αὐτῷ Ποίμαινε τὰ
πρόβατά μου. λέγει αὐτῷ τρίτον Σίμων Ἰωνᾶ, φιλεῖς με; 17
ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον Φιλεῖς με· καὶ
εἶπεν αὐτῷ Συ οἶδας Κύριε πάντα· σὺ γινώσκεις ὅτι φιλῶ σε·
λέγει αὐτῷ ὁ Ἰησοῦς Βόσκε τὰ πρόβατά μου.

b

Προενήρξατο τῶν ἄλλων ὁ Πέτρος καὶ πρὸς αὐτὴν, ὡς ἐοικὸς, τὴν διὰ τοῦ σκάφους ὀλιγωρήσας ἄφιξιν, διὰ τὸ τῆς εἰς Χριστὸν ἀγάπης ἀσυγκρίτως θερμὸν καὶ ἀξιοζήλωτον. διὸ καὶ πρῶτος ἄνεισι καὶ ἕλκει τὸ δίκτυον· εὐπερίστροφος (Supra ver. 11.) *γὰρ ἀεί πως ἦν ἄνθρωπος, κεκεντρωμένος οὐ μετρίως εἰς τὴν ἐπὶ τὸ δρᾶσαί τε καὶ εἰπεῖν προθυμίαν. διὸ δὴ καὶ πρῶτος ὡμολόγει τὴν πίστιν, ὅτε δὴ πεῦσιν αὐτοῖς προσκεκόμικεν ὁ Σωτὴρ περὶ “ τὰ μέρη τῆς Φιλίππου Καισαρείας εἰπών Τίνα* c (S.Matth. xvi. 13.) *“ με λέγουσιν οἱ ἄνθρωποι τὸν υἱὸν τοῦ ἀνθρώπου;” εἰρηκότων γὰρ τῶν ἑτέρων, οἱ μὲν Ἡλίαν, οἱ δὲ “ Ἱερεμίαν ἢ* (Ib. 14.) *“ ἕνα τῶν προφητῶν·” προσερωτῶντος δὲ πάλιν καὶ λέγοντος τοῦ Χριστοῦ “ Ὑμεῖς δὲ τίνα με λέγετε,” προεξάλλεται* (Ib. 15.) *πάλιν τῶν ἄλλων ὁ κορυφαῖος καὶ τῶν ἄλλων προτεταγμένος, καί φησι “ Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ* (Ib. 16.) *“ ζῶντος.” καὶ μὴν καὶ ὅτε τῶν στρατιωτῶν ἡ σπεῖρα*

6. *ὁ Ἰησοῦς* om. E. 11. *τρίτον* E[C]. *τὸ τρίτον* Ed. 15. *αὐτὴν* E. *αὐτὸν* Ed. 19. *γὰρ ὅπως* E. 20. *τε*] *τι* E. 27. *ὡς* pro *τῶν ἄλλων ὁ* E. 29—p. 164, 2. *ὅτε—ἀφέντες* om. E.

d παρῆν τοῖς Ἰουδαίων ὑπηρέταις ἀναμὶξ πρὸς τὸ τοῖς ἄρχουσιν ἀποκομίσαι τὸν Ἰησοῦν, οἱ μὲν ἄλλοι "πάντες ἀφέντες "αὐτὸν ἔφυγον," κατὰ τὸ γεγραμμένον, Πέτρος δὲ τῇ μαχαίρᾳ τὸ τοῦ Μάλχου διέκοψεν ὠτίον. (S.Matth. xxvi. 56. Supra xviii. 10.) ᾤετο γὰρ δεῖν διὰ παντὸς ἐπαμύνειν τρόπου τῷ οἰκείῳ διδασκάλῳ, εἰ καὶ ἀπᾴδουσαν αὐτῷ παντελῶς ἐποιεῖτο τὴν ἐγχείρησιν. ἀφικομένῳ τοιγαροῦν τῶν ἄλλων γοργότερον προσάγει τὴν πεῦσιν, εἰ πλεῖον αὐτῶν ἀγαπᾷ, καὶ τοῦτο εἰς τρίτον γέγονε. συγκατανεύει δὲ Πέτρος καὶ ἀγαπᾶν ὁμολογεῖ, τῆς ἐνυπαρχούσης αὐτῷ διαθέσεως αὐτὸν εἶναι λέγων τὸν μάρτυρα· ἐφ' ἑκάστῃ e δὲ τῶν ὁμολογιῶν διαφόρως ἀκούει τῆς τῶν λογικῶν προβάτων ἔχεσθαι φροντίδος.

Οἶμαι δὲ ἔγωγε· χρῆναι γὰρ ὄντως φημὶ καὶ τὴν κεκρυμμένην ἐν τούτοις διερευνῆσαι διάνοιαν· οὐκ εἰκῇ γεγράφθαι καὶ ταῦτα, ὠδίνει δέ τι πάλιν ὁ λόγος, καὶ τῶν προκειμένων ὁ νοῦς ἔχει τι πάντως τὸ ἐνδομυχοῦν· ἢ γὰρ οὐκ ἐρεῖ τις εὐλόγως Μόνον ἐρωτᾷ τὸν Σίμωνα, καίτοι τῶν ἄλλων παρεστώτων μαθητῶν, διὰ ποίαν αἰτίαν; τί δ' ἂν βούλοιτο δηλοῦν τό Βόσκε τὰ ἀρνία μου, καὶ τὰ τούτοις ἀδελφά; **1119 A.** a φαμὲν οὖν ὅτι κεχειροτόνητο μὲν ἤδη πρὸς τὴν θείαν ἀποστολὴν ὁμοῦ τοῖς ἑτέροις μαθηταῖς ὁ θεσπέσιος Πέτρος· αὐτὸς γὰρ αὐτοὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἀποστόλους ὠνόμασε κατὰ τὸ γεγραμμένον· (S. Luc. vi. 13.) ἐπειδὴ δὲ πραχθῆναι συμβέβηκε τὰ τῆς Ἰουδαίων ἐπιβουλῆς, καί τι μεταξὺ διεπταίσθη καὶ γέγονεν· ἀκράτῳ γὰρ δείματι καταληφθεὶς ὁ θεσπέσιος Πέτρος ἠρνήσατο τρὶς τὸν Κύριον· θεραπεύει b τὸ πεπονθὸς, καὶ ἀνταπαιτεῖ ποικίλως τὴν εἰς τρίτον ὁμολογίαν, ἀντίσταθμον ὥσπερ ἐκείνῳ τοῦτο τιθεὶς καὶ ἀντίῤῥοπον τοῖς πταίσμασιν ἐξαρτύων τὴν ἐπανόρθωσιν. τὸ γὰρ λόγῳ διαπταισθὲν καὶ ἐν ψιλοῖς ἔχον ῥήμασι τῶν ἐγκλημάτων τὴν δύναμιν, κατὰ τὸν ἴσον δοίη τις ἂν ἀπολύεσθαι τρόπον.

5. ἐπαναμένειν E. 8. πλεῖον habet E. γέγονε E. γίνεται Ed. 12. ἔρχεσθαι E. 17–19. ἐρωτᾷ—μου om. E.

ἐξαιτεῖ δὲ εἰπεῖν, εἰ καὶ πλέον τῶν ἄλλων ἀγαπᾷ. καὶ γάρ τοι κατὰ ἀλήθειαν, ἅτε δὴ καὶ μείζονος ἀπολελαυκὼς ἀνεξικακίας, καὶ οἱονεὶ πλουσιωτέρᾳ χειρὶ τὴν τοῦ πλημμελήματος κομισάμενος ἄφεσιν, τῆς τῶν ἄλλων ἀγάπης μείζονα πῶς οὐκ ἂν εἰκότως συλλέξας ἐν ἑαυτῷ, ταῖς εἰς ἄκρον ἡκούσαις εὐνοίαις c τὸν εὐεργέτην ἠμείψατο; κοινὸν μὲν γὰρ ἅπασι τοῖς ἁγίοις μαθηταῖς τὸ τετράφθαι πρὸς φυγὴν, τῆς Ἰουδαίων ἀπανθρωπίας ἀφόρητον αὐτοῖς ἐντιθείσης τὸ δεῖμα, καὶ τῆς τῶν στρατιωτῶν ἀγριότητος τὸν ὠμὸν ἀπειλούσης θάνατον, ὅτε συλληψόμενοι παρῆσαν τὸν Ἰησοῦν· ἰδιαζόντως γεμὴν πρὸς τούτῳ συνέβη τὸ τοῦ Πέτρου πλημμέλημα, τὸ διὰ τῆς εἰς τὸ τρίτον ἀρνήσεως.

Οὐκοῦν, ὡς πλείονα τῶν ἄλλων τὴν ἄφεσιν κομισάμενος, ἐξαιτεῖται λέγειν εἰ καὶ πλεῖον ἀγαπᾷ· κατὰ γὰρ τὴν τοῦ d Σωτῆρος φωνὴν, ᾧ πολὺ ἀφίεται, πολὺ καὶ ἀγαπήσει. [S. Luc vii. 47.] τύπος δὲ πάλιν ταῖς μὲν ἐκκλησίαις ἐντεῦθεν εἰς τὸ χρῆναι τρίτον διερωτᾶν τὴν εἰς Χριστὸν ὁμολογίαν τοὺς ἀγαπᾶν αὐτὸν ἑλομένους, διὰ τοῦ καὶ προσελθεῖν τῷ ἁγίῳ βαπτίσματι. διδασκάλοις δὲ γνῶσις διὰ τῆς τῶν προκειμένων εἰσβέβηκε θεωρίας, ὡς οὐκ ἂν ἑτέρως εὐαρεστήσαιεν τῷ πάντων ἀρχιποιμένι, [Cf. 1 S. Pet. v. 4.] τουτέστι Χριστῷ, εἰ μὴ τῆς τῶν λογικῶν προβάτων εὐρωστίας καὶ τῆς εἰς τὸ εὖ εἶναι διαμονῆς ποιοῖντο φροντίδα. e τοιοῦτός τις ἦν ὁ θεσπέσιος Παῦλος, τοῖς ἀσθενοῦσι συνασθενῶν, [1 Cor. ix. 22.] καύχημα δὲ τῆς ἰδίας ἀποστολῆς καὶ χαρὰν καὶ στέφανον ὀνομάζων τοὺς δι' αὐτοῦ πιστεύσαντας, [Phil. iv. 1.] καὶ διὰ τῆς τῶν ἔργων λαμπρότητος εὐδοκιμεῖν ἑλομένους. ᾔδει γὰρ ᾔδει τῆς εἰς Χριστὸν τελείας ἀγάπης καρπὸν εἶναι τοῦτον ἐμφανῆ. λογισμῷ δὲ τοῦτο καλῷ τε καὶ ἀγαθῷ θεωρήσαι τις ἄν. εἰ γὰρ ἀπέθανεν ὑπὲρ ἡμῶν, πῶς οὐκ ἂν ἁπάσης ἠξίωσε φροντίδος τὴν ἁπάντων ἡμῶν σωτηρίαν καὶ ζωήν; καὶ

5. ἑαυτοῖς E. 12. τὸ assumptum ex E. 14. πλεῖον habet E. κατὰ E.F. Ed. mg. καὶ Ed. 19. διδασκάλοι E. 20. ἴσ. εὐαρεστήσειαν Ed. mg. εὐαρεστήσαιεν habet F. 25. πιστεύσασι E. 26. ᾔδει] ᾔδεται (sic) E.

1120 A. a εἴπερ ἀληθῶς εἰς Χριστὸν ἁμαρτάνουσιν οἱ "ἁμαρτάνοντες "εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν ἀσθενοῦσαν τὴν "συνείδησιν," πῶς οὐκ ἀληθὲς εἰπεῖν ὅτι περ εἰς αὐτὸν εὐσεβοῦσι τὸν Κύριον οἱ τῶν ἤδη πεπιστευκότων καὶ τῶν εἰς τοῦτο καλεῖσθαι προσδοκωμένων χειραγωγοῦντες τὸν νοῦν, καὶ διὰ πάσης αὐτοῖς ὠφελείας τὸ βέβαιον ἐν πίστει περιποιεῖν σπουδάζοντες; οὐκοῦν διὰ μὲν τῆς εἰς τρίτον ὁμολογίας τοῦ μακαρίου Πέτρου τὸ ἐν τριπλῷ γεγονὸς εἰς ἀπάρνησιν κατηργήθη πλημμέλημα· διὰ δὲ τοῦ φάναι τὸν Κύριον Βόσκε τὰ ἀρνία μου, ἀνανέωσις ὥσπερ τις τῆς ἤδη δοθείσης ἀποστολῆς αὐτῷ γενέσθαι νοεῖται, τὸν μεταξὺ λύουσα τῶν
b πταισμάτων ὀνειδισμὸν, καὶ τὴν ἐκ τῆς ἀνθρωπίνης ἀσθενείας μικροψυχίαν ἐξαφανίζουσα.

1 Cor. viii. 12.

18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλοι ζώσουσί σε καὶ ἀποίσουσί σε ὅπου
19 οὐ θέλεις· τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ Ἀκολούθει μοι.

c Χαριέντως δὴ σφόδρα καὶ λίαν ἀστείως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῷ οἰκείῳ μεμαρτύρηκε μαθητῇ τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον, καὶ τῆς εἰς ἄκρον ἡκούσης εὐσεβείας τε καὶ ὑπομονῆς τὸ καύχημα. εἰς τί γὰρ αὐτῷ τὰ τῆς ἀποστολῆς ἐκτελευτήσει ποτὲ διαγορεύει σαφῶς, καὶ ποῖον αὐτὸν τοῦ βίου διαδέξεται τέλος. προμεμήνυκε γὰρ ὅτι τις αὐτὸν καὶ εἰς ἀνεθέλητόν τινα χώραν ἀποκομιεῖ, τουτέστι, τὸν ἐν ᾧ κατέπηξαν τὸν σταυρὸν οἱ διώκοντες, ἤτοι τὴν εἰς αἷμα τιμωρίαν ἐπιθέντες αὐτῷ. ἀνεθέλητον δὲ τῷ Πέτρῳ τὸν τοῦ σταυροῦ τόπον εἶναί φησι. πάσχει γὰρ οὐδεὶς τῶν

10. *ἀνανεώσης* E. 11. *αὐτῶν* E. *νοῆται* E. 16. *ἀλλοὶ ζώσουσί* habet F. *καὶ ἀποίσουσί σε* om. E. 18. *αὐτοῖς* E. 20. *ὁ* om. E. *τῶν οἰκείων . . . μαθητῶν* E. 22. *αὐτῶν* E. 24. *γρ. αὐτοῦ* Ed. mg. *αὐτὸν* habet F. 25. *χωρὸν* E. 27. *τῶν πέτρων* (sic) E.

ἁγίων ἑκών. ἀλλ' εἰ καὶ πικρὸς ὁ θάνατος, ἔπεισί τε καὶ λίαν d ἀνεθελήτως αὐτοῖς, ἀλλά γε τῆς δόξης τῆς παρὰ Θεοῦ γλιχόμενοι καὶ τῆς ἐπιγείου καταφρονοῦσι ζωῆς. ἀποκομισθήσεσθαι τοιγαροῦν τὸν μακάριον Πέτρον προανεφώνησεν ὁ Χριστὸς εἰς ἀπᾳδοντά τε καὶ μεμισημένον τοῦ θανάτου τόπον. ἀλλ' οὐκ ἂν εἰς τοῦτο κατέληξε δόξης, οὐδ' ἂν ἐσταυρώθη διὰ Χριστὸν, εἰ μὴ τῆς τῶν λογικῶν προβάτων ἐπιμελείας ἠκολούθει τὰ ἐγκλήματα, καὶ τῆς εἰς Χριστὸν ἀγάπης ἐῤῥιζωμένην ἔχων τὴν δύναμιν ἐκάλει πρὸς εὐπείθειαν τοὺς ταῖς διαβολικαῖς ἀπάταις σεσαγηνευμένους πρὸς πλάνησιν. ἀπεκτόνασι γὰρ τὸν μακάριον Πέτρον οἱ καὶ τοῦτο δρᾶσαι τολμήσαντες, οὐχ ἑτέρας αἰτίας ἐπιγράφειν ἔχοντες αὐτῷ, μόνην δὲ τὴν εἰς Χριστὸν ἐγκαλοῦντες εὐσέβειαν. a **1121 A.** ἔστι τοίνυν καὶ διὰ τούτων ἰδεῖν, ὅτι χρησίμως τε καὶ ἀναγκαίως ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς προανεφώνησε τοῦ Πέτρου τὴν τελευτὴν, ἵνα δι' ὧν ἔμελλε παθεῖν κατασφραγίσῃ τρόπον τινὰ καὶ ἀληθὲς ἐπιδείξῃ τὸ πρὸς αὐτὸν εἰρημένον "Ναὶ, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε." τὸ γὰρ ὅλως (Supra ver. 16.) τελευτῆσαι διὰ τὸ κήρυγμα, πῶς οὐκ ἂν γένοιτο σαφής τε καὶ ἀναμφίλογος τοῦ φιλεῖν ἀπόδειξις, καὶ ὅτι τῆς τελείας ἀγάπης, φημὶ δὴ τῆς εἰς Χριστὸν, κατ' οὐδένα τρόπον ἀπελιμπάνετο; ἐπιλέγει γεμὴν οἷς ἔφη Χριστὸς τῷ Πέτρῳ τό b Ἀκολούθει μοι, δήλωσιν μὲν ἔχον, ὡς ἐν διανοίᾳ κοινῇ τῆς κατὰ μαθητείαν νοουμένης ἀκολουθήσεως, αἰνιγματωδῶς δὲ πάλιν ὑπεμφαῖνον κατά γε τὸ εἰκὸς ἕτερον οὐδὲν, ἢ ὅτι Κατ' ἴχνος ἔρχου κινδύνων τῶν ἐμῶν, καὶ τὴν αὐτὴν οἱονεὶ βαδίζων ὁδὸν, ἔργῳ τε καὶ λόγῳ τὰς τῶν κεκλημένων ὠφελήσας ψυχὰς, καὶ ἐπ' αὐτὸν ἰέναι κατόκνει μηδαμῶς τὸν ἐπὶ ξύλου θάνατον, ὃν καὶ συμβῆναί φησιν ὅταν εἰς γῆρας ἐλάσῃ,

1. ἔπεισί τε om. E. 4. προανεφώνησεν E. προεφώνησεν Ed. 5. τόπον τοῦ θανάτου inverso ordine E. 6. οὐδ' ἂν om. (spatio 12 fere litt. relicto) E. 9 et 12. τὴν δύναμιν om., δρασαντες pro δρᾶσαι τολμήσαντες, (spatio 12 fere litt. utroque loco relicto) E. 14. τε om. E. 15. ὁ alt. om. E. 17. ἀληθῶς E. 27. κεκαλειμένων E.

πρόωρον αὐτῷ γενέσθαι τὴν πτοίαν οὐκ ἐφιεὶς, ἀλλ' εἰς μακροὺς ἀνατείνων χρόνους τοῦ φόβου τὴν ἔφοδον.

c

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ
Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ
στῆθος αὐτοῦ καὶ εἶπεν αὐτῷ Κύριε, τίς ἐστιν ὁ παραδιδούς
21 σε; τοῦτον οὖν ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ Κύριε, οὗτος
22 δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς Ἐὰν αὐτὸν θέλω μένειν ἕως
23 ἔρχομαι, τί πρὸς σέ; σύ μοι ἀκολούθει. ἐξῆλθεν οὖν οὗτος
ὁ λόγος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀπο-
θνήσκει· οὐκ εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ'
Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;

d

Ἑαυτὸν δὴ πάλιν ἀφανέστερον μὲν, κατασημαίνει δ' οὖν ὅμως ὁ θεσπέσιος Εὐαγγελιστής. καὶ αὐτὸς γάρ ἐστιν ὁ ἀγαπώμενος καὶ ἐπὶ τὸ στῆθος ἀναπεπτωκὼς τοῦ Χριστοῦ κατὰ τὸν τοῦ δείπνου καιρὸν, ἤρετό τε τίς ὁ παραδώσων αὐτόν. τοῦτον τοιγαροῦν τεθεαμένος ὁ Πέτρος, φιλοπευστεῖν ἐπειρᾶτο καὶ μαθεῖν ἠξίου, ποίοις ἄρα καὶ τίσιν ὁμιλήσει καὶ αὐτὸς τοῖς μετὰ ταῦτα κινδύνοις, ἢ καὶ εἰς τί καταλήξει τυχὸν καὶ αὐτῷ τοῦ βίου τὸ πέρας. ἀλλ' ἔξω λόγου τοῦ πρέποντος ἡ πεῦσις ἐφαίνετο, καὶ περιεργίας μᾶλλον ἢ χρηστομαθείας ἔργον ἦν, τῶν καθ' ἑαυτὸν λαβόντα τὴν εἴδησιν τὰ ἐφ' ἑτέροις ἐσόμενα ζητεῖν. διὰ οὖν ταύτην οἶμαι τὴν αἰτίαν ὁ Κύριος ἀπεκρίνατο μέν τι, πλὴν οὐκ εὐθὺ τῶν ἐρωτωμένων, ἤτοι τῶν ζητουμένων, ἀποκομίζων δέ πως

1122 A. a *εἰς ἕτερα τοῦ διερωτῶντος τὸν σκοπὸν, οὐκ ἀθάνατον ἔσεσθαι τὸν Ἰωάννην φησίν· ἀλλ' εἰ βουλοίμην αὐτὸν διαζῆν ἕως ἔρχομαι, τί ἄρα τοῦτο πρὸς σέ; τουτέστιν Ἀκήκοας, ὦ*

8. *οὗτος* assumptum ex F. 10. *καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς* rubrice F mg. 12. *δὴ*] *δὲ* E. 13. *καὶ* assumptum ex E. *ἐστιν ὁ ἀγ.* om. (spatio 12 fere litt. relicto) E. 15 et 18. *τοῦ δείπνου καιρὸν* et *τοῖς μετὰ ταῦτα κινδύνοις* om. (spatio 16 fere litt. loco utroque relicto) E. 22. *οὖν* assumptum ex E. 26 et p. 169, 2 *διαζῆν ἕως* et *οὐκ ἐν καιρῷ* om. (spatio 10 fere litt. relicto) E.

Πέτρε, τὰ κατὰ σαυτὸν, τί σοι τὰ ἑτέρων φιλοπευστεῖν, καὶ τῶν θείων κριμάτων ἀνορύττειν ὥσπερ οὐκ ἐν καιρῷ τὴν εἴδησιν; εἰ γὰρ καὶ μηδόλως τελευτῴη, φησὶν, ἄρα τί τοῦτο τὴν σὴν φροντίδα παραμυθήσεται; ἀδιαφορήσει τοιγαροῦν ὁ σοφός τε καὶ ἔμφρων, εἴπερ τι καὶ μέλλοι παθεῖν, εἴτε σώζοιτό τις ἕτερος, εἴτε καὶ μή· κείσεται γὰρ αὐτῷ τὰ οἰκεῖα παθεῖν, οὐδὲν τὸ παράπαν ἐκ τῆς ἑτέρου συμφορᾶς ἤγουν b εὐθυμίας εἰς παραψυχὴν δεχομένῳ. ταυτί πως ἡ τῶν προκειμένων ὠδίνει δύναμις. ὑποσημαίνει δὲ ἡμῖν ὁ περὶ τούτων λόγος, ὅτι ὡς πάντῃ τε καὶ πάντως, ἢ κατὰ τὸν ἴσον τρόπον, ἢ καθ' ἕτερόν τινα τυχὸν καὶ αὐτοῦ κινδυνεύειν μέλλοντος Ἰωάννου ποτὲ, οἱονεὶ πρὸς παραμυθίαν τῶν καθ' ἑαυτὸν ὁ μακάριος Πέτρος καὶ τὰ αὐτῷ συμβήσεσθαι μέλλοντα φιλαγρύπνως περιειργάζετο. καὶ μή τοι θαυμάσῃς, ἐννόει δὲ μᾶλλον ἐκεῖνο. κοινὸν γάρ πως ἐν ἡμῖν καὶ τοῦτό c ἐστιν, εἰ καὶ παντελῶς ἀνόητον, τὸ φιλεῖν ἔσθ' ὅτε μὴ μόνους ὁρᾶσθαι πάσχοντας, ἤγουν τι τῶν ἀπευκτῶν ὑπομένειν μέλλοντας, ἀκροᾶσθαι δὲ μᾶλλον καὶ τὰ ἑτέρων, ἢ τῶν ἤδη πεπονθότων, ἤγουν εἰς τοῦτο πεσεῖσθαι προσδοκωμένων.

Οὗτός ἐστιν ὁ μαθητὴς ὁ καὶ μαρτυρῶν περὶ τούτων, ὁ καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν αὐτοῦ ἡ μαρτυρία. 24

d

Ἐνδοιάσειν οἶμαι μηδένα τῶν νουνεχεστέρων, ὡς οὐκ ἂν ἠγάπησε τὸν Ἰωάννην ὁ Κύριος, εἰ μή τις ἦν λίαν ἐξαίρετος καὶ περιφανὴς εἰς ἀρετὴν, καὶ εἰς πᾶν ὁτιοῦν ἀγαθὸν ἐπιτηδείως τε ἔχων καὶ τελείως ἀπηρτισμένος. οὐδὲ γὰρ ἂν ἁλοίη Θεὸς ἀλόγοις τισὶ προσκεκλιμένος ῥοπαῖς τοῖς οὐκ ἀξίοις ἀγάπης τῆς παρ' αὐτοῦ, ἀνθρωποπρεπῆ γὰρ μᾶλλόν ἐστι τὰ τοιαῦτα πάθη· ὁ δὲ τῆς ἐκ παθῶν ἐφόδου καὶ καταδρομῆς παντελῶς ἀπείρατος ὢν, ἑδραιότατα δὲ βεβηκὼς εἰς πᾶν εἶδος e

6. τις] + καὶ E. καὶ assumptum ex E. 13. αὐτῷ] αὖθις E. 22. μηδένα om. E. νουνεχέστερον E. 23. ἐστὶ pro ἦν E. 25. ἁλοίη om. (spatio 9 fere litt. relicto) E. 26. προκεκλιμένος E. 28. καὶ καταδρομῆς post ὢν transponit E.

ἀρετῆς, μᾶλλον δὲ αὐτὸς πᾶν εἶδος ὑπάρχων ἀρετῆς, πῶς οὐκ ἂν δρῴη κεκριμένως καὶ τοῦτο, καὶ ἀλοιδόρητον παντελῶς ἐποιήσατο τὴν ῥοπὴν, τὴν εἰς τὸ χρῆναί φημι τῆς ἀγάπης ἀξιοῦν τὸν τούτου τυχεῖν ὀφείλοντα; προεξηγησάμενος τοίνυν εὖ μάλα καὶ ἠγαπῆσθαι προειρηκὼς, ἀκόμπως τε καὶ ἀφιλοδόξως κομιδῇ μεμαρτυρηκέναι φησὶ περὶ τούτων, ἀξιαγάστως ἤδη καὶ καλῶς τὸ συννεῦσαι τοὺς ἀκροωμένους οἷς γέγραφέ τε καὶ μεμαρτύρηκεν, ὡς ἐξ ἀνάγκης αἰτῶν·
1123 A. a *οὐ γὰρ ἂν ἐψεύσατο τῆς ἀληθείας ὁ κῆρυξ. διὰ τοῦτο καί φησιν οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. σφαλερὸν οὖν ἄρα καὶ πάνδεινον ἀληθῶς ψευδομυθεῖν τὸ παράπαν, οὐκ εἰδότος ἀνδρὸς μὴ προΐεσθαι φωνήν· οὐ γὰρ ἂν αὐτὸν ἠγάπησεν ἡ ἀλήθεια παραλύοντα τὴν ἀλήθειαν.*

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται
b καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία, ἀμήν.

Πολλὴ μὲν ἄγαν, φησὶν, ἡ τῆς θεοσημίας πληθὺς, καὶ ἀναρίθμητος παντελῶς ὁ τῶν κατορθωμάτων φανεῖται κατάλογος, καὶ ἐκ μυρίων ὅσων ἐλήφθη ταυτὶ, πληρεστάτην ἐμποιῆσαι τοῖς ἀκροωμένοις τὴν ὄνησιν οὐκ ἀνικάνως ἔχοντα. τὸν δὲ συγγεγραφότα τὴν βίβλον μὴ καταιτιάσθω, φησὶν,
c *ὁ φιλακροάμων καὶ χρηστομαθὴς, εἰ καὶ μὴ τῶν ἑτέρων ἐμνήσθη. καὶ γὰρ τὸ καθ' ἓν εἰ γέγραπται τῶν τετελεσμένων, παραλειφθέντος οὐδενὸς, ἐπλήρωσεν ἂν τὴν οἰκουμένην ὁ τῶν βιβλίων ἀχώρητος ὄχλος. ὑπερβολικῶς δὲ καὶ νῦν τὴν τοῦ λόγου δύναμιν πεποιῆσθαί φαμεν. μυρία γὰρ ὄντως ἐννοῆσαι τις ἂν διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος πεπληρῶσθαι θαύματα. γεγράφασι γεμὴν τῶν εὐαγγελίων οἱ κήρυκες τὰ ἐν τοῖς γεγονόσι λαμπρότερα, κατά γε τὸ*
d *εἰκὸς, καὶ δι' ὧν ἦν μάλιστα τοὺς ἀκροωμένους δύνασθαι βεβαιοῦσθαι πρὸς πίστιν τὴν ἀπαράφθορον, καὶ παίδευσιν ἔχειν*

1. *αὐτὸ* E. 27. *ὄντως* E.a. *ὅσα* Ed.

ἠθικήν τε καὶ δογματικὴν, ἵνα πίστει μὲν ὀρθῇ διαπρέποντες, ἔργοις δὲ τοῖς εἰς εὐσέβειαν βλέπουσι πολυτρόπως ἠγλαϊσμένοι, καὶ εἰς αὐτὴν καταντήσαντες τὴν ἄνω πόλιν, καὶ τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ συναπτόμενοι, καὶ εἰς αὐτὴν εἰσελάσειαν τὴν τῶν οὐρανῶν βασιλείαν ἐν Χριστῷ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας, Ἀμήν.

CYRILLI

ARCHIEPISCOPI ALEXANDRINI

FRAGMENTA QUOT SUPERSUNT

IN EPISTOLAM AD ROMANOS.

Fragmenta haec sunt partim deprompta e Cat. in Bibl. Vaticana sec. xii, e qua descripsit edíditque fragmenta D. Cyrilli vir doctissimus Mai in Bibl. Nov. Patrum iii. 1–47 (cui Catenae convenit codex noster Bodleianus E. ii. 20 capita priora octo continens et e Codice Gaditano descriptus, Cramero nostro anno 1844 editus): partim vero e cod. Monacensi (e cap. vii. 7 incipiente) 412, olim Augustano, membranaceo, sec. xi exarato, Cramero supradicto et ipso edito. Codices duo posteriores, Bodleianum nempe et Monacensem pro hac editione iterum contuli, quorum priorem B signavi, alterum A.

Est in Bibl. Imperiali Viennensi [Nessel. 166. Lamb. 46] fragmentum catenae (folia 69 complectens) Niketa forte auctore. Quum autem D. Cyrilli plura ad opera alia plane pertinent, reliqua in calce exhibui.

In ver. 1 e Cat. Vienn. fol. 8 v. Καὶ δοῦλον ἑαυτὸν ὀνομάζει **Ἰησοῦ Χριστοῦ** ὡς Θεοῦ κατὰ φύσιν κἂν ὡς ἄνθρωπος λέγηται Χριστός· ἔστι γὰρ καὶ ἐν σαρκὶ πεφηνὼς, ὅπερ ἦν καί ἐστι καὶ ἔσται, Θεὸς, κἂν εἰ νοοῖτο ἄνθρωπος. ἐπιμαρτυρῶν οὖν αὐτῷ τῆς κατὰ φύσιν θεότητος τὸ περιφανὲς, δοῦλον ἑαυτὸν ὀνομάζει **Ἰησοῦ Χριστοῦ**, τουτέστιν ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα (sic) τοῦ Μονογενοῦς.

e fol. 10. Ἢ κλητὸν ἑαυτὸν καλεῖ, ἵνα μήτις εἴπῃ ὅτι αὐτόμολος ἦλθεν εἰς τὸ τῆς ἀποστολῆς ὄνομα καὶ χρῆμα, ἑαυτῷ τὴν τιμὴν ἁρπάσας ὡς οἱ λεγόμενοι ψευδοπρόφηται περὶ ὧν ἐλέχθη Οὐκ ἀπέστελον τοὺς προφήτας καὶ αὐτοὶ ἔτρεχον, οὐκ ἐλάλησα πρὸς αὐτοὺς καὶ αὐτοὶ προεφήτευον, ἀλλὰ κληθεὶς ὑπὸ τοῦ Πνεύματος εἰς ἀποστολήν.

e fol. 12. Καὶ τάχα **εὐαγγέλιον Θεοῦ** λέγει τουτέστι Χριστοῦ· ὀνομάσας γὰρ Χριστὸν Ἰησοῦν, τὸ ἐπ' αὐτὸν κήρυγμα **εὐαγγέλιον Θεοῦ** φησιν.

In ver. 2 e fol. 12 v. Καὶ οὐ πρόσφατόν ἐστι τὸ ἐπὶ τῷ Χριστῷ κήρυγμα, τετηρημένον δὲ μᾶλλον ὡς ἐν προγνώσει Πατρὸς καὶ διὰ φωνῆς ἁγίων προεπηγγελμένον, ἐν ψαλμοῖς, ἐν ἡσαΐᾳ, ἐν εὐαγγελίοις διὰ τοῦ Γαβριήλ. προεπήγγελτο γὰρ καὶ προανεφώνει ὁ Θεὸς τὴν τοῦ Χριστοῦ γέννησιν, καὶ πολὺς ἦν περὶ αὐτοῦ παρὰ τοῖς ἁγίοις προφήταις λόγος.

In ver. 3 e fol. 15. Καὶ τὰς τῶν μεμυσταγωγημένων ἐννοίας, οὐ μέχρι τῆς

1 M.

Κεφ. α΄. 3. Περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ

ἀνθρωπότητος ἵστησιν, ἀνακομίζει δὲ ταύτας εἰς ἀξίωμα τὸ θεοπρεπὲς τοῦ δι' ἡμᾶς γεγονότος καθ' ἡμᾶς τε καὶ ἐν ἡμῖν. ὁ γὰρ τοῦ Θεοῦ Πατρὸς ἀπορρήτως κατὰ φύσιν γεγεννημένος Υἱὸς Μονογενὴς, ὁ τοῦ γενέσθαι κρείττων ὡς Θεὸς, γεγενῆσθαι λέγεται καὶ ἐκ σπέρματος Δαυεὶδ κατὰ σάρκα, πάντως που τὸν ἐκ τῆς ἁγίας παρθένου ναὸν ἴδιον ἀποφήνας σῶμα καὶ οἰκειωσάμενος ἀληθῶς ἤγουν ἑνώσας ἑαυτῷ τὸ ληφθὲν, ἵνα μὴ νοοῖτο ἐν ἀνθρώπῳ κατῳκηκὼς ἀλλ' αὐτόχρημα γεγονὼς ἄνθρωπος. Quae sequuntur hae in Catena sunt e Prosphonetico de recta Fide ad Theodosium Imperatorem pp. 22, 23.

Fol. 16 *καὶ ἐπειδὴ—τὸ πνεῦμα χαρίζεται* sunt e Comm. in S. Joannem p. 1097 : fol. 17 v. *ὁ Χριστὸς—Πνεύματος* sunt e dialogo 7 ad Herm. 674 a : fol. 20 *πλείστη δὲ τῆς—ἀναδεδειγμένους* e dialogo 6, p. 589 : fol. 21 *εἰ γὰρ —πάντα ἐνεργῶν* e Thesauro 268 a b.

Et scholia quatuor alia quae adhuc inter opera non inveni exhibeo. In ver. 18 e fol. 36 *κυρίλλου ἐκ τῶν σχολίων.* Καὶ κατεσχήκασιν **ἐν ἀδικίᾳ τὴν ἀλήθειαν**, *καὶ* **ἀλήθειαν** *μὲν εἶναι τὴν παρὰ Θεοῦ γνῶσιν,* **ἀδικίαν** *δὲ αὖ, τὴν κατὰ τῆς ἑαυτοῦ δόξης ἀνοσίως ἐπινοηθεῖσαν πλάνησιν· ἀδικία γὰρ καὶ σφόδρα εἰκότως, τὸ ἀνάπτειν τῇ κτίσει τὸ σέβας. ἀλλ' οἵ γε ταῦτα δρῶντες καὶ τοῖς τῆς ἀδικίας τρόποις ἐθέλοντες πλεονεκτεῖν* **τὴν ἀλήθειαν** *ποιναῖς τὰς ἑαυτῶν ὑπάγουσι κεφαλάς. ἦν γὰρ ἄμεινον τὸ τῆς ἀληθείας περιαθρήσαντας κάλλος καὶ τὸν τοῦδε τοῦ παντὸς τεχνίτην ἐννενοηκότας αὐτῷ καὶ μόνῳ προσκεῖσθαι φιλεῖν καὶ μὴ τὸ ἁπλῶς ἑκάστῳ δοκοῦν ἡγεῖσθαι Θεόν. πῶς δὲ καὶ τίνα τρόπον, ἀφηγήσεται λέγων αὐτός* **Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ Θεὸς γὰρ αὐτοῖς ἐφανέρωσεν.** *καὶ τίποτέ τε ἐστὶ* **τὸ γνωστὸν τοῦ Θεοῦ,** *φέρε δὴ καταθρήσωμεν. ὅτι μὲν γάρ ἐστι Θεὸς, πεπιστεύκασι, τί δὲ κατὰ φύσιν ἐστὶν ἐξεπίστασθαι μὲν οὐ θέμις, μᾶλλον δὲ καὶ ἀμήχανον· πολυπραγμονεῖν δὲ οὐκ ἀζήμιον· ἀπὸ δέ γε τῶν ἐνεῖναι πεπιστευμένων αὐτῷ φυσικῶ* (sic) *καὶ ὡς ἐν τάξει τυχὸν ὑπεροχῆς καὶ ἀξιώματος ἐμπρέποντος αὐτῷ, κἂν γοῦν εἰς ἡμετέραν μετάληψιν τῆς ἀπορρήτου φύσεως αὐτοῦ πεποδηγήμεθα. οὐκοῦν πεφανερῶσθαί φησιν* **αὐτοῖς τὸ γνωστὸν τοῦ Θεοῦ,** *τουτέστιν ὅπερ ἦν δύνασθαι νοεῖν περὶ αὐτοῦ κατά γε τὸ ἐφικτὸν τῇ ἀνθρωπότητι μέτρον. τοῦτο δέ ἐστιν ὡς ἔφην τὸ εἰδέναι μὲν ὡς ὑπάρχει Θεὸς, μὴ μὴν ἔτι καὶ ἀνορύττειν ὅπως ἢ κατὰ τίνα τρόπον ἔστιν.*

In vers. 20 e fol. 37 v. *Ἀόρατον τοίνυν τοῦ Θεοῦ, τὴν σοφίαν αὐτοῦ καὶ τὴν δύναμιν καλεῖ· ταῦτα γὰρ κτίσματα καθορᾶται νοούμενα. φαίη γοῦν ἄν τις ἑκάστῳ τῶν πλανωμένων Τεθαύμακας τῷ οὕτως* (sic) *τὸν ἄνθρωπον, ὡς ὑπερμεγέθης τε καὶ πολὺς ὅλῃ περικέχυται τῇ γῇ, ἣν κέντρου δίκην τοῖς μεσαιτάτοις ἐνεδρύσθαι* (legendum *ἐνιδρύσθαι*) *τοῦ ἀέρος κόλποις πιστεύεται· λόγου δὲ οἶμαι παντὸς ἀξιοῦν ὁμολογεῖ τὸν ἡλίου κύκλον, τὴν λαμπρότητα, τὸν δρόμον· προσθήσῃς δὲ πάντως σελήνην καὶ τὸν διαφανῆ τῶν ἀστέρων χορὸν, ἀλλ' οὐδὲ αὐτὰ παρελάσῃς ἀθαύμαστα τὰ ἐπὶ τῆς γῆς. ἆρα οὖν ἐροῦμεν παρῆχθαι ταῦτα πρὸς γένεσιν, οὐχὶ πάντη τε καὶ πάντως ἐν σοφίᾳ καὶ δυνάμει Θεοῦ; ἤγουν ἐστὶ πᾶς τεχνίτης οὐ κατά γε τὴν φύσιν ὧν ἂν ἕλοιτο δημιουργεῖν, ἀλλ' ἑτέρας που πάντως ὑπερκειμένης, πῶς ἀμφίβολον ὅτι φθαρτὴν ἐχόντων τὴν φύσιν τῶν παρυπηργμένων εἰς γένεσιν καὶ κεκλημένων ἐν χρόνῳ πρὸς ὕπαρξιν, ἔσται που πάντως τούτων δημιουργὸς ἄφθαρτος καὶ ἀΐδιος;*

In vers. 21 e fol. 39 v. *Οὐκοῦν οὐδεμίαν εὑρήσουσιν ἀπολογίαν ἐν ἡμέρᾳ τῆς κρίσεως* (cf. 176. 10), **διότι γνόντες τὸν Θεὸν,** *τουτέστι τὴν τοῦ Θεοῦ δόξαν καὶ δι' αὐτῆς τῶν γεγονότων μεγαλοφυΐας ἀθρήσαντες,* **οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν** *ἐν τοῖς* **διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία.** *καίτοι γὰρ ἠκριβωκότες ἄγαν ὥσπερ οὖν οἴονται τὰς τῶν πραγμάτων*

σάρκα.

ΤΟΝ γε μὴν ἐκ σπέρματος Δαυεὶδ γεγονότα, κατὰ τὴν σάρκα ὡρίσθαι φησὶν εἰς υἱὸν Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν. ὡρίσμεθα μὲν γὰρ καὶ ἡμεῖς εἰς υἱοὺς, ἀλλ' οὐκ ἐν δυνάμει μᾶλλον, ἀλλ' ὡς ἐν χάριτος μοίρᾳ, τῆς κλήσεως ἀξιούμενοι καὶ ὡς ἐν μόνῃ θελήσει τοῦ Θεοῦ καὶ Πατρὸς τὸ χρῆμα κερδαίνοντες· ὁ δέ γε Ἐμμανουὴλ οὐκ ἂν ὧδε ἔχοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' εἰ καὶ γέγονεν ἐκ σπέρματος τοῦ Δαυεὶδ κατὰ σάρκα, καὶ ὡς εἷς ἐξ ἡμῶν εἰς υἱὸν λογίζεται Θεοῦ διὰ τὸ ἀνθρώπινον, ἀλλ' οὖν ἐν δυνάμει καὶ ἀληθείᾳ κατὰ φύσιν Υἱός ἐστι, δι' οὗ καὶ ἡμεῖς υἱοποιούμεθα· εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν, ὡς τὸ αὐτοῦ Πνεῦμα πεπλουτηκότες διὰ τοῦ ἁγίου βαπτίσ-

φύσεις, μεματαίωνται, φησὶ, κενοῖς ἀκολουθήσαντες λογισμοῖς καὶ πολύθεον ἐν τῷ βίῳ διακηρύξαντες πλάνησιν, **καὶ τὴν τοῦ Θεοῦ δόξαν** ἀσυνετωτάτως μεταλλάττοντες ἐν **ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν**. καίτοι γὰρ τῆς ἀνωτάτω φύσεως οὔτε ποσῷ μετρουμένης παραιτούμενός [παραιτουμένης?] τε καὶ σχῆμα καὶ εἶδος, οὐκ ἀνθρώπῳ μόνον αὐτὴν παρεικάζουσιν ἀλλ' εἰς τοῦτο κατώλισθον εἰκαίων ἐννοιῶν ὡς καὶ πετεινοῖς καὶ τετραπόσι καὶ τοῖς ἰοβόλοις ἐξομοιοῦν.

In ver. 24 sqq. e fol. 42. Δι' ἣν παραδεδόσθαι φησὶν **αὐτοὺς** οἷά τισιν ἐχθροῖς **ταῖς** τῆς σαρκὸς ἀκαθάρτοις **ἐπιθυμίας** (sic). ὥσπερ γὰρ οἱ νοσοῦντες τὸ ὄμμα, τὴν μὲν ἡλιακὴν ἀκτῖνα φεύγουσι, τὸ δὲ σκότος μεταδιώκουσιν, οὕτως οἱ τῆς ἑαυτῶν διανοίας τὴν ὀρθότητα διαφθείραντες νοητῷ δὴ πάντως περιπίπτουσι σκότας (sic) καὶ πρὸς ἀτόπους ἐμπίπτουσι πράξεις, ταῖς ἐμφύτοις ἡδοναῖς τοῦ σώματος ἀγριούμενοι, οὐχ ὅτι ἐστὶν ἡμῖν τὸ κακὸν οὐσιῶδές τε καὶ ἐνυπόστατον, ἀλλ' ὅτι τὸ τῆς σαρκὸς θέλημα καὶ τῶν ἐμφύτων ἡδονῶν ἡ κίνησις ἀεί πως ὁρᾷ πρὸς τὸ πλημμελές. καὶ εἰ μὲν σώζει ὁ Θεὸς, ἄπρακτος ἡ ἁμαρτία, εἰ δὲ συστείλῃ τὴν ἐπικουρίαν, κατακρατεῖ τὰ πάθη οἷά τινα αἰχμάλωτον ἑλόντες τὸν νοῦν τοῖς ἰδίοις καταδουλοῦντα θελήμασιν. καὶ τοῦτό ἐστι τὸ παραδιδόσθαι εἰς ἀκαθαρσίας καὶ **πάθη ἀτιμίας** καὶ **ἀδόκιμον** νοῦν, οὐ τοῦτο θέλοντος τοῦ Θεοῦ ἀφιέντα (sic) τοὺς ἀνθρώπους ἀνοσίως διαβιοῦν ᾑρημένους. εἰ γὰρ τοῦτο ἤθελεν ὁ Θεὸς, οὐκ ἂν ἔχαιρεν ἐπὶ τοῖς μετανοοῦσι καὶ μεταστρέφουσιν ἀπὸ κακίας εἰς ἀρετήν· ἀμεταμελήτως γὰρ ἀεί ἐστι χαίρων ἐπὶ καλοῖς, οὐ ποτὲ μὲν καλοῖς ἄλλοτε δὲ κακοῖς.

2—p. 176, 4. Haec nobis conservat S. Nicephorus Constantinopolitanus Archiepiscopus in Antirrhetico adversus Constantinum Copronymum Imperatorem iii. 30, in Maii Bibl. Nov. v. 94. Dicit sanctus ille ὧδε γάρ φησι τὴν πρὸς ῥωμαίους τοῦ θείου ἀποστόλου ὑπομνηματίζων ἐπιστολήν. Catena Vaticana partim dedit, incipit Οὐκοῦν ὡς εἰκόνες—εἰς τοῦτο et pergit κατὰ πνεῦμα ἁγιωσύνης καὶ ἐκ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν· ὁρίζεται δὲ εἰς υἱὸν καὶ κατὰ τὸ ἀνθρώπινον· ἔστι δὲ καὶ κατὰ φύσιν υἱὸς θεοῦ, καὶ ἐν δυνάμει μαρτυρούμενος κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, τουτέστιν ἀπό γε τοῦ δύνασθαι καταργεῖν τοῦ θανάτου τὸ κράτος.

[1 M.] Infra viii. 15. ματος, τότε δὴ τότε καὶ ἀνεπιπλήκτως φαμὲν "᾿Αββᾶ ὁ "πατήρ·" οὐκοῦν ὡς εἰκόνες πρὸς ἀρχέτυπον, οὕτω καὶ ἡμεῖς οἱ κατὰ θέσιν υἱοὶ πρὸς τὸν φύσει τε καὶ δυνάμει καὶ ἀληθῶς ἐκ Πατρὸς μεμαρτυρημένον εἰς τοῦτο.

Ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.

Πῶς δὲ γινώσκεται διὰ τῆς δημιουργίας ἡ ἀΐδιος αὐτοῦ δύναμις; ὅτι φθαρτὴν ἐχόντων τὴν φύσιν τῶν παρηγμένων εἰς γένεσιν καὶ κεκλημένων ἐν χρόνῳ πρὸς ὕπαρξιν, ἔσται που πάντως ὁ τούτων δημιουργὸς ἄφθαρτος καὶ ἀΐδιος· οὐκοῦν οὐδεμίαν εὑρήσουσιν ἀπολογίαν ἐν ἡμέρᾳ κρίσεως.

Κεφ. γ΄. 3, 4 Μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσῃ;

᾿Εντιμότεροι τῶν ἄλλων οἱ προεγνωσμένοι καὶ νόμον λαχόντες παιδαγωγὸν, καὶ ὑποσχέσεις ἔχοντες ἐπὶ Χριστῷ, καὶ δὴ καὶ ἀπειληφότες καὶ προκεκλημένοι τῶν ἄλλων· S. Matth. xv. 24. ἔφασκεν γὰρ ὁ Σωτήρ "Οὐκ ἀπεστάλην εἰ μὴ πρὸς τὰ "πρόβατα τὰ ἀπολωλότα οἴκου ᾿Ισραήλ·" καὶ τῶν διὰ πίστεως ἀνασεσωσμένων ἀπαρχὴ γεγονότες. οὐ γὰρ εἴ τινες ἐκ φρενοβλαβείας τοῦ πιστεύειν ἀπώλισθον, ταύτητοι, φησὶν, ἀφαμαρτήσειεν ἂν τοῦ καὶ ἀληθὴς εἶναι Θεός; 2 M. οὐκοῦν πέπομφε μὲν ἐξ οὐρανοῦ τὸν Υἱὸν ὁ Πατὴρ, πεπιστεύκασι γεμὴν οὐ πάντες αὐτῷ· ἆρ' οὖν ὅτι γεγόνασί τινες ὑβρισταί τε καὶ ἄπιστοι, οὐκ ἔσται ὁ Θεὸς ἀληθὴς διὰ τοῦτο; μὴ γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθὴς, πᾶς δὲ ἄνθρωπος ψεύστης· ἀντὶ τοῦ νοείσθω τε καὶ λεγέσθω πρὸς ἡμῶν ἀληθὴς, καθοριζέσθω δὲ ὥσπερ ἀνθρώπου παντὸς τοῦ ψεύδους τὸ κατηγόρημα. ἄτρεπτος μὲν γὰρ καὶ ἀναλλοίωτος παντελῶς ἡ θεία φύσις ἐστίν· σεσάλευται δὲ λίαν ἡ ἀνθρώπου φύσις καὶ ὅσον ἧκεν εἰς τὸ ἐγχωροῦν πᾶς ἄνθρωπος

6. πῶς incipit t. Praemittebat ᾿Απὸ κοινοῦ νοουμένου τοῦ καθορᾶται Mai. δὲ et διὰ om. t. 7. ὅτι incipit (priora omittens) B. 8. πρὸς emendavit Mai favente et t. τὴν Cat. Vat. et B. 9. ἀΐδιος des. t. 11. καταργήσει Migne. 28. εἰς] + τε (= ut vid. γε) B.

[2 M.]

ψεύστης· καταθλεῖ γὰρ ἔσθ' ὅτε τῆς ἀνθρώπου διανοίας ὡς ἁμαρτία τὸ ψεῦδος, καὶ δέχεταί πως ἡ φύσις καὶ τοῦ τοιοῦδε τὴν νόσον· ἐπὶ δέ γε τοῦ πάντων κρατοῦντος Θεοῦ, τοιοῦτόν τι νοεῖν ἢ λέγειν οὐ θέμις. οὐκοῦν τό γε δύνασθαι παθεῖν τὸ ψεῦδος τὴν ἀνθρώπου φύσιν, ἤγουν τὴν διάνοιαν, ἀληθὲς ἔσται τὸ κατηγόρημα· οὕτω που φησὶ καὶ ὁ μακάριος Δαυείδ "Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου Πᾶς ἄνθρωπος ψεύστης·" Ps. cxv. 2. ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος περί τε Θεοῦ καὶ ἡμῶν καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων· οἷον ἐπὶ τῆς δικαιοσύνης, φαίη γὰρ ἄν τις καὶ οὐκ ἔξω λόγου Γινέσθω δίκαιος ὁ Θεὸς, πᾶς δὲ ἄνθρωπος ἄδικος.

Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι. 5—8

Ἡ τῆς τοιαύτης διαβολῆς πρόφασις ἐντεῦθεν γεγένηται· μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οἱ υἱοὶ Ἰσραὴλ κελευσθέντες ὑπὸ Κύρου ἀναδείμασθαι τὸν νεὼν καὶ πληροῦν εὐχὰς καὶ προσάγειν θυσίας, γεγόνασι ῥᾴθυμοι, προφασιζόμενοι πτωχείαν καὶ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ταλαιπωρίαν· ταύτῃ συμμέτροις ἐσωφρονίζοντο παιδείαις, ἀφορίαις καρπῶν καὶ ὑετῶν ἐνδείαις· ἀσχάλλοντες δὲ πρὸς τὰς τοιαύτας πληγὰς, ἐμακάριζον μὲν τοὺς ἀλλογενεῖς καὶ τοὺς μὴ δουλεύοντας τῷ Θεῷ ὡς ἐν εὐθυμίᾳ διάγοντας, καὶ ἔφασκον ἀμείνους ἑαυτῶν ὑπάρχειν ἐκείνους· καὶ γοῦν ἔφασκε πρὸς αὐτοὺς Μαλαχίας ὁ προφήτης "Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς Mal. iii. 13–16. "λόγους ὑμῶν, λέγει Κύριος, καὶ εἴπατε Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; εἴπατε, φησί Μάταιος ὁ δουλεύων "Θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ, "καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου Κυρίου παντοκράτορος; καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ "ἀνοικοδομοῦνται ποιοῦντες ἄνομα· ἀντέστησαν Θεῷ καὶ "ἐσώθησαν. ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον,

8. ἐπὶ] περὶ B. 11. ἄδικος] ψευστής B. 29. ἀντέθησαν (sic) B. 30. τὸν assumptum ex B.

[2 M.] “ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· καὶ προσέσχε Κύριος “καὶ εἰσήκουσε.” ταύτης ἕνεκα, φησὶ, τῆς αἰτίας ᾤοντό
3 M. τινες τοὺς ἰουδαίους λέγειν Ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά· ἔνδικον γεμὴν τὸ κρῖμα εἰπὼν, ἢ τῶν ἰουδαίοις ἐπιφημιζόντων ἐκεῖνα, ἤγουν τῶν λέγειν ἀποτολμώντων Ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά.

21 sqq. Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται.

S. Luc. i. 6. Οἶδα ὅτι γέγραπται περί τινων, ὅτι “ἦσαν δίκαιοι ἀμφό- “τεροι πορευόμενοι ἐν ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ “Χριστοῦ ἄμεμπτοι,” καὶ ὁ μακάριος δὲ Παῦλος ἔφη, ὅτι Phil. iii. 6. καὶ αὐτὸς “κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γέγονεν ἄμεμ- “πτος.” ἀλλ᾽ ὁ ἐν τούτοις ἄμεμπτος, οὔπω πέπραχε τὰ δι᾽ ὧν ἔσται λαμπρὸς καὶ ἀοίδιμος· καὶ γοῦν αὐτὸς ἔφη πάλιν ὁ μακάριος Παῦλος, ὡς ἡγεῖτο μὲν ἅπαντα τὰ ἐν νόμῳ ζημίαν Ib. 8. καὶ ἐν ἴσῳ σκυβάλοις κατελογίζετο· ζητοίη δὲ πάλιν “τὸ “ὑπερέχον τῆς γνώσεως Χριστοῦ.” κατακρίνει δὲ πάλιν ὁ 2 Cor. iii. 9. νόμος τοὺς παραβαίνοντας· ταύτῃ τοι ἑτέρωθί φησιν “Εἰ “γὰρ τῇ διακονίᾳ τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον “περισσεύει ἡ διακονία τῆς δικαιοσύνης δόξῃ·” πλείστης δὲ οὔσης ἐντολῆς ἐν αὐτῷ, πᾶσά πως ἀνάγκη καὶ τὸν ἀκριβῆ νομοφύλακα διαπταίειν ἔν τισι, καὶ παραβάτην νόμου καθίστασθαι. καὶ ὅτι φορτικὸς ἀληθῶς, διωμολογήκασιν ἐναργῶς Acta SS. Ap. xv. 10. οἱ θεσπέσιοι μαθηταί· ἔφασκον γάρ “Νῦν οὖν τί πειράζετε “τὸν Θεὸν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, “ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;” ὅτε τοίνυν Ἕλληνες μὲν ἦσαν ὑφ᾽ ἁμαρτίαν ὡς ἠγνοηκότες τὸν δημιουργὸν, Ἰουδαῖοι δὲ ὡς τῆς τοῦ νόμου παραβάσεως ἔνοχοι, ἐδέησεν ἀναγκαίως τοῖς οὖσιν ἐπὶ τῆς γῆς τοῦ δικαι- Tit. iii. 5. οῦντος Χριστοῦ· δεδικαιώμεθα γὰρ “οὐκ ἐξ ἔργων τῶν ἐν “δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ

4. γεμὴν] δὲ μὴν B.
16. γνώσεως] + τοῦ B. Cod. uterque.
10. Χριστοῦ exhibere Cat. Vat. testatur Mai.
28. τοῦ emendaverunt Mai. Cramer. οὐ (sic)

[3 M.]

“αὐτοῦ ἔλεος·” αὐτὸς γὰρ ἦν ὁ καὶ πάλαι λέγων διὰ φωνῆς προφητῶν “Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ “μὴ μνησθήσομαι·” (Es. xliii. 25.) διάττει γεμὴν ἡ δικαιοῦσα χάρις εἰς πάντας ἐν ἴσῳ, ἰουδαίους τέ φημι καὶ ἕλληνας, ὅτι καὶ πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ· δόξα Θεοῦ δὲ νοοῖτ᾽ ἂν εἰκότως, τὸ μήτε εἰδέναι μήτε μὴ πεφυκέναι πλημμελεῖν· κατόπιν δὲ πάντως τῶν τῆς θεότητος αὐχημάτων, πᾶσα ἡ γενητὴ κτίσις· παρώλισθον γὰρ καὶ τῶν ἀγγέλων τινές. πλὴν εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ “ἀνακεφαλαιώ- (Eph. i. 10.) “σασθαι τὰ πάντα ἐν τῷ Χριστῷ” τῷ δικαιοῦντι δωρεὰν τῇ αὐτοῦ χάριτι· τέθειται γὰρ ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι· ἐπειδὴ γὰρ πεποίηται τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὸ ἴδιον αἷμα, σέσωκε τὴν ὑπ᾽ οὐρανὸν, ἵλεών (4 M.) τε καὶ εὐμενῆ κατέστησεν ἡμῖν τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν.

Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. 27

Τίς γὰρ ὅλως ἢ ἐπὶ τίσιν καυχήσεται, πάντων ἠχρειωμένων καὶ ἐκκεκλικότων τῆς εὐθείας ὁδοῦ, καὶ οὐδενὸς ὄντος παντελῶς τοῦ ποιοῦντος χρηστότητα; οὐκοῦν ἐξεκλείσθη φησὶν ἡ καύχησις, τουτέστιν ἐκβέβληται καὶ ἀνῄρηται, τόπον οὐκ ἔχουσα παρ᾽ ἡμῖν οὐδένα· ἐξεκλείσθη δὲ τίνα τρόπον; τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων πεπλουτήκαμεν, ἐλέῳ καὶ χάριτι δικαιούμενοι δωρεὰν ἐν Χριστῷ.

Νόμον οὖν καταργοῦμεν διὰ πίστεως; 31

Ἔφη τῷ θεσπεσίῳ Μωυσεῖ ὁ τῶν ὅλων Θεός “Προ- (Deut. xviii. 18, 19.) “φήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ “σε καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λα- “λήσει αὐτοῖς καθότι ἂν ἐντείλωμαι αὐτῷ· καὶ ὁ ἄνθρω- “πος ἐκεῖνος ὃς ἐὰν μὴ ἀκούσῃ τῶν λόγων αὐτοῦ ὅσα ἂν

1. κατὰ pro καὶ B. 21. οὐκ—τρόπον (a -πον ad -πον transiliens) om. B.
25. μωσῇ B. 26. αὐτῶν—στόματι om. B. 29. ἐὰν om. B.

[4 M.] “λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ “αὐτοῦ.” πῶς οὖν οὐχ ἱστῶμεν νόμον διὰ τῆς πίστεως τὸν παρ᾽ αὐτοῦ προσιέμενοι λόγον; καὶ προφήτης ὠνόμασται διὰ τὸ ἀνθρώπινον ὁ Ἐμμανουὴλ, ὁ ὡς ἐν τάξει Μωσέως μεσίτης Θεοῦ καὶ ἀνθρώπων. καὶ πάλιν ὁ μὲν νόμος ἦν ἐν σκιαῖς, πλὴν ὠδίνων ὁρᾶται τῆς ἀληθείας τὴν μόρφωσιν· οὐκ ἀναιρεῖ δὲ τοὺς τύπους ἡ ἀλήθεια, καθίστησι δὲ ἐμφανεστέρους.

Κεφ. δʹ. 2 Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν.

Χρῆναι δὲ ὑπολαμβάνω, ἔφη τις, τὸν περὶ τοῦ προπάτορος Ἀβραὰμ πολυπραγμονοῦντας λόγον, ἐκεῖνο εἰπεῖν
S. Jac. ii. 17. Εἴρηταί που τινὶ τῶν ἁγίων μαθητῶν, δίχα τῶν ἔργων τὴν
Ib. 20, 21. πίστιν εἶναι νεκράν· προσεπάγει δὲ τούτοις τό “Θέλεις δὲ “γνῶναι, ὦ ἄνθρωπε κενὲ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων “νεκρά ἐστιν; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδι“καιώθη ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσια“στήριον;” ἆρ᾽ οὖν ἀλλήλοις τἀναντία φασὶν οἱ πνευματοφόροι; τί οὖν πρὸς ταῦτά φαμεν; εἰς γῆρας ἐληλακότι λοιπὸν, ἀδοκήτως λίαν ἐπηγγέλλετο αὐτῷ υἱὸν ὁ τῶν ὅλων Θεός· ἔφασκέ τε ὅτι τῇ τῶν ἄστρων ἀναριθμήτῳ πληθύϊ

3. *προσιέμενον* (sic) B. 3—5. Haec *προφήτης—ἀνθρώπων*, pergens *καὶ διαπορθμεύων εἰς ἡμᾶς τοῦ ἰδίου πατρὸς τὴν ἀπόρρητον βούλησιν* citat Catena in Acta SS. Apost. Cramero edita (p. 67) Cod. Coll. Novi 58 fol. 25 v cum titulo *τοῦ ἁγίου κυρίλλου ἐκ τοῦ πρὸς ῥωμαίους τόμου βʹ.* 11 sqq. Scholii hujus epitome quiddam exhibent Catenae in Epistolas Catholicas (in verba Ep. S. Jacobi ii. 20). Exstant in Codicibus Coisl. 25 fol. 25, Collegii Novi Oxoniensis 58 fol. 184 v (Cramero editis), Mediceo-Laurentiano Plut. vi. 5, Mosquensi 97 (olim 98) fol. 9. Titulum dant *τοῦ ἁγίου κυρίλλου* [*κυρίλλου ἀλεξανδρείας* Cod. Med.-Laur. *κυρίλλου* Cod. Oxon.] *ἐκ τῆς πρὸς ῥωμαίους ἐπιστολῆς* codices tres priores. Deinde *ἐπειδὴ ὁ μακάριος ἰάκωβος τὸν ἀβραὰμ λέγει ἐξ ἔργων δεδικαιῶσθαι ἀνενεγκόντα ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον, ὁ δὲ παῦλος λέγει αὐτὸν ἐκ πίστεως* [*ἐκ π. λέγει αὐτὸν* Cod. Med.-Laur.] *δεδικαιῶσθαι, οὕτω τὴν δοκοῦσαν ἐναντιότητα νοητέον· ὅτι πρὸ μὲν τοῦ ἔχειν τὸν ἰσαὰκ ἐπίστευσε καὶ μισθὸν* [*τῆς* Cod. Mosq. *τι* Cod. Med.-Laur.] *πίστεως ἔλαβε τὸν ἰσαάκ· ὅμως καὶ ὅτε ἀνήνεγκε τὸν ἰσαὰκ ἐπὶ τὸ θυσιαστήριον, οὐ μόνον τὸ ἔργον ἐποίει ὃ προσετάγη, ἀλλὰ καὶ τῆς πίστεως οὐκ ἀπέστη, ὅτι ἐν ἰσαὰκ μέλλει τὸ σπέρμα αὐτοῦ πολυπληθεῖν ὡς τὰ ἄστρα, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεός· ὅμως ὁ παῦλος μάρτυρα τῶν ἰδίων λόγων καὶ συλλήπτορα ποιεῖται τὸν μακάριον δαυεὶδ, ἄνδρα διαβόητον ἐν εὐσεβείᾳ καὶ σοφῶς διασκευάζει ὡς ἐν πνεύματι λαλῶν τὴν διὰ πίστεως ἄφεσιν καὶ διαγγέλλει πᾶσιν ἀνθρώποις· ᾔδει γὰρ ἐν Χριστῷ παρεσομένην κατὰ καιρούς.*

[4 M.]

φιλονεικοῦν τὸ ἐξ αὐτοῦ γενήσεται σπέρμα· ὁ δὲ ἐπείπερ ἐτίμα τὸν ὑπισχνούμενον τὸ πάντα δύνασθαι κατορθοῦν, διὰ τούτου ἐπιμαρτυρῶν τῷ Θεῷ, δεδικαίωται παρ' αὐτῷ, καὶ γέρας ἀντάξιον τῆς οὕτω θεοφιλοῦς ἐκομίζετο γνώμης τῶν ἀρχαίων αἰτιαμάτων τὴν ἀμνηστίαν. πλὴν ἐποιεῖτο κατὰ 5 M. καιροὺς γύμνασμα τῷ δικαίῳ Θεὸς τὸ ἐπί γε τῷ Ἰσαὰκ χρησμῴδημα· ἀλλ' ἦν καὶ ἐπ' αὐτῷ πιστὸς καὶ φιλόθεος, ὡς τῆς πρὸς Θεὸν ἀγάπης προτάξας οὐδέν. πλὴν καθά φησι τοῦ Σωτῆρος ὁ μαθητής "Ἡ πίστις συνήργει τοῖς ἔργοις S. Jac. ii. 22. "καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐβεβαιώθη·" ἔφη δέ που καὶ αὐτὸς ὁ θαυμάσιος Παῦλος περὶ τοῦ προπάτορος Ἀβραὰμ "Πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν Heb. xi. 17–19. "μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, "πρὸς ὃν ἐλαλήθη Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· "λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός." οὐκοῦν κἂν εἰ λέγοιτο τυχὸν ἐξ ἔργων δεδικαιῶσθαι διά τοι τὸ προσενεγκεῖν τὸν Ἰσαὰκ πειραζόμενον, ἀλλ' ἦν καὶ τοῦτο αὐτῷ πίστεως τῆς ἑδραιοτάτης ἀπόδειξις ἐναργής.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ. Κεφ. ε'. 11 sq.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἀξιάγαστον ἀληθῶς τοῦ Θεοῦ καὶ Πατρὸς ἀγάπησιν, ἣν εἰς ἡμᾶς ἐπεδείξατο, καθιστὰς ἐναργῆ, τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ πέρας καὶ τὸ ἐπὶ τῷ σταυρῷ πάθος παρεκόμιζεν εἰς ἀπόδειξιν, ὧδέ πη λέγων "Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν S. Joan. iii. 16. "υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς "αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον." ἔδωκε γὰρ ὡς ἀληθῶς ὑπὲρ ἡμῶν τὸν ἴδιον υἱόν· ἐκλελυτρώμεθα δὲ ἡμεῖς, ἀπηλλάγμεθα θανάτου καὶ ἁμαρτίας· οὐ γὰρ ἑτέρου τινὸς χάριν γέγονε "σὰρξ ὁ Λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν," Ib. i. 14. ἢ ἵνα τὸν τῆς σαρκὸς θάνατον ἀνατλὰς, θριαμβεύσῃ μὲν ἀρχὰς καὶ ἐξουσίας, καταργήσῃ δὲ καὶ αὐτὸν "τὸν τὸ κράτος Heb. ii. 14.

6. τὸ assumptum ex B. 27. ὁ pro ὡς B. 28. ἑκατέρου (sic) B.
30. καὶ pro ἢ (sic) B.

[5 M.] “ ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν” σατανᾶν· καὶ ἀνέλῃ μὲν
τὴν φθορὰν, ἀποστήσῃ δὲ σὺν αὐτῇ καὶ τὴν καθ᾽ ἡμῶν
τυραννήσασαν ἁμαρτίαν· ἄπρακτόν τε οὕτως ἀποφήνῃ λοι-
πὸν τὴν ἀρχαίαν ἐκείνην ἀρὰν, ἣν ἡ τοῦ ἀνθρώπου φύσις
ὑπέμεινεν ἐν Ἀδὰμ ὡς ἐν ἀπαρχῇ τοῦ γένους καὶ ὡς ἐν ῥίζῃ
τῇ πρώτῃ. παραβὰς γὰρ τὴν ἐντολὴν ὁ Ἀδὰμ, προσκέκρουκε
τῷ δημιουργῷ· ταύτῃ τοι γέγονε καὶ ἐπάρατος καὶ θανάτῳ
κάτοχος. ὁλοτρόπως δὲ ἀπολωλότας κατηλέησε πάλιν ὁ
τῶν ὅλων δεσπότης· καθίκετο γὰρ ἐξ οὐρανῶν ὁ Υἱὸς, ἀνιεὶς
ἐγκλήματα, δικαιῶν ἐν πίστει τὸν ἀσεβῆ, μεταχαλκεύων ὡς
Θεὸς τὴν ἀνθρώπου φύσιν εἰς ἀφθαρσίαν, καὶ ἀνακομίζων
2 Cor. v. 17. εἰς τὸ ἀπ᾽ ἀρχῆς· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ, ὅτι καὶ
6 M. ῥίζα τέθειται καινή· γέγονε δὲ καὶ δεύτερος Ἀδάμ· καὶ οὐχ
ὥσπερ ἐκεῖνος ὀργῆς παραίτιος καὶ ἀποστροφῆς τῆς ἄνωθεν
τοῖς ἐξ αὐτοῦ γεγονόσι, πρόξενος δὲ μᾶλλον καὶ δοτὴρ τῆς
πρὸς Θεὸν οἰκειότητος, δι᾽ ἁγιασμοῦ τε καὶ ἀφθαρσίας καὶ
τῆς ἐν πίστει δικαιοσύνης. ταῦτα ἡμῖν ὁ σοφὸς ἐξηγεῖται
Παῦλος διὰ τῆς προκειμένης ῥήσεως· *οὐκοῦν ὡς δι᾽ ἑνὸς
ἀνθρώπου φησὶν ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς
ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος
διῆλθεν ἐφ᾽ ᾧ πάντες ἥμαρτον*· εἰσέδυ μὲν γὰρ, ὡς ἔφην, διὰ
τῆς ἁμαρτίας ὁ θάνατος ἐν τῷ πρωτοπλάστῳ καὶ ἐν τῇ τοῦ
γένους ἀρχῇ· εἶτα ὅλον ἐφεξῆς κατενεμήθη τὸ γένος. ἀλλὰ
καὶ ὁ τῆς ἁμαρτίας εὑρετὴς δράκων ἰσχύσας ἐν Ἀδὰμ τοῖς
τῆς φαυλότητος τρόποις, βατὴν εἴργασται τὴν ἀνθρώπου
Supra iii. 12. διάνοιαν· “ Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν.” ἐκ
προσώπου δὴ οὖν γεγονότες τοῦ παναγίου Θεοῦ διά τοι τὸ
Gen. viii. 21. ἐπιμελῶς ἐγκεῖσθαι τὴν ἀνθρώπου διάνοιαν “ ἐπὶ τὰ πονηρὰ
Es. xxv. 8. “ ἐκ νεότητος,” ἀλογώτερον διέζωμεν βίον· καὶ “ κατέπιεν
“ μὲν ὁ θάνατος ἰσχύσας,” ὡς ὁ προφήτης φησὶν, ἐπλάτυνε
Ib. v. 14. δὲ καὶ “ ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ καὶ διήνοιξε τὸ στόμα
“ αὐτοῦ τοῦ μὴ διαλιπεῖν·” ἐπειδὴ γὰρ τῆς ἐν Ἀδὰμ παρα-

20. A *θάνατος* ad *θάνατος* transilit B.

[6 M.]

βάσεως γεγόναμεν μιμηταὶ καθ' ὃ πάντες ἥμαρτον, ταῖς ἴσαις ἐκείνῳ δίκαις ὑπενενήγμεθα· ἀλλ' οὐ μεμένηκεν ἀνεπικούρητος ἡ ὑπ' οὐρανὸν, καθῄρηται γὰρ ἡ ἁμαρτία, πέπτωκεν ὁ σατανᾶς, κατήργηται δὲ καὶ ὁ θάνατος.

Ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ. 13

Ὁ νόμος ὁ διὰ Μωυσέως, ἔλεγχος ἦν, ὡς ἔφην, τῆς τῶν πταιόντων ἀσθενείας, οὐ λυτικὸς ἁμαρτίας· κατειργάζετο δὲ μᾶλλον ὀργήν· ἦν γὰρ ἀνάγκη τοὺς παραβαίνοντας ταῖς ἐν νόμῳ διωρισμέναις ὑποφέρεσθαι δίκαις· οὗ δὲ δὴ ὅλως παραβάσεως τρόπος, ἐκεῖ που πάντως καὶ ἁμαρτία. καὶ εἴπερ ἐστὶν ἁμαρτία θανάτου πρόξενος, πᾶσά πως ἀνάγκη συνερρῶσθαι λέγειν αὐτῇ καὶ τὸν ἐξ αὐτῆς ἀναφύντα θάνατον· καθῃρημένῃ τε πάντως συγκατασείεσθαι, καὶ οἷά περ ἰδίᾳ συνδιολλύσθαι μητρί· ἦν οὖν ἄχρι νόμου ἁμαρτία φησὶν ἐν κόσμῳ· κειμένου γὰρ ἔτι τοῦ νόμου, καὶ τὰ τῆς παραβάσεως ἐγκλήματα κατὰ τῶν πταιόντων ἐκρατύνετο· ἀργοῦντος δὲ ἤδη, πέπαυται σὺν αὐτῷ τοῦ παραβαίνειν ἡ γραφή· πεπαυμένης δὲ τῆς ἁμαρτίας, ὡς ἔφην, συμπεπαύσεται καὶ ὁ θάνατος.

(Supra iv. 15.)

7 M.

Ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως κ.τ.λ. 14

Ἀλλ' εἰ τοῦτο, τίνα τρόπον φαίη τις ἂν κατεκράτησε τῶν ἐπὶ τῆς γῆς καὶ πρὸ νόμου θάνατος; εἰ γὰρ καί τινες οὐ γεγόνασι ταῖς τοῦ νόμου παραβάσεσιν ἔνοχοι, διά τοι τὸ μήπω τεθεῖσθαι τὸν νόμον, ἀλλ' ὑπέδυσαν καὶ αὐτοὶ τὴν φθορὰν ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ· ὅμοιον ὡσεὶ λέγοι τυχὸν Ἐπιτρέχοντος τοῦ θανάτου καθ' ὁμοιότητα τὴν Ἀδὰμ τὸ ἐξ αὐτοῦ πᾶν γένος, ὥσπερ φυτοῦ παθόντος βλάβος εἰς ῥίζαν, πᾶσά πως ἀνάγκη τοὺς ἐξ αὐτοῦ γεγονότας μαραίνεσθαι κλῶνας. τύπον γεμὴν αὐτὸν τοῦ μέλλοντος εἶναί

6. ὁ alt. om. B. 7. κατεργάζετο B. 13. κατηρμένῃ (sic) Migne.

[7 M.] φησι, τουτέστι Χριστοῦ, καίτοι παραγεγονότος ἤδη, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας διαπεράναντος τὸ μυστήριον. πῶς οὖν μέλλοντα καλεῖ, φαίη τις ἂν ἴσως; παραθεὶς γὰρ ἡμῖν τὸν πρῶτον ἄνθρωπον, καὶ τῶν τῆς παραβάσεως διαμνημονεύσας καιρῶν, ὡς μετ' αὐτοὺς παρεσόμενόν τε καὶ ἔσχατον Ἀδὰμ ὠνόμασε τὸν Χριστόν· προώριστο μὲν γὰρ ὡς ἐν θελήσει τε καὶ προμηθείᾳ τοῦ Θεοῦ καὶ Πατρὸς σωτήρ τε καὶ λυτρωτὴς, ἐπέφανε δὲ καιροῖς ἰδίοις καθ' οὓς ἠθέλησεν ὁ δυνάστης· οὗτοι δέ εἰσιν οἱ ἐν ἐσχάτοις καὶ οἷον ἐπὶ δυσμαῖς τοῦ παρόντος αἰῶνος. οὐκοῦν τεθεικὼς εἰς τύπον τοῦ πρώτου τὸν δεύτερον, μονονουχὶ καὶ διαπυνθάνεται τὸν ἀκροώμενον, ὡς ἐν ὑποστιγμῇ τε καὶ ἐρωτήσει λέγων τὰ ἑξῆς·

15 Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα;

Ὅμοιον γὰρ ὡς λέγοι Κατακεκρίμεθα τῷ θανάτῳ διὰ τῆς ἐν Ἀδὰμ παραβάσεως, ὅλης τῆς ἀνθρωπείας φύσεως τοῦτο παθούσης ἐν αὐτῷ· καὶ γὰρ ἦν ἀπαρχὴ τοῦ γένους· (Supra ver. 14.) ἀλλ' ἐν Χριστῷ πάλιν ἀνεθάλλομεν εἰς ζωήν· τύπος δὲ ἦν ὁ Ἀδὰμ τοῦ μέλλοντος, τουτέστι Χριστοῦ, τῇ τῶν φθασάντων σκαιότητι τὴν ἰσομοιροῦσαν ἡμῖν εἰσκομίζοντος χάριν· ἆρα οὖν, φησὶ, τοῦτο λέγων διημάρτηκα τἀληθοῦς; ἔξω φέρομαι τοῦ εἰκότος; οὐχ ὡς τὸ παράπτωμα οὕτω καὶ τὸ χάρισμα; ἀλλ' ἴσχυσε μὲν δι' ἑνὸς ὁ θάνατος, ἀτονήσει δὲ δι' ἑνὸς ἡ ζωή; καίτοι πῶς οὐκ ἀληθὲς ἐκεῖνο εἰπεῖν; εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ὑπερίσσευσεν· ἀνέξεται γὰρ ἥκιστά γε, φιλάνθρωπος ὢν ὁ δημιουργὸς, κατισχῦσαι μὲν θάνατον διὰ τοῦ ἑνὸς, ἀπρακτῆσαι δὲ τὴν δι' ἑνὸς ἀνθρώπου ζωήν· ὑπερκείσεται δὲ ἡ χάρις τὰ ἐξ ὀργῆς.

21. διημάρτηκα κατ' ἀληθοῦς; (sic) B. Migne.

27. Ita et B. ὑπερεπερίσσευσεν

8 M.

Καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα. 16

Ἀνατίθησιν ὥσπερ τὴν τοῦ πράγματος φύσιν καὶ τὴν τοῦ νοήματος δύναμιν ἐπὶ τὸ ὅτι μάλιστα πρέπον τῷ Θεῷ· εἰ γὰρ δὴ, φησὶ, τὸ ἐξ ἑνὸς, ἤτοι δι' ἑνὸς, κατάκριμα τοῦ Ἀδὰμ ἀπεφοίτησεν εἰς πάντας καθ' ὁμοιότητα τὴν αὐτοῦ· ῥίζα γὰρ ἦν ὡς ἔφην τοῦ γένους παθοῦσα τὴν φθορὰν, πῶς οὐκ ἂν γένοιτο καὶ πίστει παράδεκτον καὶ ἀγαπητὸν τῷ Θεῷ τὸ δεῖν ἐξ ἑνὸς δικαιώματος ἐκ πολλῶν παραπτωμάτων δικαιοῦσθαι πολλούς; ἢ οὐχ αἱρετὸν τὸ σώζειν μᾶλλον ἢ ἀπολλύναι παρὰ Θεῷ; ὥσπερ τοίνυν καταδεδίκασται μὲν ὁ Ἀδὰμ, κατεκράτησε δὲ Μωυσέως ἡ τῆς ἀρᾶς δύναμις ὑποφέρουσα τῇ φθορᾷ τοὺς ἐπὶ τῆς γῆς, οὕτως ἐπειδήπερ δεδικαίωται Χριστὸς ὁ δεύτερος Ἀδὰμ, ὁδῷ τῇ πρώτῃ βαδιεῖταί που πάντως καὶ εἰς ἡμᾶς ἡ δικαίωσις. δεδικαιῶσθαι δέ φαμεν τὸν Χριστὸν, οὐχ ὡς ἄδικον μὲν γεγονότα ποτὲ, προήκοντα γεμὴν ἐξ ἐπιδόσεως τῆς εἰς τὰ ἀμείνω εἰς δικαίωσιν, ἀλλ' ὅτι πρῶτός τε καὶ μόνος ἄνθρωπος αὐτὸς ἐπὶ γῆς "οὐκ ἐποίησεν ἁμαρτίαν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στό- 1 S. Pet. ii. 22.
"ματι αὐτοῦ."

Εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνὸς κ.τ.λ. 17

Ἄθρει δὴ πάλιν ὡς ἀλκιμωτέραν τῆς κατακρινούσης ἀρᾶς καταλογίζεται τὴν δικαιοῦσαν χάριν· οὐ γὰρ δὴ, φησὶ, φαίη τις ἂν ὡς ἦν εἰκὸς κατισχῦσαι μὲν τῶν ἐπὶ τῆς γῆς τὸν δι' ἑνὸς θάνατον, εὐσθενείας γεμὴν ἀμοιρῆσαι τὴν ζωήν· πολλῷ γὰρ μᾶλλον οἱ χάριν ἔχοντες τὴν διὰ Χριστοῦ καὶ τὴν τῆς δικαιοσύνης δωρεὰν ἐκ φιλοτιμίας τῆς ἄνωθεν, ἀποσείσονται μὲν τοῦ θανάτου τὸ κράτος, συμβασιλεύσουσι δὲ τῷ ζωοποιοῦντι τὰ πάντα Χριστῷ.

16. γε μὲν Migne. 23. δὴ B. δὲ Ed. 28. συμβασιλεύουσι (sic) B.

[8 M.]

18 sq. Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα κ.τ.λ.

Προσεπάγει ταῖς προκειμέναις ἐννοίαις ὁ θεσπέσιος Παῦλος οἱονεὶ τὸ συμπέρασμα καί φησιν Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος καὶ τὰ ἑξῆς. κατακεκρίμεθα μὲν γὰρ, ὡς προεῖπον, ἐν Ἀδὰμ, καὶ ὡς ἐκ ῥίζης τῆς πρώτης εἰς ἅπαν διέβη τὸ ἐξ αὐτῆς, γενόμενος ὁ ἐξ ἀρᾶς θάνατος· δεδικαιώμεθα δὲ καὶ ἀνεβλαστήσαμεν εἰς ζωὴν, δικαιωθέντος ὑπὲρ ἡμῶν τοῦ Χριστοῦ. ἀφειδήσας μὲν γὰρ τῆς αὐτῷ δοθείσης ἐντολῆς ὁ προπάτωρ, προσκέκρουκε τῷ Θεῷ καὶ ὑπομεμένηκε τὰ ἐκ θείας ὀργῆς· κατώλισθε γὰρ εἰς φθοράν· τότε καὶ εἰσήλατο τὴν ἀνθρώπου φύσιν ἡ ἁμαρτία· οὕτω καὶ ἁμαρτωλοὶ
9 M. κατεστάθησαν οἱ πολλοὶ, τουτέστιν οἱ ἀνὰ πᾶσαν τὴν γῆν.

Ἀλλ' εἴποι τις ἄν Ναὶ παρώλισθεν ὁ Ἀδὰμ, καὶ τῆς θείας ἀλογήσας ἐντολῆς, φθορᾷ καὶ θανάτῳ κατεδικάζετο· εἶτα πῶς ἁμαρτωλοὶ δι' αὐτὸν κατεστάθησαν οἱ πολλοί; τί πρὸς ἡμᾶς τὰ ἐκείνου πταίσματα; πῶς δὲ ὅλως οἱ μήπω γεγενημένοι καταδεδικάσμεθα σὺν αὐτῷ; καίτοι Θεοῦ λέγοντος
Deut. xxiv. 18. "Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων," οὔτε τέκνα
Ezek. xviii. 4. ὑπὲρ πατέρων, "ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται" τίς οὖν ἂν γένοιτο πρὸς ἡμᾶς τῆς ἀπολογίας ὁ τρόπος; οὐκοῦν ψυχὴ μὲν ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται· ἁμαρτωλοὶ δὲ γεγόναμεν διὰ τῆς παρακοῆς τοῦ Ἀδὰμ διὰ τοιόνδε τρόπον· πεποίητο μὲν γὰρ ἐπὶ ἀφθαρσίᾳ καὶ ζωῇ, ἦν δὲ αὐτῷ καὶ ὁ βίος ἁγιοπρεπὴς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ὅλος ἦν καὶ διὰ παντὸς ἐν θεοπτίαις ὁ νοῦς, ἐν εὐδίᾳ δὲ καὶ γαλήνῃ τὸ σῶμα, κατηρεμούσης ἁπάσης αἰσχρᾶς ἡδονῆς· οὐ γὰρ ἦν ἐκτόπων κινημάτων θόρυβος ἐν αὐτῷ· ἐπειδὴ δὲ πέπτωκεν ὑφ' ἁμαρτίαν, καὶ κατώλισθεν εἰς φθορὰν, ἐντεῦθεν εἰσέδραμον τὴν τῆς σαρκὸς φύσιν ἡδοναί τε καὶ ἀκαθαρσίαι, ἀνέφυ δὲ καὶ ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων

18. γεγενημένοι habet et B. 26. ὅλον B.

[9 M.]

νόμος· νενόσηκεν οὖν ἡ φύσις τὴν ἁμαρτίαν διὰ τῆς παρακοῆς τοῦ ἑνὸς, τουτέστιν Ἀδάμ· οὕτως ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὐχ ὡς τῷ Ἀδὰμ συμπαραβεβηκότες, οὐ γὰρ ἦσαν πώποτε, ἀλλ' ὡς τῆς ἐκείνου φύσεως ὄντες τῆς ὑπὸ νόμον πεσούσης τὸν τῆς ἁμαρτίας. ὥσπερ τοίνυν ἠῤῥώστησεν ἡ ἀνθρώπου φύσις ἐν Ἀδὰμ διὰ τῆς παρακοῆς τὴν φθορὰν, εἰσέδυ τε οὕτως αὐτὴν τὰ πάθη, οὕτως ἀπήλλακται πάλιν ἐν Χριστῷ· γέγονε γὰρ ὑπήκοος τῷ Θεῷ καὶ Πατρὶ, καὶ οὐκ ἐποίησεν ἁμαρτίαν·

Νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. 20

Διαλογιεῖταί τις, φησὶ, κατὰ τὸ εἰκὸς ἐκεῖνό που καὶ λέγει "Τύπος ἦν τοῦ μέλλοντος" ὁ Ἀδὰμ, καὶ ὥσπερ ἐν ἐκείνῳ κατεστάθημεν ἁμαρτωλοὶ διὰ τὴν παράβασιν, οὕτως ἐν Χριστῷ δεδικαιώμεθα δι' ὑπακοῆς. ἔδει τοίνυν μεσολαβοῦντος, φησὶν, οὐδενὸς τὴν ἐν Χριστῷ δικαίωσιν τοῖς ἐπὶ γῆς ἀναφαίνεσθαι· εἶτα ποία γέγονε τῶν διὰ Μωυσέως νόμων ὡς ἐξ ἀνάγκης ἡ χρεία; πρὸς δὴ τὰ τοιαῦτα πάλιν ὁ θεσπέσιος Παῦλος μονονουχὶ καὶ ἀνίσταται λέγων Νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα· τὸ δέ Παρεισῆλθεν, ἀντὶ τοῦ παρεισβέβληκε μεταξὺ τῆς τε ἐν Ἀδὰμ κατακρίσεως καὶ τῆς ἐν Χριστῷ δικαιοσύνης. καὶ τίς ἂν νοοῖτο πάλιν τῆς τοῦ νόμου παρεισδρομῆς ἡ χρεία, σαφῶς ἀκούσει λέγοντος Ἵνα πλεονάσῃ τὸ παράπτωμα. τί φῄς, ὦ Παῦλε; ἆρα καὶ ἁμαρτίας ὁ νόμος ἦν πρόξενος, καὶ πεπλήθυνται δι' αὐτοῦ τὸ παράπτωμα; μὴ γένοιτο. χρὴ τοίνυν κατευρῦναι τῆς μυσταγωγίας τὸν τρόπον. ἔφη τοιγαροῦν ὁ Δαυεὶδ ὅτι "πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός·" διεφθάρκασι μὲν γὰρ πάντες οἱ ἐπὶ τῆς γῆς τὴν ὁδὸν αὐτῶν μετὰ τὴν ἐν Ἀδὰμ παράβασιν· ταύτῃτοι καὶ ἐκολάζοντο, κοινὴν μὲν ἅπαντες ὑπομείναντες δίκην τὸν κατακλυσμὸν, ἰδικῶς δὲ καὶ κατὰ καιροὺς καὶ κατὰ χώρας τε καὶ πόλεις· εἰ γὰρ καὶ νόμος οὐκ ἦν, ἀλλ' οὖν

Supra ver. 14.

10 M.

Ps. xiii. 3.

Cf. Gen. vi. 12.

[10 M.] καὶ ἐξ ἐμφύτων κινημάτων ἐπαιδαγωγεῖτο παρὰ Θεοῦ πρὸς εἴδησιν τῶν ἀγαθῶν ἡ ἀνθρώπου φύσις· πεπραχότας δὴ οὖν ἀθλίως τοὺς ἐπὶ γῆς κατηλέει Θεὸς, καὶ τῆς τυραννούσης αὐτοὺς ἁμαρτίας ἀπαλλάττειν ἐν Χριστῷ φιλαγάθως ἐσκέπτετο· ἀλλὰ δεῖν ᾠήθη καὶ μάλα ὀρθῶς πολὺ νοσοῦντας προαναφαίνεσθαι τοὺς ἐπὶ τῆς γῆς, ἵνα χρειωδεστάτην ἔχουσα τὴν εἰς τὸν κόσμον εἰσβολὴν, ἡ ἐν Χριστῷ δικαίωσις ὁρῷτο λοιπόν· δικαιοῦσθαι γάρ φαμεν οὐ τὸν ἤδη δίκαιον, ἀλλ' εἴ τις ἐστὶν ἁμαρτίαις ἔνοχος· πῶς οὖν ἔδει προαναδείκνυσθαι τοὺς ἐπὶ τῆς γῆς τῆς ἐν Χριστῷ χάριτος δεδεημένους; παρεισῆλθε νόμος ἵνα πλεονάσῃ τὸ παράπτωμα· τουτέστιν, ἵνα ἐν τοῖς ὑπὸ νόμον πολὺ φαίνοιτο τὸ παράπτωμα, μηδενὸς δηλονότι δικαιοῦσθαι δυναμένου διὰ τὸ τῆς φύσεως ἀσθενὲς, ὑποπιπτόντων δὲ ὥσπερ ἁπάντων ταῖς ἐκ παραβάσεως αἰτίαις. τέθειται τοίνυν ὁ νόμος ἔλεγχος οἷά τις τῆς ἁπάντων ἀσθενείας, ἵνα φαίνοιτο τὰ ἀνθρώπινα μόνης τῆς διὰ Χριστοῦ θεραπείας δεδεημένα· ταύτῃτοί φησιν Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις· ἔδει γὰρ εἶναι τοσαύτην ὡς ἀμείνω φαίνεσθαι τοῦ κατακρίνοντος νόμου.

Κεφ. ϛ'. 3, 4 Ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν;

Βεβαπτίσμεθα μὲν ὁμολογουμένως εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· εἰ δὲ δὴ λέγοι ὡς εἰς Χριστὸν Ἰησοῦν βεβαπτίσμεθα, οὐκ ἔξω τοῦ εἰκότος ἐρεῖ· μάλιστα μὲν γὰρ ὀνόμασί τε καὶ ὑποστάσεσι καὶ προσώπων διαφοραῖς εἰς ἰδικὴν ἑτερότητα διεστήξει πως Πατὴρ πρὸς Υἱὸν καὶ πρὸς ἄμφω τὸ Πνεῦμα· Πατὴρ γάρ ἐστιν ὁ Πατὴρ καὶ οὐχ Υἱός· Υἱὸς δ' αὖ πάλιν κατὰ φύσιν ὁ ἐξ αὐτοῦ καὶ οὐ Πατὴρ, Πνεῦμα δὲ ἰδικῶς τὸ Πνεῦμα τὸ
11 M. Ἅγιον· ἐπειδὴ δὲ ἐν Πατρὶ μέν ἐστιν ὁ Υἱὸς, ἐν Υἱῷ δὲ Πατὴρ, ὄντος ἐν ἀμφοῖν τοῦ Ἁγίου Πνεύματος διὰ τὸ τῆς οὐσίας

5. δεῖ B. 24. ὡς assumptum ex B.

[11 M.]

ταὐτὸν, κἂν εἰ ἕν τις ὀνομάσῃ, δυνάμει θεωρημάτων τὴν τοῦ παντὸς δήλωσιν ἐποιήσατο. οὐκοῦν ὁ Χριστὸν ὀνομάσας οὐκ ἀμνημονεύσει τοῦ Πατρὸς ἢ τοῦ Πνεύματος. ἐπειδὴ δὲ γενόμενος ἄνθρωπος, τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ἀνέτλη θάνατον ὁ Ἰησοῦς, κεχώρηκεν ἀναγκαίως ὁ μακάριος Παῦλος ἐπὶ τὸ ὅτι μάλιστα τῇ προκειμένῃ μυσταγωγίᾳ χρειωδέστατον· ἔδει γὰρ ὀνομάσαι τὸν πεπονθότα· ταύτῃτοί φησιν Ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. προκαταθέμενοι γὰρ ὥσπερ τὸ ἐκ συνειδήσεως ὀρθῆς ἀγαθὸν ἐπερώτημα εἰς Χριστὸν, καὶ πίστει παραδεξάμενοι ὅτι καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν καὶ ἐτάφη καὶ ἀνεβίω, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐσχήκαμεν διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ τὴν τῆς ἁμαρτίας ὑπομένοντες νέκρωσιν, καὶ οἷον τῷ δι' ἡμᾶς τεθνεῶτι συναποθνήσκοντες διὰ τὸ νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ὁ μὲν γὰρ Χριστὸς "τῇ ἁμαρτίᾳ "ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ·" ἡμεῖς δὲ τὸν ἴσον αὐτῷ θάνατον ὑπομένομεν, καὶ μονονουχὶ συντεθάμμεθα, τὴν αὐτοῦ νέκρωσιν περιφέροντες ἐν ἰδίοις σώμασιν, συνετάφημεν δὲ τῷ Χριστῷ. τί δὴ ἄρα ἐντεῦθεν ἀποκερδαίνοντες, σαφηνιεῖ λέγων αὐτός Ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· δεῖ γὰρ ἡμᾶς ὡς συντεθαμμένους καὶ συνανίστασθαι νοητῶς· καὶ εἴπερ ἐστὶ τεθνάναι τῇ ἁμαρτίᾳ τὸ συνθάπτεσθαι τῷ Χριστῷ, δῆλον ἂν εἴη δήπουθεν ὡς οὐχ ἕτερόν τι τὸ συνανίστασθαι νοοῖτ' ἂν εἰκότως, πλὴν ὅτι τὸ ζῆν ἐν δικαιοσύνῃ.

Infra ver. 10.

Ἐγηγέρθαι μὴν διαβεβαιοῦται Χριστὸν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὐχ ὡς ἰσχύος ἐπιδεᾶ· καὶ γάρ ἐστιν αὐτὸς ὁ τῶν δυνάμεων Κύριος· ἀλλ' ὅτι τὰ ὑπὲρ ἀνθρώπου φύσιν τῇ τῆς ἀνωτάτω φύσεως δόξῃ προσάπτειν ἔθος αὐτῷ τε Χριστῷ καὶ τοῖς αὐτοῦ. οὐκοῦν κἂν εἴ τι λέγοιτο κατορθοῦν ὁ Θεὸς

16. ὃ emendavi post Migne. ὁ B. Mai. 22. περιπατήσωμεν B.
27. μὴν] Legendum ut vid. γεμήν.

[11 M.] καὶ Πατὴρ, οὐκ ἐξ οἰκείου μὲν τῆς ἐφ' ἅπασιν ἐνεργείας αὐτοῦ τὸν Υἱόν· εἰ γὰρ πάντα γέγονε δι' αὐτοῦ, πῶς ἂν ἐνδοιάσειέν τις ὡς ἐνήργηκε διὰ Υἱοῦ καὶ αὐτοῦ τοῦ ἁγίου σώματος τὴν ἀνάστασιν; καὶ γοῦν ὁ Υἱὸς ἐνεργὸν εἰς τοῦτο δεικνὺς ἑαυτὸν, τοῖς Ἰουδαίοις ἔφασκε "Λύσατε τὸν ναὸν "τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν." (S. Joan. ii. 19.) ἄθρει δὴ οὖν ὅπως αὐτὸς ἐγείρειν ἐπαγγέλλεται τὸν ἴδιον ναὸν, καίτοι τοῦ 12 M. Θεοῦ καὶ Πατρὸς ἀναστῆσαι λεγομένου· ἐπειδὴ γάρ ἐστιν αὐτὸς ἡ ζωοποιὸς δύναμις τοῦ Θεοῦ καὶ Πατρὸς, τὸν ἴδιον ἐζωοποίει ναόν.

5 Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ κ.τ.λ.

Χρῆναί φησιν ὁ θεσπέσιος Παῦλος τοὺς συντεθαμμένους Χριστῷ καὶ συναναστήσεσθαι προσδοκᾶν· καὶ τὸ μὲν σύμφυτοι, τὸ οἱονεὶ σύμμορφοί τε καὶ ταυτοειδεῖς νοητῶς ὑπεμφήνειεν ἄν. πλὴν ἐκεῖνο περιαθρεῖν ἀναγκαῖον· τέθεικεν ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυχὴν ὁ Ἐμμανουὴλ καὶ ἀπέθανε κατὰ σάρκα· συντεθάμμεθα δὲ αὐτῷ τίνα δὴ τρόπον ἡμεῖς οἱ βεβαπτισμένοι; ἆρα ὡς ἀνατλάντες σὺν αὐτῷ τὸν τῆς σαρκὸς θάνατον; οὐμενοῦν. πῶς οὖν ἄρα σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, φέρε δὴ φέρε λέγωμεν· ἀπέθανε μὲν γὰρ κατὰ σάρκα Χριστὸς, ἵνα λύσῃ τοῦ κόσμου τὴν ἁμαρτίαν· ἀποθνήσκομεν δὲ ἡμεῖς οὐ κατά γε τὴν σάρκα· πόθεν; (Supra ver. 2.) ἀλλὰ τῇ ἁμαρτίᾳ, καθὰ γέγραπται, τουτέστιν ἀεργῆ τε καὶ ἄπρακτον ἐν ἑαυτοῖς ἀποφαίνοντες τὴν ἁμαρτίαν διὰ τοῦ (Col. iii. 5.) κατανεκροῦν "τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρ"σίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν." σύμφυτοι δὴ οὖν γεγόναμεν, οὐχὶ δὴ μόνον τῷ κατὰ σάρκα

1. *ἐξοικειοῦμεν* Mai qui codicem suum *οὐκ ἐξ οἰκείου μὲν* exhibere dicit. *οὐκ ἐξ ἐκείνου μὲν* B. 9. *τὸν* assumptum ex B. 13. *ὁμοίωμα θανάτου ὁ Χριστοῦ θάνατος, διὰ τὸ μὴ ἀπομεμενηκέναι αὐτὸν τῷ θανάτῳ ἀλλὰ ἀναβιῶναι τριήμερον* e Cat. Oecum. hic exhibet Migne. Non autem pertinet hic, testibus libris qui praemittunt *τοῦ ἁγίου κυρίλλου ἐν τῷ ιβ' βιβλίῳ* [*ἐκ τοῦ ιβ λόγου τοῦ* Cod. Sinait.] *κατὰ ἰουλιανοῦ*. 21. *λέγομεν* B.

[12 M.]

θανάτῳ Χριστοῦ, ἀλλὰ καὶ τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. τοῦτο δ' ἂν εἶναι νοοῖτο τὸ ὑπὲρ τῆς ἁμαρτίας ἀποθανεῖν, καὶ οὐχ ὑπέρ τε τῆς ἰδίας, πολλοῦ γε καὶ δεῖ· καὶ γάρ ἐστιν ἄμωμος ὁ Θεὸς καὶ τοῦ δύνασθαι πλημμελεῖν ἀπωτάτω· ἀλλ' ἵνα, ὡς ἔφην, ὑπὲρ τῆς τοῦ κόσμου ἁμαρτίας· "ὃ γὰρ (Infra ver. 10.) ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ." οὐκοῦν σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. ἐσόμεθα δὲ πάντως σύμφυτοί τε καὶ ταυτοειδεῖς καὶ τῆς ἀναστάσεως αὐτοῦ· ζησόμεθα γὰρ ἐν Χριστῷ, καὶ ἀναβιώσεται μὲν ἡ σὰρξ, ζησόμεθα δὲ καὶ καθ' ἕτερον τρόπον, αὐτῷ τὴν οἰκείαν ἀναθέντες ψυχὴν, μεταστοιχειούμενοί τε πρὸς ἁγιασμὸν καὶ εἰς εὐκλεᾶ πολιτείαν ἐν Ἁγίῳ Πνεύματι.

Τοῦτο γινώσκοντες ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος κ.τ.λ. 6

Τίς ὁ παλαιὸς ἡμῶν ἄνθρωπος, ποῖον δὲ δὴ τὸ σῶμα τῆς ἁμαρτίας τὸ καταργούμενον, καὶ τίνα δὴ τρόπον συνεσταυρώθη Χριστῷ, πολυπραγμονεῖν ἀναγκαῖον· ἴσως μὲν οὖν οἰήσονταί τινες ἁμαρτίας εἰρῆσθαι σῶμα τὴν ἀπὸ γῆς σάρκα, καθάπερ ἐν τάξει δίκης τῇ τοῦ ἀνθρώπου δοθεῖσαν ψυχῇ, διὰ τὸ καὶ πρὸ σωμάτων ἡμαρτηκέναι· δοκεῖ γὰρ ὧδέ τισι καὶ φρονεῖν καὶ λέγειν· Ἑλλήνων δὲ οὖσαν τὴν δόξαν ὡς οὐκ ἀληθῆ (13 M.) διωσώμεθα. σῶμα τοίνυν ἁμαρτίας καὶ παλαιὸν ἡμῶν ἄνθρωπον, τὸ σῶμα λέγει τὸ ἀπὸ γῆς, ἔχον ὥσπερ ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸ καταφθείρεσθαι δεῖν· καὶ καταδεδικάσμεθα γὰρ ἐν ἐκείνῳ καὶ πρώτῳ· ἠῤῥωστηκὸς δὲ πρὸς τούτῳ καὶ τὸ φιλήδονον· ἔχει γὰρ οὕτω κατὰ φύσιν ἡ σὰρξ ἐξ ἐμφύτων κινημάτων. πῶς οὖν ἄρα συνεσταύρωται τῷ Χριστῷ; γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, καὶ σάρκα τὴν ἀπὸ γῆς ἠμπέσχετο καταῤῥωστοῦσαν, ὡς ἔφην, ὡς ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸν θάνατον· ὠδίνουσαν δὲ ὥσπερ ἐν ἑαυτῇ καὶ τὸ ἐξ ἐμφύτων κινημάτων ἀκονᾶσθαι

6. ἁμαρτίᾳ,] Ita interpungit et B. 23. καὶ assumptum ex B.
30. ἑαυτῇ B. αὐτῇ Ed.

[13 M.] πρὸς ἁμαρτίαν· κατηρεμεῖ μὲν τῆς ἁμαρτίας ὁ νόμος ἐν τῇ ἁγίᾳ καὶ παναγνῷ σαρκὶ τοῦ Χριστοῦ· καὶ οὔ τι που κεκινῆσθαί φαμεν ἐν αὐτῷ τὰ τῶν ἀνθρωπίνων παθῶν ἐκτοπώτερα, πλὴν ὅσα τὴν κίνησιν ἀδιάβλητον ἔχει, τὸ πεινῆν δὴ λέγω καὶ τὸ διψῆν καὶ τὸ κοπιᾶν καὶ ὅσα καὶ παρ' ἡμῖν ὁ τῆς φύσεως νόμος ἔξω τετήρηκεν αἰτίας· ὅμως εἰ καὶ μὴ κεκίνηται τυχὸν ἐν Χριστῷ τῆς ἁμαρτίας ὁ νόμος, διά τοι τὸ κατηυνᾶσθαι τῇ τοῦ οἰκονομοῦντος Λόγου δυνάμει τε καὶ ἐνεργείᾳ, ἀλλ' οὖν ὅταν αὕτη καθ' ἑαυτὴν ἡ τῆς σαρκὸς δοκιμάζεται φύσις, κἂν εἰ ἐν Χριστῷ νοοῖτο τυχὸν, οὐχ ἑτέραν οὖσαν παρὰ τὴν ἡμῶν εὑρήσομεν. συνεσταυρώμεθα τοίνυν αὐτῷ, σταυρωθείσης αὐτοῦ τῆς σαρκὸς, καὶ οἷον ὅλην ἐχούσης ἐν ἑαυτῇ τὴν φύσιν· καθάπερ ἀμέλει καὶ ἐν Ἀδὰμ, ὅτε γέγονεν ἐπάρατος, ὅλη νενόσηκε τὴν ἀρὰν ἡ φύσις· οὕτω γὰρ καὶ συνεγηγέρθαι λεγόμεθα τῷ Χριστῷ, συγκαθῆσθαι δὲ καὶ ἐν τοῖς ἐπουρανίοις· εἰ γὰρ καί ἐστιν ὑπὲρ ἡμᾶς ὡς Θεὸς ὁ Ἐμμανουὴλ, ἀλλ' οὖν ἐπεί τοι γέγονε καθ' ἡμᾶς ὡς εἷς ἐξ ἡμῶν, ἐγήγερταί τε καὶ συνεδρεύει τῷ Θεῷ καὶ Πατρί. συνεσταυρώθη τοίνυν ὁ παλαιὸς ἄνθρωπος· λέλυται γὰρ διὰ τῆς ἀναστάσεως τῆς ἀρχαίας ἐκείνης ἀρᾶς ἡ δύναμις· κατήργηται δὲ καὶ τὸ σῶμα τῆς ἁμαρτίας, καὶ οὐχὶ δὴ πάντως ἡ σὰρξ, ἀλλὰ τῶν ἐν αὐτῇ κινημάτων ἡ ἔμφυτος ἀγριότης, κατασείουσα μὲν ἀεὶ πρὸς τὰ αἰσχίω τὸν νοῦν, ἐνιεῖσα δὲ ὥσπερ πηλῷ καὶ τέλμασι ταῖς γεωδεστέραις ἡδοναῖς· ὅτι γὰρ ἐν Χριστῷ καὶ τοῦτο κατώρθωται τῇ ἀνθρωπείᾳ φύσει,
Infra viii. 3. πῶς ἂν ἐνδοιάσειέ τις, Παύλου λέγοντος ἐναργῶς "Τὸ "γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ "Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρ-"τίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ "σαρκί;" ὁρᾷς οὖν ὅπως τὸ τῆς ἁμαρτίας κατήργηται σῶμα;
14 M. κατακέκριται γὰρ ἐν τῇ σαρκὶ τῆς ἁμαρτίας τὸ κέντρον· καὶ

20—p. 193, 2. partim citant t, Catenaeque hujus generis ceterae. 28. θεὸς] πατὴρ t. Codd. Parh. Sinait. invitis B. Cod. S. Laurentii Escorialensis ψ. iii. 18. 29. καὶ περὶ ἁμαρτίας om. B.

νενέκρωται μὲν ἐν πρώτῳ Χριστῷ, διαβέβηκε δὲ παρ' αὐτοῦ τε καὶ δι' αὐτοῦ καὶ εἰς ἡμᾶς ἡ χάρις. [14 M.]

Ἢ ἀγνοεῖτε, ἀδελφοί; γινώσκουσι γὰρ νόμον λαλῶ. Κεφ. ζ. 1 sqq.

Πανταχοῦ ἐπισφαλὲς ἀποφαίνει τὸ ὑπὸ νόμῳ κεῖσθαι ζητεῖν· προτρέπει δὲ μᾶλλον ἐφίεσθαι καὶ ὅλῃ διανοίᾳ διψῆν τὴν διὰ πίστεως χάριν, τουτέστι τὴν ἐν Χριστῷ δικαίωσιν· ᾧ καὶ συντεθάφθαι διισχυρίσατο τοὺς βεβαπτισμένους, ἵνα νεκρωθέντες τῇ ἁμαρτίᾳ, Θεῷ ζήσειαν ἐν δικαιοσύνῃ. τοιγάρτοι καὶ ἔφασκεν "Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ "θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν ταῖς ἐπιθυμίαις "αὐτοῦ, μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ "ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡσεὶ ἐκ "νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ "Θεῷ· ἁμαρτία γὰρ ὑμῶν οὐκέτι κυριεύσει· οὐ γάρ ἐστε "ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν." ἄθρει δὴ οὖν ὅπως ἀποφοιτᾶν ἐπιτάττει τῆς τοῦ νόμου σκιᾶς, ὑποτρέχειν δὲ μᾶλλον τὴν ἐν Χριστῷ χάριν· πλὴν οὐκ ἠγνόησεν ὁ πνευματοφόρος ὅτι δὴ πάντως ἐροῦσί τινες, ἤγουν διαλογιοῦνται, ὅτι διημαρτήκασιν ἄρα τῆς εὐθείας ὁδοῦ καὶ ζωῆς οἱ πατέρες· ὤνησε δὲ αὐτοὺς ὁ νόμος οὐδὲν, καὶ φροῦδά πως ἤδη τῆς ἐκείνων πολιτείας τὰ αὐχήματα· εἰ γάρ ἐστι τῶν ἀτόπων τὸ ὑπὸ νόμῳ κεῖσθαι ζητεῖν, καὶ ἦν οὗτος τοῖς ἀρχαίοις ὁ τοῦ βίου σκοπὸς, πῶς οὐκ ἀληθὲς εἰπεῖν ὡς τοῦ πρέποντος διημαρτήκασιν; ἀγωνίζεται τοίνυν ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ· καὶ ὑποπλάττεται μὲν εὐφυῶς τὸ καὶ αὐτοῖς βούλεσθαι συνειπεῖν τοῖς ὑπὸ νόμον βεβιωκόσι, περιτρέπει δὲ ποικίλως εἴς γε τὸ δεῖν οἴεσθαι, καιροῦ καλοῦντος εἰς πίστιν, μὴ λίαν ἐθέλειν τοῖς ἀρχαίοις ἔθεσιν ἐμφιλοχωρεῖν· ταύτῃτοί φησιν Ἢ ἀγνοεῖτε, ἀδελφοὶ, γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; ὅρος οὗτος γενικὸς

Supra vi. 12–14.

1. διέβη t. cet. 2. τε assumptum ex t. cet. 4. νόμον B. νόμῳ exhibet et in tabula aenea tomi initio praefixa Mai.

[14 M.] κατά τε νόμου παντὸς καὶ τῶν ὑπὸ νόμον· ἅπασι μὲν γὰρ τοῖς ὑπὸ σκῆπτρα βασιλέων διορίζουσι νόμοι τό τε πρακτέον καὶ τὸ μή· ἰσχύουσι δὲ παρά γε τοῖς ζῶσιν ἔτι· εἰ δὲ δή τις τῶν ὑπὸ νόμον τῆς ἐνσωμάτου ζωῆς ἀπαλλάττοιτο, συναπεδύσατο τῇ ζωῇ καὶ τῶν νόμων τὴν ἐξουσίαν· εἰ γὰρ πέπαυται τοῦ πλημμελεῖν, ἀπρακτήσει που πάντως καὶ ὁ νόμος ἐπ' αὐτῷ. ἀληθὲς οὖν ὅτι κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον
15 M. χρόνον ζῇ· καὶ τίς ἄρα ἐστὶν ὁ τοῦ λόγου σκοπὸς, ἀναγκαῖον εἰπεῖν· δύο κατ' αὐτὸν εἰσκομίζει χρήσιμα· ἡμεῖς μὲν γὰρ, φησὶν, οἱ συντεθαμμένοι Χριστῷ διὰ τοῦ βαπτίσματος, οἱ ἀποθανόντες τῇ ἁμαρτίᾳ, ἔξω γεγόναμεν τῆς ἐξουσίας τοῦ νόμου, μετεστοιχειώμεθα γὰρ εἰς ζωὴν ἑτέραν· οἱ δέ γε πρὸ τῆς ἐπιδημίας, οὔπω τὸν ἐν Χριστῷ νοούμενον θάνατον ὑπομείναντες, ἔζων ἔτι τῇ ἁμαρτίᾳ. ἐκράτει δὴ οὖν ὡς ζώντων ὁ νόμος, καθάπερ ἀμέλει καὶ γυναικὸς ὁ ἀνήρ· ὥσπερ γὰρ ἡ ὕπανδρος γυνὴ, ζῶντος μὲν ἔτι τοῦ κατὰ νόμον συνῳκηκότος, οὐκ ἀνεύθυνον ποιεῖται τὴν ὑφ' ἑτέρῳ σύνοδον· εἰ δὲ δὴ τεθναίη, φησὶν, ἔξω κείσεται δίκης, κἂν εἰ ἕλοιτο τοῦτο δρᾶν ἐννόμως· κατὰ τὸν ἴσον οἶμαι τρόπον οἱ μήπω τῆς ἁμαρτίας τὴν νέκρωσιν ἔχοντες ἐν Χριστῷ, ζῶντες δὲ ὥσπερ ἐν αὐτῇ, πεπράχασιν εἰκότως καὶ ὑπὸ νόμον· κυριεύει γὰρ τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ· οἱ δέ γε ὑπὸ χάριν ἤδη γεγονότες τὴν ἐν Χριστῷ, δι' ἧς καὶ τεθνήκασι τῇ ἁμαρτίᾳ καὶ νενέκρωνται τῇ σαρκὶ, τουτέστι τοῖς πάθεσι τῆς σαρκὸς, εἰ μηκέτι χρηματίζουσιν ὡς ζῶντες ἐν κόσμῳ, ἀκαταιτίατον ποιοῖντο ἂν τὴν ἔξω νόμου ζωήν· τεθανάτωνται γὰρ ὡς ἔφην διὰ τοῦ σώματος τοῦ Χριστοῦ, καὶ ἀπέθανον τῷ νόμῳ δικαιούμενοι διὰ πίστεως.

5 Ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο κ.τ.λ.

Σάρκα μὲν τὸ σαρκικὸν ὀνομάζει φρόνημα, ὡς καὶ ἐν

18. κεῖσθαι B.

[15 M.]

ἑτέροις φησίν "Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύναν- "ται·" καίτοι πῶς οὐκ ἀληθὲς ὡς οὐκ ἔξω γεγονόσι τοῖς παρ' αὐτοῦ μυσταγωγουμένοις τὰ τοιάδε παρεγγυᾷ; τί δὲ βούλεται δηλοῦν, πολυπραγμονεῖν ἀναγκαῖον· ὅτε τοίνυν σαρκικῶς ἐπολιτευόμεθα, φησὶ, καὶ τὸ γεῶδες ἐν ἡμῖν ἐκράτει φρόνημα, τότε καὶ ἐνηργεῖτο ἐν ἡμῖν τὰ τῆς σαρκὸς πάθη διὰ τοῦ νόμου πρὸς τὸ καρποφορῆσαι τῷ θανάτῳ· τί οὖν; φαίη τίς ἄν· τὰ πάθη τῆς σαρκὸς εἰσεκομίσθη διὰ τοῦ νόμου; εἶτα πῶς αὐτὸν ἐγκλημάτων ἀπαλλάξωμεν; τί οὖν πρὸς τοῦτό φαμεν; οὐ διὰ νόμου τὰ τῆς σαρκὸς ἐν ἡμῖν κεκίνηται πάθη, τίκτεται δὲ μᾶλλον καὶ ἐξ ἐμφύτου μὲν ἡδονῆς, τὸν δὲ ἀσθενῆ καταληΐζεται νοῦν· καὶ τοῦτο ἡμῖν ἐμφανὲς καθίστησι λέγων "Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ "πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῦτα δὲ ἀλ- "λήλοις ἀντίκειται." νυνὶ δὲ τοῦτο παρεὶς, ἀντεξάγειν τὴν σάρκα τῷ πνεύματί φησι, διὰ μέσου τιθεὶς οὐδέν. οὐκοῦν οὐ διά γε τοῦ νόμου τὰ τῆς σαρκὸς ἐν ἡμῖν κινεῖται πάθη, μᾶλλον δὲ φυσικῶς· καὶ τό γε παράδοξον τοῖς τοῦ νόμου θελήμασιν ἀντανίσταται, ὡς αὐτός που φησὶν ὁ Παῦλος ὅτι "τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ "τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται." εἰ δὲ μάχεται τῷ νόμῳ τὸ φρόνημα τῆς σαρκὸς, πῶς οὐκ ἀπόπληκτον ἐννοεῖν δι' αὐτοῦ κινεῖσθαι πρὸς ἐνέργειαν τὰ οὕτως ἀνθεστηκότα; τί οὖν ὁ Παῦλός φησιν; ὡς τεθνεῶσι τῇ ἁμαρτίᾳ διαλέγεται τοῖς διὰ τοῦ βαπτίσματος συντεθαμμένοις Χριστῷ, καὶ ὡς ἤδη τὴν τῶν παθῶν νέκρωσιν πεπλουτηκόσιν, οἷς ἂν πρέποι καὶ τὸ ἔξω δεῖν ἰέναι τοῦ νόμου, διά γε τοῦ ἀπηλλάχθαι παθῶν τῶν διὰ τοῦ νόμου καταδεδικασμένων. οὐκοῦν ἔτι μενόντων ἡμῶν ἐν τῷ φρονήματι τῆς σαρκὸς, πάθη τὰ διὰ τοῦ νόμου κατειρημένα τε καὶ ὠνομασμένα, φησὶν, ἐνηργεῖτο ἐν ἡμῖν· ἦμεν δὲ καὶ ὑπεύθυνοι τὸ τηνικάδε τῷ νόμῳ, ἅτε δὴ καὶ ζώσης ἐν ἡμῖν τῆς ἁμαρτίας ἔτι.

Infra viii. 8.

Gal. v. 17.

16 M.

Infra viii. 7.

2. ὡς οὐκ omittebat ut adnotat ipse Mai.

[16 M.]

6 Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα.

Ἔνοχοι μὲν γὰρ ἦμεν τῷ νόμῳ, φησὶν, ὑποθείσης ἡμᾶς τῆς ἁμαρτίας αὐτῷ· εἰ δὲ ἀπεθάνομεν ἐν ᾧ κατειχόμεθα, τουτέστι τῇ ἁμαρτίᾳ, συναπρακτήσει πάντως αὐτῇ καὶ ὁ νόμος· τεθέσπισται γὰρ δι' αὐτὴν, ἵνα ἐλέγχῃ τοὺς παραβαίνοντας. ἔξω δὴ οὖν τῆς τοῦ νόμου χρείας οἱ τῇ ἁμαρτίᾳ
Supra ver. 4. νενεκρωμένοι· γεγόναμεν γὰρ ἑτέρῳ, καὶ αὐτῷ δουλεύσωμεν ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος.

7 Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία;

Ἄθρει δὴ ὅπως σοφῶς τοὺς ἐπὶ τῷ νόμῳ ποιεῖται λόγους·
Supra ver. 5. ἔφη μὲν γὰρ, ὅτι "ὅτε ἦμεν ἐν τῇ σαρκὶ, τὰ παθήματα τῶν "ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν "ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ·" ἀπήλλακτο δ' ἂν οὐδαμῶς ὑποψίας ὁ λόγος· ἔφη γὰρ ἄν τις πρὸς ταῦτα εὐθύς Βραβευτὴς οὖν ἄρα καὶ εἰσηγητὴς ἁμαρτίας ὁ νόμος; εἰ γάρ ἐστιν ἀληθὲς ὡς ἐν ἡμῖν ἐνεργεῖται δι' αὐτοῦ τὰ παθήματα τῆς σαρκὸς, πῶς οὐκ ἂν νοοῖτο καὶ ἁμαρτίας γένεσις; τί οὖν ὁ μυσταγωγός; δριμὺς ὑπαντᾷ, καὶ ἀποφάσκει μὲν ὅτι πατὴρ ἁμαρτίας ὁ νόμος, αἰτιᾶται δὲ μᾶλλον τὴν ἀνθρώπου φύσιν ὡς ἀσθενῆ καὶ δι' αὐτοῦ παθοῦσαν τὸ ἐναλῶναι δίκαις· ταύτῃτοί φησι Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου. ὅρα τὴν νῆψιν· οὐ γὰρ ἔφη Τὴν ἁμαρτίαν οὐκ εἶχον, εἰ μὴ διὰ νόμου, ἀλλ' ὅτι μὴ ἔγνων μᾶλλον αὐτήν· οὐκοῦν οὐ πρόφασις ἁμαρτίας ὁ νόμος, παραδεικτικὸς δὲ μᾶλλον αὐτῆς,
17 M. τοῖς οὐκ εἰδόσιν αὐτὴν ἐμφανῆ καθιστὰς, οὐχ ἵνα μαθόντες

3. ὑποτιθείσης (bis citans) B. 10. Hic incipit A. 14. εἰς τὸ καρποφ. τῷ θανάτῳ om. A. 16. εἰσηγητὴς] + τῆς A. 17. ἐν ἡμῖν post αὐτοῦ transponit A. 19. ἀπαντᾷ haud male A. 20. ὅτι] + οὐ A. μᾶλλον post ἀσθενῆ transponit A. 23–25. A νόμου ad νόμου transilit B. 24. τὴν νῆψιν οὐ γὰρ ἔφη τὴν] τοίνυν ὅτι οὐκ εἶπε τὴν A. 25. ἔγνων A. ἔγνω B. Ed. 27. ἐμφανεὶς (sic) B.

[17 M.]

ἐργάσαιντο, εἴ γε καὶ πρὶν εἰδέναι, πάντως που καὶ ἔδρων· "οὐ γὰρ ἦν δίκαιος, οὐδὲ εἷς," κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· ἀλλ' ἵνα τὸ ἀδικοῦν εἰδότες, πρὸς τὰ ἀμείνω μεταχωρήσειαν. καί μοι δοκεῖ γενέσθαι τι τοιοῦτον τοῖς ἀρχαιοτέροις διὰ τῆς Μωσέως ἐντολῆς. ὑποκείσθω τῷ λόγῳ πλατεῖά τις οἶμος ἀποκομίζουσά ποι, καὶ διεῤῥίφθω μὲν ἐν αὐτῇ πολλὴ διὰ μέσου χερμὰς, ὀρωρύχθω δὲ εἰ δοκεῖ καὶ βόθροι· εἶτά τινες ἔστωσαν οἱ ἐν νύκτι καὶ σκότῳ βαδίζοντες ἐν αὐτῇ, περιπταίοντές τε καὶ μάλα συχνῶς τοῖς διὰ μέσου κειμένοις, καὶ μὴν βόθροις ἀβουλήτως ἐγκαθιέμενοι· ἔχοντος δὲ ὧδε τοῦ πράγματος, δᾳδά τις λαβὼν ἐπ' αὐταῖς ἔστησε ταῖς τριόδοις, ἐμφανῆ καθιστὰς τοῖς οὖσι τὰ μεταξὺ, οὐχ ἵνα πάλιν αὐτοῖς περιπταίωσιν, ἀλλ' ἵνα μᾶλλον ὑπερφέροιντο καὶ ἀπαλλάττοιντο τοῦ κακοῦ· ἆρα οὖν ἠδίκησε τὸ φῶς, ὅτι παρέδειξε τὸ λυποῦν; ἢ μᾶλλον ἐκεῖνό φαμεν, ὡς πλείστην ὅσην αὐτοῖς ἐνεποίει τὴν ὄνησιν, ἀπετέλει δὲ καὶ ἀσφαλεστέρους; ἀλλ' οἶμαι τοῦτό ἐστιν οὐδενὶ τῶν ὄντων ἀσυμφανές. ὅτε τοίνυν ὄντες ἁμαρτωλοὶ, πλείστοις τε ὅσοις ἐγκλήμασι περιπταίοντες, ἐγνώκαμεν διὰ τοῦ νόμου τὴν ἁμαρτίαν, οὐχ ἁμαρτία μᾶλλον ὁ νόμος νοοῖτ' ἂν εἰκότως ἢ λέγοιτο, πολλοῦ γε καὶ δεῖ, παραδεικτικὸς δὲ μᾶλλον τῆς ἁμαρτίας, ὡς ἔφην.

Supra iii. 10 e Ps. xiii. 3.

Τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος οὐκ ἐπιθυμήσεις ἔλεγεν. ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς 8 ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν.

Καὶ τὸ τῆς ἡμετέρας φύσεως ἀδρανὲς παρεισάγει, ὅτι δοθεὶς ὁ νόμος εἰς ὄνησιν, ἐπεβούλευσεν ἀδοκήτως, ὡς καὶ τοῖς τὸν ὀφθαλμὸν ἀσθενοῦσι τοῦ ἡλίου τὸ φῶς. ὅταν οὖν λέγῃ ἀφορμὴν ταῖς ἐπιθυμίαις τρόπον τινὰ τὴν ἐντολὴν γεγενῆσθαι, μηδεὶς κατηγορεῖν αὐτὸν οἰέσθω τοῦ νόμου, ἀλλὰ

1. ἐργάσοιντο A. 2. οὐδὲ εἷς assumptum ex A. 10. μὴν] + καὶ B. invito A. 12. ἰοῦσι A. 13. ὑπερφέροιντο καὶ om. A. 14. ἄρ' A. 21. παραδεικτικὸς emendavi post Cr. Migne. παραδεκτικὸς Ed. 23—p. 198, 9. Haec accesserunt ex A. cf. Cramer, p. 169.

[17 M.] κατακεκραγέναι μᾶλλον τῆς ἐν ἡμῖν ἀσθενείας· ἀνθ᾽ ὧν ἐχρῆν ἀνακόπτεσθαι διὰ τοῦ νόμου, διὰ τούτων εἰς τὰ χείρω παροτρυνομένους. ἡ γὰρ ἀνθρώπου διάνοια τὸ φιλόκενον ἀεὶ πρὸς ἐπιθυμίας νοσεῖ. καὶ ὁ μὲν ποιῶν τὰς ἐπιθυμίας, ὡς θέλει ζῇ, ἀνενόχλητος ὤν· ὁ δὲ ἀνακόπτων αὐτὰς, ἀγριωτέραν εἰσδέχεται τὴν τῶν παθῶν ἔφοδον· καὶ τῶν μὲν προχείρων οὐδεὶς ἐπιθυμεῖ· ὧν δὲ κωλύεταί τις ἐπιθυμεῖ. ὅθεν τοῦ νόμου κωλύσαντος τὸ βλάπτον, γέγονεν ἀφορμὴ τοῖς ἀσθενεστέροις τοῦ πλέον αὐτοῦ ἐπιθυμεῖν.

8 sqq. Χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά.

Εἰ γὰρ μὴ κέοιτο, φησὶν, ὁ τὸν τῆς φαυλότητος τρόπον καταδικάζων νόμος, ἀδρανὲς ἂν γένοιτο τὸ κακόν· κατερεθίζεται γὰρ μονονουχὶ πρὸς ἰσχὺν διὰ τοῦ νόμου, καὶ ῥαθυμότερον μέν τισι τὸ τῆς ἡδονῆς ἐγκείσεται κέντρον, ἐπιτιμῶντος αὐτῷ μηδενός· μόνον δὲ οὐχὶ καὶ ἀπαμβλύνεται τῷ τῆς ἐξουσίας πλάτει γοητευόμενον· οὗ γὰρ ὅλως τὸ ἀντιστατοῦν οὐδὲν, ἐκεῖ που πάντως ἀργεῖ καὶ τὸ φιλόνεικον. νεκρὰ τοιγαροῦν ἡ ἁμαρτία, νόμου τὸ πρακτέον μὴ διαγορεύοντος· ἐζηκέναι δέ φησιν ὁ μυσταγωγὸς χωρὶς νόμου ποτέ· εἶτα τῆς ἐντολῆς ἐλθούσης, ἀναβιῶναι μὲν τὴν ἁμαρτίαν, τεθνάναι γεμὴν ἑαυτὸν διισχυρίζεται.

Καὶ σχηματίζει μὲν ἐν τούτοις ἐφ᾽ ἑαυτῷ τὸν λόγον· οἶμαι δὲ ἔγωγε τοιοῦτόν τι βούλεσθαι δηλοῦν αὐτόν· ὑπὸ δίκην μὲν γὰρ ὁμολογουμένως ἐστὶ καὶ τὸ ἐν ἀγνοίᾳ πλημμελεῖν· ἔσται δὲ ὅτι φορτικωτέρα τοῖς εἰδόσιν ἡ κόλασις, S. Luc. xii. 47, 48. πεπληροφόρηκεν ὁ Σωτὴρ λέγων Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ

3. φιλόκενον edidi. φιλόκαινον Cod. 11. γὰρ om. A. τὸν—καταδικάζων] τῶν—τρόπων κατηγορῶν A. 14. κέντρον] δένδρον (sic) A. 15. δὲ om. A. 17. καὶ assumptum ex A. φιλόνεικον A.B. φιλόνικον Ed. 18. μὴ διαγορεύοντος A. διακρίνοντος Cat. alter, Ed., monente μὴ esse necessarium Maio. 19. Ἐζηκέναι μὲν novum scholion incipiens A. 21. ἑαυτὸν διισχυρίζεται A. αὐτὸν ἰσχυρίζεται Ed. 23. τοιοῦτόν A.B. Migne. τοῦτόν (preli sphalmate) Mai. βουλεύεσθαι A. 24—p. 199, 2. Ab ἀγνοίᾳ ad ἀγνοίᾳ transilit B.

εἰδὼς, καὶ μὴ ποιήσας, δαρήσεται ὀλίγας. οὐκοῦν ἄμεινον 18 M. ὁμολογουμένως τὸ ἐν ἀγνοίᾳ πλημμελεῖν, ἢ τὸ ἐν εἰδήσει νόμων. εἰ δὲ δή τις γέγονεν ὑπὸ νόμον, τὴν ἔξω νόμου ποτὲ διαζήσας ζωὴν, εἶτα τῶν τεθεσπισμένων ἀφειδεῖν ᾑρημένος, ἥλω γραφῇ ἁμαρτίας καὶ πέπτωκεν ὑπὸ δίκην· τότε δὴ τότε ταῖς ἑαυτοῦ ῥᾳθυμίαις ἐπιστυγνάσας, καὶ τῆς ἀκριβείας τοῦ νόμου μονονουχὶ κατακεκράξεται λέγων Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον. εἰ γάρ ἐστιν ἀληθῶς ἁμαρτία νεκρὰ χωρὶς νόμου, πῶς οὐ πιθανὸν ἐννοεῖν ζωοποιεῖσθαι τρόπον τινὰ διὰ τοῦ νόμου τὴν ἁμαρτίαν τοῦ καὶ ἐμφανῆ καθιστάντος αὐτὴν, καὶ οἷον ἔμπνουν ἀποτελοῦντος, καίτοι πάλαι μὴ ἐγνωσμένην, εἰ καὶ ἦν ἐν ἡμῖν; οὐ γὰρ ἦμεν δίκαιοι, ὥσπερ δὲ νεκρᾶς οὔσης τῆς ἁμαρτίας, διά τοι τὸ μὴ εἶναι τυχὸν τὸν καταδικάζοντα νόμον, ἐζῶμεν ἡμεῖς τῆς ἀγνοίας τὴν παραίτησιν εὐάφορμον ἔχοντες· "οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις," Supra iv. 15. καθά φησιν αὐτός. οὕτω παρελθούσης εἰς μέσον τῆς ἐντολῆς, ἀνεβίω μὲν ὥσπερ ἡ ἁμαρτία, κατηρτίσθη δὲ ὁ θάνατος καὶ ἀρὰ καὶ δίκη τῶν ταῖς παραβάσεσιν ὑποπιπτόντων ἐξ ἀσθενείας. καὶ τί τὸ ἐντεῦθεν; πέπρακταί τι τῶν ἐλπίδος ἔξω καὶ ἀδοκήτων ἐφ' ἡμῖν· εὕρηται γὰρ ἡ ἐντολή φησιν ἡ δοθεῖσα πρὸς ζωὴν, αὕτη εἰς θάνατον. ὥσπερ γὰρ κατασίνεταί πως τῆς ἡλιακῆς ἀκτῖνος τὸ φῶς τοὺς οἵπερ ἂν εἶεν τὴν ὄψιν ἠῤῥωστηκότες, καίτοι πεφυκὸς εἶναι γλυκὺ καὶ τριπόθητον, καὶ οὐκ αὐτὸ πάντως ἐστὶ τὸ ἀδικοῦν, νοοῖτο δὲ μᾶλλον τῆς τῶν πεπονθότων ἀῤῥωστίας ἔγκλημα τὸ ἀδικεῖσθαι παρ' αὐτοῦ· κατὰ τὸν ἴσον οἶμαι τρόπον πρόφασιν διδόσθαι τῇ ἁμαρτίᾳ φησὶ τὴν ἐντολὴν, ἐξηπατῆσθαί τε δι' αὐτῆς, κατακομισθῆναι δὲ καὶ εἰς θάνατον. φαίη δ' ἂν

4. ᾑρημένῳ (sic) B. 5. γραφὴν A. 6. καὶ post μονονουχὶ transponit A. 8. ἀνέζησεν A. ἔζησεν Ed. 10. ἐννοεῖν post ἁμαρτίαν transponit A. 12. ἐπιτελοῦντος A. 15. εὐάφορμον ex A. edidit Cramer. et ita Migne. εὐάμορφον (sic) Cat. altera unde Ed. 17. τῆς ἐντολῆς εἰς μέσον inverso ordine A. 18. κατηρτίσθη A. κατηργήθη Ed. 19. ἀρὰ A. ἄρα B. Ed. 21. φησιν ἡ ἐντολὴ inverso ordine A. 25. οὐκ αὐτὸ] ὁ κατ' αὐτὸ (sic) B. 28. δεδόσθαι A. 29. δὲ] τε A.

[18 M.] τις καὶ ἑτέρως ὅτι δὴ σφόδρα φιλεῖ ταῖς τοῦ νόμου βουλαῖς ἀεί πως μάχεσθαι τὸ φιλήδονον· καὶ οἱ τῆς φαυλότητος τρόποι ταῖς ἐπιεικείαις ἀνακοπτόμενοι, γενικώτερον ἀντεξάγουσι, καὶ τὸν νοῦν ἐσθ' ὅτε καταληΐζονται καταστρέφοντες εἰς παράβασιν, καὶ ταῖς ἐκ νόμου ποιναῖς ὑποφέροντες, καίτοι νόμον ἐσχηκότες τοῦ πολέμου τὴν ἀφορμήν. ταύτητοί φησι σοφὸς ὢν ὁ Παῦλος ἠπατῆσθαί τε διὰ τῆς ἐντολῆς,
ver. 11. καὶ δι' αὐτῆς ἀποθανεῖν· ἀπέκτεινε γὰρ μονονουχὶ καταθήγουσα πρὸς ἀντίστασιν τὰς ἐν ἡμῖν ἡδονὰς, κατά γε τοὺς προειρημένους τρόπους.

19 M.

12 Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

Ἅγιος ὁ νόμος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή· ἀποφαίνει γὰρ ἁγίους τε καὶ δικαίους καὶ ἀγαθοὺς τοὺς οἵ περ ἂν ἕλοιντο φυλάττειν αὐτὸν, ἵνα δὴ γένοιντο ταῖς ἐκ παραβάσεων αἰτίαις οὐδαμόθεν ἁλώσιμοι. ἀλλ' ἦν τοῦτό
Ps. xviii. 13. πως ἀνέφικτον· "Παραπτώματα γὰρ τίς συνήσει," κατὰ τὸ γεγραμμένον;

13 Τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος;

Ἅγιος μὲν ὁ νόμος, ἁγία δὲ καὶ ἡ ἐντολὴ καὶ ἀγαθή. εἶτα
Supra ver. 10. πῶς ἔφασκε "Καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωὴν, αὕτη εἰς "θάνατον;" ἆρα οὖν εἰπέ μοι γέγονε τὸ ἀγαθὸν ὀλέθρου πρόξενον; μὴ γένοιτο, φησίν· ἐπαιτιῶμαι γὰρ ἐν τούτοις ἥκιστα μὲν τὸν νόμον, ἕστηκα δὲ ὥσπερ τῆς ἁμαρτίας κατήγορος· καταβιάζεται γὰρ οὕτω τὴν ἀνθρώπου φύσιν, καὶ τῆς ἐν ἡμῖν διανοίας κεκράτηκεν· ὥστε αὐτὸν τὸν εἰς σωτηρίαν

2. φιλήδονον] φιλόπονον (sic) B. 13. Ἅγιος ὁ—ἀγαθή assumpta ex B. Ἅγιος ὁ νόμος praemittit (Maii emendationem sequens) Migne. εἴποις δ' ἂν τὸν νόμον ἅγιον καὶ τὴν ἐντολὴν ἁγίαν καὶ δικαίαν καὶ ἀγαθὴν, καὶ ὅτι ἀποφαίνει ἁγίους καὶ δικαίους τοὺς οἵπερ ἂν ἕλοιντο φυλάττειν αὐτὸν, καὶ ἀπαλλάσσει τῶν ἐκ παραβάσεως ἐγκλημάτων A. 15. ἕλοιντο emendavi (vide not. praeced.) ex A. δύναιντο Ed. 20. Ἅγιος—ἀγαθή accesserunt ex A.B. ἁγία ἡ ἐντολή praemittit (e Maii emendat.) Migne. 21. ἡ alt. prius omissum inter emendationes supplevit Mai. 22. γέγονεν] + ἡμῖν A. 26. τὸ (preli sphalmate) Mai.

ἡμῖν καὶ ζωὴν δοθέντα νόμον, τὴν ἁγίαν ὄντως καὶ ἀγαθὴν ἐντολὴν, θανάτου γενέσθαι πρόφασιν τοῖς ὑπεζευγμένοις· πῶς ἢ τίνα τρόπον; εἰ γὰρ ἕψεται μὲν ἀεὶ τοῖς παρανομοῦσιν ἡ δίκη, διεληλάκαμεν δὲ πρὸς τοῦτο λοιπὸν ἀσθενείας ἡμεῖς, ὡς ἀεὶ ταῖς παραβάσεσιν ἐναλίσκεσθαι, ἐναργὲς ἤδη πως, ὅτι κατὰ τοῦτον τὸν τρόπον ὁ σώζων νόμος, ὁ ἅγιός τε καὶ ἀγαθὸς, νεῦρά πως δοκεῖ γενέσθαι τῇ ἁμαρτίᾳ καὶ ὁδὸς εἰς θάνατον τοῖς ὑφ' ἁμαρτίαν· καὶ τάχα που, φησὶν, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς· τοῖς μὲν γὰρ ἠγνοηκόσι τὸ τῷ Δεσπότῃ δοκοῦν, ἕψεται μὲν πάντως τὸ ἐναλῶναι δίκαις· ἠνομήκασι γὰρ, εἰ καὶ μὴ ἐγνώκασι. πλήν ἐστί τις αὐτοῖς καὶ ἀπολογίας οὐκ ἀπίθανος οἶμαι λόγος· προβαλοῦνται γὰρ κατὰ τὸ εἰκὸς τὴν ἄγνοιαν· τοῖς γεμὴν ἐν νόμῳ τὸ μὴ εἰδέναι λέγειν τὸ θέλημα τὸ δεσποτικὸν, εἰκαῖον ἤδη πως. οὐκοῦν εἰ φαίνοιτο διαβιοῦν ᾑρημένος ἀνοσίως, οὐκ ἀγνοίας ἔσται ἀλλ' ἀπονοίας τὸ κατηγόρημα, καὶ τῆς ἀνωτάτω λοιπὸν ἀφιλοθεΐας· οὕτως ἂν λέγοιτο καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία, ἁμαρτωλοῦ μὲν γὰρ ὑπάρχοντος καὶ τοῦ πεπλημμεληκότος ὡς ἐν ἀγνοίᾳ, ἥκιστα γεμὴν καθ' ὑπερβολὴν λεγομένου τε καὶ ὄντος ἁμαρτωλοῦ. [19 M.]

Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν. 14

Πνευματικόν φησι τὸν νόμον, ὡς ἀποτελοῦντα πνευμα-

4. λοιπὸν post ἡμεῖς transponit A. 7. νεῦρον A. 9. γένηται B. (Cr. ex A.) γίνηται Ed. [de A. nihil notavi ipse]. 12. τις assumptum ex A. 15. εἰκαῖον ἤδη A. εἰ καὶ ὀνείδη Ed. εἰ] εἴτις A. Statim ἐφαίνετο pro εἰ φαίνοιτο B. 18, 19. ἡ ἁμαρτία et γὰρ assumpta ex A. 20. ὡς om. A. 23 sqq. Hoc scholion deest in A, qui tamen duo quae sequuntur exhibet nonnulla ejusmodi continentia. Ἢ καὶ ὡς πνευματικοὺς ἀποτελῶν τοὺς πειθομένους αὐτῷ, νοεῖται δὲ πνευματικὸς ὁ μὴ κατα σάρκα ζῶν, ἀλλ' ἑπόμενος τῇ θελήσει τοῦ πνεύματος ἀμωμήτως.—Καὶ σαρκικὸς ὢν ὡς τῷ τῆς σαρκὸς φρονήματι τυραννούμενος, ἑτέρου ὄντος τοῦ φρονήματος τῆς σαρκὸς καὶ ἄλλου τοῦ πνεύματος, ἅπερ ἀντίκειται ἀλλήλοις. εἰ γὰρ καὶ ὁ νόμος πνευματικός ἐστι, τουτέστι τὰ τοῦ πνεύματος βούλεται, καὶ τὰ συμφέροντα ζητεῖ τῇ ψυχῇ, ἀλλ' ἐγὼ τὰς τῆς σαρκὸς ἐπιθυμίας διώκων, σαρκικός εἰμι. οὐκ εἶπε δέ Ὑμεῖς οἱ τῷ νόμῳ χρώμενοι καὶ παραβαίνοντες, ἵνα μὴ τραχὺν καὶ ἐπαχθῆ ποιήσῃ τὸν λόγον, ἀλλ' Ἐγώ φησι, τὰ ἐκείνων ἐφ' ἑαυτοῦ σχηματίζων. καὶ ἐφεξῆς δὲ οὕτω ποιεῖ, τὸ τραχὺ καὶ σφοδρὸν ἐκλύων τῇ περὶ αὐτοῦ σχηματολογίᾳ.

[19 M.] τικοὺς τοὺς ἑπομένους αὐτῷ· νοεῖται δὲ πνευματικὸς ὁ μὴ κατὰ σάρκα ζῶν, ἀπονενευκὼς δὲ μᾶλλον ἐπὶ τὸ θέλειν ἕπεσθαι τῇ θελήσει τοῦ πνεύματος· ἔφη δὲ καὶ ὁ μακάριος
Ps. xviii. 8. Δαυείδ "Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς, ἡ
20 M.
Ib. 10. "μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια· ὁ φόβος Κυρίου "ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος." ὥσπερ οὖν ἄμωμόν φησιν εἶναι τὸν νόμον, οἶδε γὰρ ἀμώμους ἀποτελεῖν, πιστὴν δὲ τὴν μαρτυρίαν ὡς πιστοὺς ἀποφαίνουσαν, καὶ ἁγνὸν τὸν φόβον, ἔστι γὰρ ἁγνοποιός, οὕτως ἐκδέξῃ κἀνθάδε πνευματικὸν εἰρῆσθαι τὸν νόμον, ὡς πνευματικοὺς ἀποφαίνοντα τοὺς ἑπομένους αὐτῷ· εἰ γὰρ καί ἐστιν ἐν σκιαῖς, ἀλλ' οὖν ἔχει τῆς ἀληθείας τὴν μόρφωσιν. τί οὖν ὁ Παῦλος; ἰσχυρίζεται μέν, ὅτι πνευματικὸς ὁ νόμος, αἰτιᾶται δὲ τὴν ἀνθρώπου φύσιν ὡς πολὺ νοσοῦσαν τὴν ἁμαρτίαν· καὶ πειρᾶται πληροφορεῖν, ὡς ἐπείπερ ἐστὶ πνευματικὸς ὁ νόμος, ταύτῃτοι μάλιστα φορτικός ἐστι τῇ τοῦ ἀνθρώπου φύσει· τί γάρ, εἰπέ μοι, φησίν, εἰ ὁ μὲν νόμος ἐστὶ πνευματικός, ἐγὼ δὲ σαρκικός εἰμι, τουτέστι τῷ τῆς σαρκὸς φρονήματι τυραννούμενος; ὁρᾷς ὅπως εἰς ὅσην ἡμῖν ἐναντιότητα θελημάτων
Cf. Gal. v. 17. τίθησι τὰ δηλούμενα; ἕτερον γὰρ τὸ θέλημα τοῦ πνεύματος, καὶ ἕτερον ἂν νοοῖτο τὸ τῆς σαρκός· ἀντίκεινται γὰρ ἀλλήλοις, καὶ ἀσύμβατον ἔχουσι τὴν εἰς ταυτότητα συνδρομήν· ὅτε τοίνυν σαρκικὸς μὲν ὁ ἄνθρωπος, πνευματικὸς δὲ ὁ νόμος, πῶς ἂν γένοιτο καὶ οἰστὸς τοῖς οὕτως ἠῤῥωστηκόσι τὴν ἁμαρτίαν; καὶ μάλα ἐμφρόνως· εἰ γάρ ἐστι σαρκικός, νοηθείη ἂν οἷά τις αἰχμάλωτος καὶ ἐν τάξει τῇ οἰκετικῇ.

15 Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω.

Οἴονται κατὰ τὸ εἰκὸς τῶν ἀμαθεστέρων τινὲς τῶν Ἑλλήνων μῦθον ἐμπεδοῦν ἐθέλειν αὐτόν· ὃν οὐκ οἶδ' ὅπως ἐκεῖνοι
2 Tim. iii. 13. πρεσβεύειν ἐγνώκασι, πλανῶντές τε καὶ πλανώμενοι· εἱμαρ-

24. *εἰς τὸ* pro *οἰστὸς* (sic) B.

28. Inc. *τινὲς δὲ τῶν ἀμαθεστέρων οἴονται τὸν τῶν ἑλλήνων μῦθον* A.

29. *οἶδα πῶς* (err.) A. Statim *ἐκεῖνοι* post *ἐγνώκασιν* transponit A.

[20 M.]

μένην γάρ τινα πλαστουργοῦντες καὶ τύχην κατὰ τὸ σφίσι δοκοῦν, εἶτα τὸ κρατεῖν τῶν καθ' ἡμᾶς πραγμάτων ταῖς οὐκ οὔσαις ἀνάπτοντες, παραιροῦνται τὸν ἄνθρωπον τοῦ ὅτι μάλιστα πρέποντος αὐτῷ, φημὶ δὲ τοῦ χρῆναι βιοῦν ἐλευθέρως, ἀνειμένην τε καὶ ἐθελούσιον ἔχοντα τὴν ῥοπὴν τὴν ἐφ' ὅπερ ἂν ἕλοιτο τῶν πρακτέων. ἀνάγκη δὲ ὥσπερ καὶ τοῖς παρ' ἐκείνων ὅροις τε καὶ ψήφοις ὑπάγοντες, οὐ μετρίως ἀδικοῦσι τοὺς κατὰ τόνδε τὸν βίον· εἰ γάρ τις ἴοι κατ' αὐτοὺς ἐπὶ τὸ δρᾶν ἃ μὴ θέμις, οὐκ ἐνὸν αὐτῷ κἂν εἰ βούλοιτο τυχὸν τῆς εἱμαρμένης τὸ νεῦμα διαφυγεῖν, οὐδ' ἂν ὅλως διαμωμήσαιτό τις εὖ φρονῶν, κἂν εἰ ὁρῷτο πλημμελῶν. ὃ γὰρ ἦν ἀνάγκη καὶ οὐχ ἑκόντα δρᾶν, εἰ ἁλίσκοιτο πεπραχὼς, ἔξω που πάντως αἰτίας ἔσται καὶ δίκης· ἐπαινέσειε δ' ἄν τις οὐ λίαν ἐμφρόνως τὸν ἐπιεικῆ καὶ κόσμιον· τί γὰρ 21 M.
εἰ γέγονε τοιοῦτος οὐχ ἑκὼν, ἀλλὰ τοῖς ἑτέρου νεύμασι παρενηνεγμένος εἰς τοῦτο, μᾶλλον δὲ καὶ ἄμαχον αὐτῷ τὴν ἀνάγκην κατεξανιστάσης τῆς τύχης;

Οὐκοῦν ἀπηχὲς μὲν παντελῶς τὸ ταῖς Ἑλλήνων τερθρείαις συναποφέρεσθαι λέγειν τὸν τῶν καλλίστων εἰσηγητὴν, ἤγουν οἴεσθαι τῆς ἐκείνων ἀβελτερίας ἰέναι κατόπιν τὸν τῶν θείων ἡμῖν μυστηρίων γεγονότα ταμίαν, εἰ λέγοι τυχόν Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ. εἰ γὰρ δή τις ὅλως διισχυρίσαιτο, καὶ δὴ καὶ ἕλοιτο φρονεῖν, ὡς εἱμαρμένη μὲν καὶ τύχη τὴν τῶν καθ' ἡμᾶς ἀπονενέμηκεν ἐξουσίαν, πῶς οὐκ ἂν εἰκότως ἔροιτο ἂν αὐτὸν ἐκεῖνό που λέγων Εἰ σκληραῖς καὶ δυσαντήτοις ἀνάγκαις ἐνειλημμένοι τῶν πρακτέων, ἢ μὴ, κύριοι μὲν ἡμεῖς οὐδαμόθεν καθεστήκαμεν, εἴκομεν δὲ μᾶλλον ὡς κρατοῦσιν ἑτέροις καὶ τοῦ κατὰ γνώμην εἰργόμεθα, πῶς ἡμῖν γέγραφας αὐτός "Ἢ ἀγνοεῖτε ἀδελφοὶ, γινώσκουσι γὰρ Supra ver. 1.
"νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον

1. πλαστουργοῦντές τινα inverso ordine A. 4. δὲ habent A.B.
13. ἐπαινέσαι A. 15. ἑτέρων A. 24. μὲν et τὴν om. A.
26. ἐκεῖνον A. δυσαρτήτοις (sic) A. 30. εἰδόσι pro γινώσκουσι A.

[21 M.] " χρόνον ζῇ ;" κυριεύει δὴ οὖν τινα τρόπον τῶν ζώντων ὁ νόμος· ἀπρακτήσει μὲν γὰρ ἀραρότως ἐπὶ τοῖς τεθνεῶσιν· ὁρίζεται δὲ οὐκ ἐκείνοις· πόθεν; ἀλλὰ τοῖς ἔτι τὸν ἐν σώματι τρίβουσι βίον· καὶ στεφανοῖ μὲν ἐπαίνοις τὸν εὐδοκιμεῖν εἰωθότα, καταψηφίζεται δὲ τῶν βεβήλων τὴν δίκην· εἶτα πῶς ὁ νομοθέτης ὅσιος ἔσται κριτὴς κολάζων ἡμαρτηκότας τοὺς εἰς τοῦτο πεσεῖν ἀβουλήτως ἐκ τύχης ἠναγκασμένους; μᾶλλον δὲ τί καὶ ὅλως τὸν νόμον ὡρίσατο; τοῖς μὲν γὰρ ἔχουσιν ἐπ' ἐξουσίας ἃ ἂν βούλοιντο δρᾶν, ὁσίαν ὁ νόμος ὁρίζει τὴν δίκην, εἰ παρὸν εὐδοκιμεῖν ταῖς ἀγαθουργίαις ἐπιδόντας τὸν νοῦν, αὐτοὶ τὰ αἰσχίω τετιμήκασι, καὶ τῶν ἀμεινόνων ἠλλάξαντο τὰ διὰ νόμου κατεγνωσμένα· τοῖς γεμὴν ἐπηρτημένον ἔχουσι τὸν τῆς ἀνάγκης ζυγὸν, καὶ ᾗπερ ἂν τοῖς κρατοῦσι δοκῇ τρεπομένοις ἀεὶ, περιττὸν οἶμαί που τὸ θέσπισμα. καίτοι πῶς οὐκ ἀληθὲς εἰπεῖν ὡς οὐδ' ἂν ἡμῖν ὁ πάντα εἰδὼς τὸν ἐκ τοῦ νόμου ζυγὸν ἐπετίθει, τὸ αὐτῷ δοκοῦν εὖ μάλα βραβεύοντα καὶ παιδαγωγοῦντα πρὸς τὸ συμφέρον, εἰ τοῖς εἱμαρμένης βρόχοις ἐνειλημμένους ἠπίστατο; ἢ γὰρ ἐκεῖνο λεγόντων οἱ δι' ἐναντίας, ὡς ἠγνόηκε τοῦτο Θεὸς, ἢ εἴπερ ὀρθὰ φρονεῖν ᾑρημένοι δεδίασι σφόδρα τὸ τῆς ἀῤῥήτου δόξης καταχέαι τὴν ἄγνοιαν· νενομοθετηκέναι δέ φασι, καὶ μὴν καὶ τῶν πλημμελούντων καθορίσαι
22 M. τὰς δίκας ὁμολογήσουσιν ἐναργῶς· οἶδέ που πάντως ἐλευθέρῳ φρονήματι διαζῶντα τὸν ἄνθρωπον καὶ ῥοπαῖς ἐθελουσίοις ἐφ' ὅπερ ἂν καὶ βούλοιτο διάττειν ἰσχύοντα, παραποδίζοντος οὐδενός. ταύτῃτοι καὶ ὁ θεσπέσιος Παῦλος κυριεύειν ἔφη τοῦ ἀνθρώπου τὸν νόμον ἐφ' ὅσον χρόνον ζῇ· οὐκοῦν οὐχ ὡς τῆς ἀνθρώπου διανοίας τοῖς ἑτέρων ὑποκειμένης νεύμασι τὰ τοιάδε φησί· φιλοσοφεῖ δὲ καὶ τῆς ἀνθρώπου

3. τὸν A. Migne. τῶν B. Ed. 4. σώμασι A. 7. τύχης] ψυχῆς (sic) A. 10. ἀγαθοεργίαις A. 11. τετιμήκασι] τετολμήκασι A. 13. ᾗπερ A. οἵπερ B. οἳ περ Ed. 16. αὐτῷ A. Migne. αὐτὸ Ed. 18. εἱμαρμένοις (sic) B. 21. ἄγνοιαν] ἄνοιαν ἢ τὴν ἄγνοιαν pro more codicum nonnullorum per additionem corrigens A. νενομοθετήκασι (sic) A. 23. οἱ δέ A. 25. καὶ βούλοιτο A. ἐβούλετο Ed. 28. ὑποκειμένοις (sic) B.

[22 M.]

φύσεως τὰ πάθη περιεργάζεται, μόνον δὲ οὐχὶ καὶ ἀνορύττει λεπτῶς τὰ εἰς νοῦν ἔσω τῶν ἀῤῥωστημάτων, καὶ τῆς ἐμφύτου φιληδονίας τὸ σῶμα γράφεται, τοῦ νοσοῦντος ἔτι τὴν φιλοσαρκίαν ἑαυτῷ τὸ πρόσωπον εὖ μάλα περιτιθείς. εἰ γὰρ καὶ ἐσταύρωται μὲν αὐτὸς τῷ κόσμῳ, καὶ μὴν ὁ κόσμος αὐτῷ, καὶ ἦν ἀξιάγαστος ἀληθῶς, ἀλλ' ἡγεῖτο σοφὸν μὴ εἰς τὸ οἰκεῖον χάρισμα βλέπειν, ἀλλὰ τὴν τῶν οὔπω γεγονότων κατ' αὐτὸν ἀσθένειαν ὑπόθεσιν ἀναγκαίαν ποιεῖσθαι τῷ λόγῳ. ὅταν οὖν ἀκούσῃς λέγοντος Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω, ἐννόει τινὰς τῶν ὑπεράγαν ἁμαρτωλῶν οἰομένους, ὅτι τὸν πανάριστον ἀληθῶς διαζῶσι βίον, καὶ ὅτι τῆς ἐν τῷδε τῷ κόσμῳ τρυφῆς καὶ ἐξιτηλίας οὐδὲν ἂν γένοιτο τὸ ἰσοστατοῦν· καταμυσάττονται μὲν γὰρ τῆς ἐπιεικείας τοὺς τρόπους, ἐναβρύνονται δὲ καὶ ἐνσπαταλῶσι λίαν ταῖς σφῶν αὐτῶν ἡδοναῖς· καὶ περὶ αὐτῶν οἶμαί που φησὶν ὁ Παῦλος "Οἱ τὰ "ἐπίγεια φρονοῦντες, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ "αἰσχύνῃ αὐτῶν." οὗτοι φαῖεν ἂν εἰκότως ὥς τι τῶν ἄγαν ἐπαινουμένων πληροῦντες τὸ φαῦλον Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω. οὐκοῦν ἀκουέτωσαν "Ἐκνήψατε οἱ μεθύοντες "ἐξ οἴνου αὐτῶν·" ὅνπερ γὰρ τρόπον οἱ φιλοπόται καὶ κάτοινοι παρακεκομμένοι τῷ πάθει τῆς διανοίας τὸ ἀκριβὲς, οὐκ ἂν εἰδεῖεν τὰ σφίσι δρώμενα κατὰ τὸν τοῦ μεθύειν καιρὸν, οὕτως οἱ τὴν φρένα κατηῤῥωστηκότες ἐκ φιλοσαρκίας καὶ τῶν αἰσχίστων ἡδονῶν, οὐδὲ ὅ τι ποτὲ δρῶσιν εἰδεῖεν ἄν· νόσημα δὴ οὖν ἀνθρώπου καρδίας ὁ Παῦλος ἡμῖν ἐξηγεῖται λέγων Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· εἰ δὲ δή τις εἴη τοῖς μὲν ἀπὸ τοῦ συνειδότος ἐλέγχοις τρυφερωτέραν ὥσπερ ὑπέχων τὴν ἑαυτοῦ καρδίαν, καὶ ἀσχάλλων μὲν ὅτι πλημμελεῖ, πλὴν ἔτι πλεονεκτούμενος ταῖς εἰς ἁμαρτίαν ἡδοναῖς, καὶ οἷον ἀβουλήτως ἰὼν πρὸς τὸ πλημμελὲς, φαίη ἂν εἰ-

Gal. vi. 14. Phil. iii. 19. Joel i. 5.

1. μονονουχὶ δὲ A. inverso ordine A. 5. μὴν om. A. 7. κατ' αὐτὸν γεγονότων 12. κόσμῳ] βίῳ A. 16. δόξα] + αὐτῶν A. 17. εἰκότως om. A. 19. οὐκοῦν] + οὗτοι A. 26. γὰρ om. A. 30. φαίη A. φαίην B. Ed.

[22 M.] κότως Οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ· ὡς πόσοι ποσάκις τεθαυμάκασι μὲν τὴν ἐγκράτειαν, καὶ δὴ καὶ μελέτης τῆς εἰς αὐτὴν ἀρξάμενοι, τοῖς τῆς μυσαρᾶς 23 M. ἡδονῆς νενίκηνται κέντροις, καὶ ὀκλάσαντος αὐτοῖς τοῦ νοῦ πρὸς τὸ χεῖρον, ἐνηργήκασι τὴν ἁμαρτίαν, κατηφείας γεμὴν μετὰ τοῦτο μεμέστωνται· τούτοις ἂν πρέποι καὶ μάλα εἰκότως μονονουχὶ καὶ ἀβουλήτως ἡσθηνηκόσι τὸ φάναι δὴ πάλιν (Infra ver. 17.) "Νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ "οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία."

16 Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός.

Ἐνίησι πάλιν τῆς θεωρίας τὸ ἀκριβὲς τῇ τοῦ σώματος φύσει, καὶ τῶν ἐνόντων αὐτῷ φυσικῶς ἀῤῥωστημάτων τὴν δύναμιν κατασκέπτεται. αἵ τε γὰρ ὀρέξεις αἱ πρὸς πᾶν ὁτιοῦν ἀποκομίζουσαι τῶν παθῶν, καὶ τῆς φιληδόνου ζωῆς τὰ ἐγκλήματα, πηγὴν ἔχουσι τὴν σάρκα· καὶ πρός γε τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων τοῦ Σωτῆρος ὁ μαθητής (S. Jac. iv. 1.) "Πόθεν πόλε-"μοι ἐν ὑμῖν καὶ πόθεν μάχαι; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν "ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν;"

18 sqq. Τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὐχ εὑρίσκω.

Τὸ γὰρ θέλειν φησὶ παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ· καὶ τὰ ἑξῆς· εἰς ἀπόδειξιν τοῦ κατηγορεῖσθαι τὴν σάρκα δεινῶς ὠδίνουσαν ἐν ἑαυτῇ τὴν ἁμαρτίαν, παραδέχεται σοφῶς τὸ παρακεῖσθαι μὲν ἡμῖν τὸ ἀγαθὸν, μὴ μὴν ἔτι καὶ τὸ δύνασθαι διαπεραίνειν αὐτό· καταβιάζεται γὰρ εἰς ἀβούλητον ἐκτροπὴν καὶ οὐχ ἑκόντα τὸν νοῦν. οὐκοῦν

2. πολλοὶ πολλάκις A. 3. καὶ om. A. 6. μετὰ τοῦτο assumptum ex A. 8. ἐγὼ οὐκέτι inverso ordine A. 11. Ἐνίησι] + δὲ A. 14. τῶν παθῶν om. A. 15. σάρκα] pergit καὶ καταστρατεύονται τοῦ πνεύματος, καὶ ἀνθέλκουσι πρὸς τὰ αἰσχίω, καίτοι φιλελεύθερον ὄντα τὸν νοῦν καὶ καυχώμενον ἐπ' ἀρετῇ, διὸ καὶ εἰς ἀπόδειξιν (v. 22) A. 22. τὰ] τὸ Migne. 23. παραδέχεται σοφῶς] λέγει A. 25. τὸ om. A. 26. ἐκτροπὴν A. ἐντροπὴν B. Ed.

[23 M.]

ὅσον ἧκεν εἴς γε τὸ αὐτῷ δοκοῦν, ἦν ἂν ἔξω καὶ ἁμαρτίας· ἐπειδὴ δὲ δυσδιάφυκτον ὑπομένει πλεονεξίαν, εἴη ἂν εἰκότως, οὐκ αὐτοῦ δὴ μᾶλλον, ἀλλὰ τοῦ πλεονεκτοῦντος ἡ αἰτία· ταύτητοί φησιν Εἰ δὲ ὃ οὐ θέλω ἐγὼ, τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία.

Εἴποι δὲ ἄν τις Ἆρα εἴ τινες τῶν ἀλιτηρίων βαρβάρων πόλιν ἢ χώραν καταδῃώσαντες, εἶτα δορυκτήτους τῶν ἐνοικούντων ἑλόντες τινὰς τὸν τῆς δουλείας αὐτῶν ἐπιτιθεῖεν ζυγόν· οἱ δὲ τοῦτο πεπονθότες ὡς ἐξ ἀναγκαίου δεσμοῖς τοῖς τῶν κρατούντων εἴκοιεν νόμοις, μώμου καὶ γραφῆς εἶεν ἂν ἄξιοι, ὅτι μήτε ἀμείνους τῆς ἀνάγκης εἰσὶ, μήτε μὴν τὸ σφίσιν αὐτοῖς ἡδὺ διαπεραίνειν σπουδάζουσι, τῆς τῶν τετυραννηκότων ἀλογήσαντες ἐξουσίας; ἀλλ' οὐκ ἂν οἶμαί τις αὐτοὺς εἰκότως διαμωμήσαιτο. οὐ γὰρ ἑξὸν ἀνεῖσθαι δουλεύουσιν, εἴκουσι δὲ ὡς ἔφην ταῖς ἀβουλήτοις συμφοραῖς. ἁλόντες μὲν ὅτι τῆς ἐλευθερίας ἐστέρηνται, τοῖς γεμὴν ἀλκιμοτέροις ἐξ ἀνάγκης ἡττώμενοι καὶ οὐχ ἑκόντες δουλεύουσιν. ἀλλ' εἴπερ ἐστὶ τοῦτο τοῦ εἰκότος οὐ μακρὰν, ἀπηλλάχθω γραφῆς ὁ ἀνθρώπινος νοῦς ἐπὶ τοῖς τῆς σαρκὸς ἀῤῥωστήμασιν. ἀλλ' ἦν ἐπ' αὐτῷ, φησὶ, καὶ τὸ μὴ ἑλέσθαι δρᾶν· ἔχει γὰρ αὐτὸς τὰς τῶν θελημάτων ἡνίας. οὐκοῦν ἔστω καὶ πλεονεξίας ἀμείνων καὶ ἀτυράννευτος ἁμαρτίαις. εἰ δὲ δύσοιστος καὶ οὐκ εὐάντητος ἡ τῆς σαρκὸς φύσις, κατεξανιστᾶσα τῷ νῷ τὴν ἀτίθασον ἡδονὴν, ἀργότερος δὲ πρὸς ἐπικουρίαν ὁ νόμος· οὐ γὰρ ἔχει τὸ δύνασθαι νεκροῦν ἁμαρτίας· οὐκ ἂν ἐγκαλέσειέ τις δικαίως ὅτι μὴ δρᾷ τὸ ἄμεινον τὰ αἰσχίω μεθείς· κἂν εἰ ἔχοι τυχὸν τὰς τῶν ἐν ἡμῖν θελημάτων ἡνίας.

Εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται. 21

Ἄθρει δὴ πάλιν ὡς σοφῶς καὶ εὐτέχνως ἀποδέχεται τὸν

1. καὶ om. A. 5. ἁμαρτία] Quae sequuntur ad fin. scholii nobis supplevit A pp. 63, 64. 31. Καὶ ἄθρει A. Statim δὲ pro δὴ B.

[23 M.] νόμον, οὐχ ὡς τῆς ἁμαρτίας τὸ κέντρον ἀπαμβλύνειν ἰσχύοντα, οὔτε μὴν κατανεκροῦν οἷόν τε τὴν ἐν ἡμῖν ἁμαρτίαν, ἀλλ' ὡς ἐνιέντα μόνον τῷ νῷ τὴν τοῦ συμφέροντος γνῶσιν. εἰ γὰρ ἐμοί φησι παράκειται τὸ κακὸν ὡς ἐνοικοῦν τῇ σαρκὶ, κατακιβδηλεύει γεμὴν ὁ νόμος αὐτὸ, χαρίζεται τὴν ἐπικουρίαν καὶ νοεῖται σύμβουλος, οὐ μὴν ἔτι καὶ λυτρωτής· δεῖ δὲ δὴ πάντως τοῖς ἀῤῥωστοῦσι τὴν ἁμαρτίαν, οὐ τοῦ διειδέναι μόνον ὅτι τὰ ἀμείνω προσήκει δρᾶν αὐτοὺς, ἀλλὰ καὶ τοῦ δύνασθαι κατορθοῦν ἅπερ ἂν εὖ ἔχοι καὶ τῷ νόμῳ δοκῇ·
24 M. καθάπερ ἀμέλει καὶ τοῖς ἐθέλουσιν εὐδοκιμεῖν ἐν μάχαις οὐκ ἀπόχρη πρὸς τοῦτο γυμνὴ καὶ μόνη τῶν τακτικῶν ἡ εἴδησις, ἀλλ' εἰ προσυπάρχοι τούτῳ καὶ τὸ εὐσθενὲς, εἶεν ἂν οἱ τοιοίδε τότε δὴ μόλις λαμπροὶ καὶ ἀπόβλεπτοι. οὐκοῦν εἰ διδάσκει μὲν ὁ νόμος τὸ ἐν ἀγαθοῖς εὔτεχνὲς, κατ' οὐδένα δὲ τρόπον τοῖς πλεονεκτουμένοις ἐπικουρεῖ τὴν ἁμαρτίαν ἀπονευρῶν, καλὸς μὲν ὅτι καὶ διδάσκαλος, οὐ μὴν ἔτι καὶ ἐν ἴσῳ χάριτι τῇ διὰ Χριστοῦ καταλογισθείη ἂν εἰκότως, τοῦ καὶ σοφοῦν ἰσχύοντος καὶ ἀλκιμωτέρους ἡμᾶς ἀποφαίνοντος τοῦ κακοῦ.

22 sq. Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον.

Ὡς ἔφην ἤδη, διψᾷ μὲν ὁ νοῦς τὸ ἐλεύθερον, καὶ τῶν διαβεβλημένων ἀπαλλακτιᾷ, καὶ ταῖς ἀνωτάτω τιμαῖς στεφανοῖ τὸν νόμον ὡς τῶν καλλίστων εἰσηγητήν· καταβιάζεται δὲ εἰς ἐκτόπους ἡδονὰς ἡ τῆς σαρκὸς φύσις, πολεμοῦντός τε καὶ ἐγκειμένου τοῦ νόμου τῆς ἁμαρτίας· νόμον δὲ ἁμαρτίας εἶναί φησι τὸ ἔμφυτον κίνημα, καὶ ὅπερ ἂν ὑπάρχειν οἴοιτό τις τῆς φιλοσαρκίας τὸ πάθος, καθάπερ ἀμέλει καὶ νόμον ἔφη νοὸς τὴν εἴς γε τὸ ἀγαθὸν αὐτοῦ ῥοπήν τε καὶ θέλησιν.

5. ὁ νόμος αὐτὸ, A. , ὁ νόμος αὐτῷ B. Ed. 7. δὴ om. A. 9. δοκῇ A.B. δοκεῖ Ed. 10. μάχῃ A. 11. ἡ om. A. 13. τότε δὴ assumptum ex A. περίβλεπτοι A. 14. τρόπον δὲ inverso ordine A. 16. ἔτι pro ὅτι A. 21. διψᾷ emendavi ex A. διψῇ Ed. 25. γε pro τε A. νόμον ἁμαρτίας φησὶ τὸ incipit A. 28. ἔφη om. A. ῥοπὴν αὐτοῦ (τε omittens) A. 28. θέλησιν, ὅς γε διψᾷ μὲν τὸ (e supra) usque ad ἁμαρτίας (25) clausulas transponens A.

Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ 24
θανάτου τούτου; εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ 25
Κυρίου ἡμῶν.

Τέως δὲ σχετλιάζει καὶ κατακράζει τῆς σαρκός· καὶ σῶμα θανάτου, τὸ ἀπὸ γῆς καὶ φιλήδονον καλεῖ διὰ τὸ νοσεῖν ἐν αὐτῷ τῆς ἁμαρτίας τὸν νόμον· ζητεῖν δὲ λέγει τὸν δυνάμενον τῶν τοιούτων ἀπαλλάξαι κακῶν, καὶ ἵν' εὐαφόρμως ἡμῖν εἰσαγάγῃ τὸν λυτρωτὴν, τουτέστι, Χριστὸν, ᾧ καὶ τὴν πᾶσαν ὁμολογεῖ χάριν· δι' αὐτοῦ γὰρ λελυτρώμεθα, οὐ τῆς σαρκὸς, ἀλλὰ τοῦ θανάτου τῆς σαρκός· οὐκ ἀποθανόντες, ἀλλὰ τοῦ ἐν τοῖς μέλεσι θανάτου, τουτέστι τῆς ἐν τοῖς μέλεσιν ἀγρίας ἡδονῆς, ἐλευθερωθέντες. κρείττους γὰρ ἡμᾶς ἀπέφηνεν ὁ Χριστὸς ἡδονῆς καὶ ἁμαρτίας.

Ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ
νόμῳ ἁμαρτίας. οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Κεφ. η'.
Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα.

Μακρὸς μὲν αὐτῷ ἐκπεποίηται λόγος, βασανίζοντι λεπτῶς ἕκαστα τῶν ἐν ἡμῖν καὶ τῆς πλεονεξίας τοὺς τρόπους, οὓς ὑπομένειν ἔθος τὴν ἀνθρώπου διάνοιαν, ἀντεξάγοντος αὐτῇ τοῦ κακοῦ· δισχυρίζετο δὲ ὡς ἀσχάλλει μὲν ἔσθ' ὅτε τῶν ἐπιεικεστέρων ὁ νοῦς τοῖς τῆς σαρκὸς πάθεσι τυραννούμενος, ἀλύει δὲ σφόδρα καὶ ἀσθενῶν αἰσχύνεται· τὸ γεμὴν ἀποφορτίσασθαι τὴν ἀβούλητον ἁμαρτίαν οὐδαμόθεν ἔχει, δεινῶς κατεμπιπτούσης τῆς ἡδονῆς. ταύτῃτοι καὶ ἀσθενεῖ πρὸς ἀντίστασιν, οὐδὲν τὸ παράπαν διά γε τοῦ νόμου πρὸς τοῦτο ἐπικουρούμενος. ἀληθεύει δὴ οὖν ὁ θεσπέσιος Παῦλος εἰ τῷ μὲν νοῒ δουλεύειν τῷ θείῳ δισχυρίσαιτο νόμῳ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας· καὶ τοῦτο οἶμαί ἐστιν ὅπερ ἔφη "Τὸ γὰρ "θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ." Supra ver. 18.

1. Scholion hoc assumptum ex A. p. 89. 15. Versum hunc *οὐδὲν—πνεῦμα* assumpsi ex A. 17. *αὐτῷ*] *τῷ παύλῳ* A. 23. *ἔχει*] *ἴσχει* A.

[24 M.] πάλαι μὲν οὖν, ὡς ἔφην, ἐνυπῆρχεν ἡμῖν τό γε ἧκον εἰς νοῦν καὶ τὴν ἐν αὐτῷ θέλησιν, τὸ ἑλέσθαι τῷ θείῳ δουλεύειν νόμῳ, κατεβιάζετο δὲ πρὸς ἁμαρτίαν ἡ σὰρξ τὸ οἰκεῖον ὥσπερ ἀντανιστᾶσα θέλημα. ἦν οὖν ἄρα κατάκριμα τοῖς ἐθέλουσι μὲν ἀποπεραίνειν τὸ ἀγαθὸν, οὐ μὴν ἔτι καὶ δυνα-
25 M. μένοις διὰ τὸ τυραννεῖσθαι τοῖς πάθεσιν· ἀλλ' ἐν Χριστῷ πέπαυται τὸ κατακρίνον, τουτέστιν ἡ τῶν σαρκικῶν κινημάτων πλεονεξία.

2 Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ.

Ἀναγκαῖον δὲ οἶμαι πρὸς ἀκριβῆ διασάφησιν τῶν ἐν τούτοις ἐννοιῶν ἐκεῖνο εἰπεῖν· ὥσπερ γὰρ ἁμαρτίας καὶ θανάτου νόμον τὸ σαρκικὸν ὀνομάζει φρόνημα, πρὸς πᾶν εἶδος φαυλότητος ἀποφέρον ἡμᾶς, οὕτω καὶ νόμον πνεύματος ζωῆς τὸ θέλημα τὸ πνευματικὸν, τουτέστι τὴν εἴς γε τὸ ἀγαθὸν τῆς
Gal. vi. 8. διανοίας ῥοπήν· ἀλλ' "ὁ μὲν σπείρων εἰς τὴν σάρκα ἐκ τῆς "σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ "τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον." οὐκοῦν ὁ μὲν νόμος τοῦ πνεύματος τῆς ζωῆς, τουτέστι τὸ θέλημα τοῦ νοῦ τὸ ἀπο-
Supra vii. 25. φέρον εἰς ζωὴν, ἦν μὲν ἐν ἡμῖν καὶ πάλαι· ἐδουλεύομεν γὰρ τῷ νοῒ νόμῳ Θεοῦ· ἀλλ' ἠῤῥώστησεν, ὡς ἔφην, τὸ ἀδρανὲς εἰς ἀντίστασιν, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἡττώμενος κατεκρίνετο τῷ νόμῳ. ἐπειδὴ δὲ τὸ νοσεῖν ἀποβαλὼν, ἐῤῥώσθη διὰ Χριστοῦ· κατεσφραγίσμεθα γὰρ δι' αὐτοῦ τῷ
S. Luc. xxiv. 49. Ἁγίῳ Πνεύματι, καὶ τὴν "ἐξ ὕψους δύναμιν" ἠμφιέσμεθα, ταύτητοι καὶ λελυτρώμεθα, καὶ ὑπεζεύγμεθα μὲν οὐκ ἔτι τῷ κακῷ· κεκλήμεθα δὲ, ὡς ἔφην, εἰς ἐλεύθερον ἀξίωμα. οὐκοῦν ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς, τουτέστι τὸ θέλημα τοῦ νοῦ, τὸ νενευκὸς εἰς ἀγαθουργίαν καὶ εἰς ζωὴν ἀποφέρον, ὅτε τὴν διὰ Χριστοῦ πεπλούτηκε χάριν, καὶ τῆς ἀρχαίας ἀσθενείας

8. Scholion *νόμον μὲν—μόνῳ Θεῷ* in A p. 94 ad Thes. 354 c pertinet. 11. Inc. *ὥσπερ καὶ ἁμαρτίας* A. 12. *ὀνομάζει καθ' ἑτέραν ἔννοιαν* A. 17. *μὲν* om. A. 25. *ὑπεζεύγμεθα* A. *ὑπεζευγνύμεθα* Ed. 26. *κεκλήμεθα* A.B. *βεβλήμεθα* Ed. 28. *ἀγαθοεργίαν* A. 29. *ἀρχαίας ἀσθενείας*] *ἀσθενείας ἐκείνης* A.

[25 M.]

ἀπήλλακται, τότε τῶν ἐξ ἁμαρτίας ἀλογήσας κακῶν καὶ τοῦ τῆς σαρκὸς κατευμεγεθήσας νόμου, ἠλευθέρωσέ με, φησί· καὶ οὐκ αὐτός που πάντως τὴν ἐλευθερίαν διδοὺς, γεγονὼς δὲ μᾶλλον ἡμῖν ἐλευθερίας πρόξενος τῆς διὰ Χριστοῦ. ὥσπερ δὲ τοὺς ὑπὸ νόμον ὄντας τὸν τῆς ἁμαρτίας πᾶσά πως ἀνάγκη καὶ τοῖς τοῦ θανάτου καταδεσμεῖσθαι βρόχοις, οὕτω τοὺς ἔξω γεγονότας αὐτῆς, ἠλευθερωμένους τε διὰ Χριστοῦ, δεῖ δὴ πάλιν ἔξω τε εἶναι θανάτου, καὶ ἀμείνους ὁρᾶσθαι φθορᾶς, καὶ ζῆν ἐν ἁγιασμῷ.

Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός. 3 sqq.

Ἀξιάγαστος μὲν ὁ μυσταγωγὸς καὶ ἰσχνὸς ἄγαν εἰς θεωρίας, ἰδιώτης δὲ εἶναί φησι τῷ λόγῳ. ταύτῃτοί φαμεν ἐρυθριῶντες οὐδὲν, [2 Cor. xi. 6.] ὅτι τῇ συνθήκῃ τῶν προκειμένων λέξεων λείπει τι βραχὺ πρὸς ἐντελῆ διασάφησιν· ἔδει γὰρ εἰπεῖν *Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς* λέλυται τυχὸν ἢ πέπαυται· εἶτα προσεπενεγκεῖν τοῦ πράγματος τὴν [26 M.] ἀπόδοσιν, καὶ τοῦ λελύσθαι συνάψαι τὸν τρόπον, προστιθέντα πάλιν *Ὁ γὰρ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατήργηκε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί·* καὶ τὰ τούτοις ἐφεξῆς. ἐχούσης δὲ ὧδε τῆς τῶν λέξεων συνθήκης, κατά γε τὸν ἐνόντα σκοπὸν αὐτῷ, φέρε καταθρήσωμεν τῆς διὰ Χριστοῦ θεραπείας τὸν τρόπον, πέπαυται δὲ ὅπως *τὸ ἀδύνατον τοῦ νόμου*, καὶ ποῖον ἂν ὅλως τὸ ἀδύνατον νοοῖτο τοῦ νόμου, καὶ ποίου νόμου· λεπτομυθεῖ γὰρ λίαν ὁ θεηγόρος ἐν τούτοις. ἀποδέχεται τοίνυν ὡς ὠφελεῖν εἰδότας, τόν τε τοῦ Θεοῦ νόμον, φημὶ δὲ δὴ τὸν ἐν γράμμασι, καὶ τόν γε τοῦ πνεύματος, καθ' ὃν ἐσχήκαμεν τὸ θέλειν τὸ ἀγαθὸν, κἂν εἰ μὴ παρακέοιτο τυχὸν τὸ δύνα-

2. καὶ om. A. 8. δὴ assumptum ex A. 11. θεωρίαν A. 12. φησιν εἶναι inverso ordine A. 16. προσενεγκεῖν A. προσυπενεγκεῖν B. 19. κατήργηκε exhibet Catena utraque. 20. ἐχούσης δὲ ὧδε A. δέδωκε Ed. 21. γε A.B. τε Ed. 23. ὅπως] ὅμως A. 24. τοῦ νόμου νοοῖτο inverso ordine A. καὶ ποίου νόμου om. (a νόμου ad νόμου transiliens) B. 26. δὲ assumptum ex A. 28. κἂν om. B.

[26 M.] Supra vii. 18. σθαι δρᾶν αὐτό· ἔφη γάρ ὅτι “ Τὸ γὰρ θέλειν παράκειταί “ μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὔ·” πλεονεκτούσης δηλονότι τῆς ἁμαρτίας, καὶ τοῦ τῆς σαρκὸς νόμου καταστρέφοντος εἰς τὰ οἰκεῖα καὶ οὐχ ἑκόντα τὸν νοῦν· κατὰ τὸν αὐτὸν δὲ οἶμαι τουτονὶ τρόπον νοοῖτ᾽ ἂν εἰκότως τὸ ἀδύνατον τοῦ νόμου, τοῦ τε ἐν γράμμασι καὶ διὰ Μωυσέως, καθάπερ ἔφην ἀρτίως, καὶ μέντοι τοῦ ἐμφύτου καὶ ἐν ἡμῖν, καθ᾽ ὃν καὶ τὰ ἔθνη, καίτοι τὸν γραπτὸν οὐκ ἔχοντα νόμον, φύσει
Supra ii. 14. τὰ τοῦ νόμου ποιοῦντα φαίνεται, καὶ νόμος εἰσὶν ἑαυτοῖς·
Ib. 15. “ ἐνδείκνυνται γὰρ τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς “ καρδίαις αὐτῶν,” καθὰ γέγραπται. ποῖον δὲ τὸ ἐν ἀμφοῖν ἀδύνατον, βασανίσαι καιρός· ὁ μὲν γὰρ ἐν γράμμασι νόμος διδάσκαλος ἦν εὐκοσμίας καὶ τῶν ἀρίστων εἰσηγητὴς, δεδικαίωκε δὲ παντελῶς οὐδένα· ὁ γεμὴν ἔμφυτός τε καὶ ἐν ἡμῖν, ὃν καὶ ὀνομάζει τοῦ πνεύματος, ἀπονένευκε μὲν εἰς τὸ ἀγαθὸν, ἡττᾶται δὲ λίαν τοῦ πρὸς τὰ αἰσχίω καλοῦντος νόμου. οὐκοῦν τὸ ἀδύνατον, τουτέστι τὸ ἀσθενοῦν, εἴτε τοῦ ἐν γράμμασιν εἴτε τοῦ ἐμφύτου νόμου, πέπαυται διὰ Χριστοῦ. νενεκρωμένης γὰρ τρόπον τινὰ τῆς σαρκὸς, καὶ οἷον ἀνῃρημένης τῆς ἐν ἡμῖν ἡδονῆς, κατ᾽ οὐδένα τρόπον ὁ τοῦ πνεύματος ἤτοι τοῦ νοὸς ἀσθενήσει νόμος· νενέκρωται δὲ τίνα τρόπον ἡ ἐν ἡμῖν ἁμαρτία, φέρε λέγωμεν ὡς ἔνι· ὁ γὰρ τοῦ Θεοῦ Λόγος ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ἐν ὁμοιώματι γέγονε σαρκὸς ἁμαρτίας, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· γέγονε γὰρ ἄνθρωπος, καθεὶς ἑαυτὸν εἰς κένωσιν, καὶ ὁμοειδὲς μὲν ὅτι καὶ ὁμοφυὲς τοῖς ἡμετέροις σώμασι τὸ αὐτοῦ, πῶς ἂν ἐνδοιάσειέ τις; πλὴν τὰ μὲν τῶν ἄλλων
27 M. ἁπάντων σώματα σάρκες ἂν λέγοιντο τῆς ἁμαρτίας, διά τοι τὸ πεφυκέναι νοσεῖν τῶν ἐκτόπων ἡδονῶν τὴν γένεσιν· τὸ δέ γε σῶμα Χριστοῦ φαίη τις ἂν οὐχ ἁμαρτίας εἶναι σάρκα· μὴ γένοιτο· ὁμοίωμα δὲ μᾶλλον σαρκὸς ἁμαρτίας· τουτέστι

3. νόμου] μου νόμου A. 5. νόμου τὸ ἀδύνατον (omittens τοῦ) A. 9. τὰ τοῦ νόμου ποιοῦντα A. ποιοῦντα τὸν νόμον Ed. 24. τὴν ἁμαρτίαν κατακρίνῃ inverso ordine A. 28. τῆς om. A. γε pro τοι A. τε B. Cr.

[27 M.]

προσεοικὸς μὲν τοῖς ἡμετέροις σώμασιν, οὐ μὴν ἔτι καὶ νοσεῖν εἰδὸς σαρκικὴν ἀκαθαρσίαν· ἅγιος γὰρ ἐκ μήτρας ὁ θεῖος ἐκεῖνος νεώς. καὶ ὅσον μὲν ἧκεν εἰς ἐννοίας τε καὶ λόγους τοὺς ἐν τῇ φύσει, κατοκνήσειεν ἂν οὐδεὶς ἐκεῖνο εἰπεῖν, ὡς ἐπείπερ ἦν σὰρξ, ἔσχεν ἂν ἐν ἑαυτῇ τὸ ἴδιόν τε καὶ ἔμφυτον κίνημα· ἐπειδὴ δὲ ὁ πᾶσαν τὴν κτίσιν ἁγιάζων Λόγος κατῴκηκεν ἐν αὐτῇ, κατακέκριται τῆς ἁμαρτίας ἡ δύναμις, ἵνα καὶ εἰς ἡμᾶς διαβαίνῃ τὸ κατωρθωμένον· μετεσχήκαμεν γὰρ αὐτοῦ πνευματικῶς τε καὶ σωματικῶς· ὅταν γὰρ καὶ ἡμῖν ἐναυλίζηται Χριστὸς διὰ τοῦ Ἁγίου Πνεύματος καὶ διὰ τῆς μυστικῆς εὐλογίας, τότε δὴ πάντως καὶ ἐν ἡμῖν ὁ τῆς ἁμαρτιας κατακρίνεται νόμος.

Ἀληθὲς οὖν ὅτι *τὸ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς* πέπαυται διὰ Χριστοῦ κατακρίναντός τε καὶ κατηργηκότος *τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν*· πεπλήρωται γὰρ τὸ δικαίωμα τοῦ νόμου, τουτέστιν ἡ δύναμις τῶν τεθεσπισμένων διὰ τοῦ νόμου, ἤγουν τὸ θέλημα τὸ βλέπον εἰς ἀρετήν, τοῦ ἐν ἡμῖν ὄντος νόμου κατ' οὐδένα τρόπον ὡς ἔφην ἀσθενοῦντος ἔτι διὰ τοῦ τυραννεῖσθαι ταῖς ἐμφύτοις ἡδοναῖς. πεπλήρωται τοίνυν ἐν ἡμῖν *τὸ δικαίωμα τοῦ νομου τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι*, ζῆν δὲ μᾶλλον ἐθέλουσι πνευματικῶς.

Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ Πνεύματος ζωὴ καὶ εἰρήνη. 6, 7

Θάνατον μὲν εἶναί φησι *τὸ τῆς σαρκὸς φρόνημα*, καὶ μάλα ὀρθῶς· τὸ δέ γε *τοῦ πνεύματος, ζωὴν καὶ εἰρήνην*· θανάτου μὲν γὰρ ἀληθῶς ἡ φιλοσαρκία πρόξενος· ζωῆς δὲ τῆς εἰς αἰῶνα καὶ τῶν ἄνωθεν ἀγαθῶν, τὸ διαβιοῦν ἑλέσθαι πνευματικῶς· εἰ γὰρ *τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν*, ὡς

7. κατωκησεν B. 8. κατορθούμενον A. 10. ἐν ἡμῖν αὐλίζηται A. 19. νόμου post ἀσθενοῦντος transponit A. τοῦ] τὸ A. 22. Post haec εἰ δὲ ἠσθένησεν—λελάληται e Thes. 208 b deprompta exhibet A p. 108, scholion aliud, A p. 113 S. Cyrillo tributum, est revera Theodoriti ad loc. 25. μὲν] + οὖν A. 29. πνευματικῶς] Scholii hujus pars posterior scholiaque duo sequentia assumpta ex A pp. 114, 119, 124.

[27 M.] οὐκ ἀνεχόμενον τοῖς θείοις ὑπείκειν νόμοις, οὐδὲ γὰρ δύναται· πῶς γὰρ ἀρέσει Θεῷ μυσαρὰ καὶ βέβηλος ἡδονή; πάντως ὁ καθαρὸς ῥύπου καὶ παθῶν νοῦς κατὰ τὸ δυνατὸν τῇ ἀνθρώπου φύσει πρὸς Θεὸν εἰρηνεύει.

8, 9 Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.

Ἐπικρατούσης μὲν τῆς τοῦ ἀνθρώπου διανοίας τῆς γεώδους ἡδονῆς, ἐν σαρκί τις ἐστὶν ὡς τὰ τῆς σαρκὸς φρονῶν· καὶ ὁ τοιοῦτος οὐκ ἂν ἀρέσῃ Θεῷ· καταπλουτήσαντος δὲ τοῦ νοῦ τὴν διὰ Χριστοῦ χάριν, καὶ τῆς ἄνωθεν ἰσχύος μεμεστωμένου, καὶ ζέοντος τῷ πνεύματι, καὶ ἐπὶ ἀρετὴν σπεύδοντος· οὐ νοεῖται ὁ τοιοῦτος ἐν σαρκὶ ἀλλ' ἐν πνεύματι, καὶ εὐκόλως ποιεῖ τὰ ἀρεστὰ τῷ Θεῷ.

Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ.

Εἴ τις οὖν ἐστιν ἐν πνεύματι, οὗτος ἔσται καὶ ἐν δικαιοσύνῃ καὶ ἐν ζωῇ, μονονουχὶ τεθνεῶτος τοῦ τῆς ἁμαρτίας σώματος καὶ πάσης ἀτόπου σβεσθείσης ἡδονῆς· ἀδύνατον γὰρ ἐν ταὐτῷ καὶ καθ' ἕνα καιρὸν δικαιοσύνην εἶναι καὶ ἀδικίαν, ἁγιασμόν τε καὶ ἀκαθαρσίαν. πνεῦμα δέ φαμεν τὸ
ver. 10. ἀνθρώπινον· ἐν δὲ τῷ Τὸ πνεῦμα ζωὴ, τῇ τοῦ Ἁγίου Πνεύ-
ματος ζωοποιούμενον χάριτι, καὶ τῇ πρὸς αὐτὸ κοινωνίᾳ πλουτοῦν δικαιοσύνην· οὕτω γὰρ ἐσμὲν θείας φύσεως κοινωνοί· ἐνοικίζεται γὰρ ἐν ἡμῖν διὰ τοῦ Ἁγίου Πνεύματος ὁ Χριστός.

11 Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν.

Ἐγήγερται ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς παρὰ τοῦ

24. Post haec scholia duo, nempe δυσσεβοῦσι τοιγαροῦν—τῷ Πατρί e lib. vii. ad Herm. 666 e—667 b; δέχου οὖν e Thes. 334 d e exhibet A pp. 126, 127. 26. Ἐγήγερται] + γεμὴν A. Partim exhibent et t. aliaeque ejusdem generis catenae.

[27 M.] Πατρὸς, ἐνεργουμένης περὶ τὴν σάρκα αὐτοῦ τῆς ζωῆς διὰ τοῦ Ἁγίου Πνεύματος, ὅ ἐστιν αὐτοῦ· ὅτι γὰρ αὐτὸς τὸν ἴδιον ἐζωοποίει ναὸν, λέγει πρὸς Ἰουδαίους "Λύσατε τὸν (S. Joan. ii. 19.) "ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν·" οὐκοῦν κἂν εἰ ἐγηγέρθαι λέγοιτο παρὰ τοῦ Πατρὸς, ἀλλ' οὖν αὐτὸς ἦν ὁ ἀνιστὰς διὰ τοῦ Ἁγίου Πνεύματος· πάντα γὰρ ἐνεργεῖται τὰ θεοπρεπῆ παρὰ τοῦ Πατρὸς διὰ Υἱοῦ ἐν Πνεύματι· ἐγερεῖ **28 M.** τοίνυν καὶ τὰ ἡμῶν σώματα ἐκ νεκρῶν ὁ Χριστός.

Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσιν υἱοί Θεοῦ. 14 sq.

Οἱ δὲ πνεύματι ζῶντες, οὗτοι καὶ Πνεύματι ἄγονται, διὰ τὸ κατεσφραγίσθαι τῷ Ἁγίῳ Πνεύματι, καὶ δουλείας μὲν ἀπηλλάχθαι τῆς ἐν νόμῳ καὶ γράμματι, μεταφοιτῆσαι δὲ μᾶλλον εἰς ἐλευθερίαν, καὶ μαρτυρεῖσθαι τῷ τῆς υἱοθεσίας Πνεύματι, ὅτι τε εἰσὶν υἱοὶ Θεοῦ, καὶ ἐν αὐτῷ τῷ τῆς υἱοθεσίας πνεύματι διακεκράγασιν Ἀββᾶ ὁ πατήρ.

Εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. 17

Κατορθοῦται μὲν οὐ[κ ἄνευ πόνου] τὸ ἀγαθὸν, πλὴν ἐπὶ μεγάλαις ἐλπίσι τοῖς ἁγίοις ὁ πόνος· τῶν γὰρ ἐπιγείων οὐδὲν αὐτοῖς ἐπήγγελται, ἀλλὰ δόξα ἀμήρυτος, καὶ τῶν ὑπὲρ νοῦν καὶ λόγον ἡ μέθεξις. οἱ γὰρ τῶν ἐπὶ γῆς ὑπερορῶντες, ἄξιοι καὶ τῶν ἀνωτάτω γερῶν· καὶ οἱ προπεπονηκότες ἐν ἀνδρείᾳ καὶ ὑπομονῇ, μέλλουσι στεφάνων ἀπολαύειν ἐν ἀσυγκρίτοις ὑπεροχαῖς· μειονεκτεῖται γὰρ ὁ εἰς ἀρετὴν πόνος τῶν μετὰ ταῦτα τιμῶν. δόξαν δὲ λέγει τῶν ἁγίων, ἐπείπερ ἐκλάμ- (S. Matth. xiii. 43.) ψουσιν οἱ δίκαιοι κατὰ καιροὺς ὡς ὁ ἥλιος, ἐν τιμῇ καὶ δόξῃ καὶ ἀφθαρσίᾳ γεγονότες, ἐν τῷ μεταβληθῆναι αὐτῶν τὸ σῶμα, καθὼς μετεμορφώθη ὁ Χριστὸς ἐν τῷ ὄρει.

3. ἐζωοποίησε A. 6. ὁ assumptum ex A. t. cet. 8. Post haec scholia tria, nempe τὸ τοίνυν ἰσουργεῖν—ἐν ἡμῖν e lib. vii. ad Herm. 648, ἀλλ' εἴπερ ἦν ὄντως—σημαίνοι e Thesauro 338 a b., εἰ δὲ ζωοποιὸν—φύσιν, maxima parte e dial. vii. ad Herm. 656 a, exhibet A. 9. Scholion hoc edidi ex A p. 141. Post haec οὐκοῦν εἰ τὸ—ἂν γένοιτο e Thesauro 335 e exhibet A p. 147. 17–28. Scholion hoc non exhibet A. 17. κ ἄνευ πόνου supplet Maius, lacuna patente in Cod. 18. μεγάλοις B. τῶν—ἀμήρυτος om. (ab -ος ad -ος transiliens B.

[28 M.]

19 Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται.

Ἀποκαραδοκία μέν ἐστιν ἡ ἐλπὶς, καὶ ἡ τῆς τῶν πραγμάτων ἐκβάσεως προσδοκία τε καὶ ἐπιτήρησις· ἐκδέχεται γεμὴν ἡ κτίσις τὴν ἀποκάλυψιν τῶν τέκνων τοῦ Θεοῦ, οὐκ αὐτή που πάντως εἰδυῖα τὸ ἐσόμενον, πῶς γὰρ ἢ πόθεν; ἀλλ' ὅτι ταῖς ἀποῤῥήτοις οἰκονομίαις τοῦ πάντα μεταρυθμίζοντος εἰς τὸ ἄμεινον Θεοῦ, πρὸς τοῦτο ἥξει τὸ τέλος· μεταπλαττομένων γὰρ ὥσπερ εἰς δόξαν ἐξ ἀτιμίας, καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν, τῶν τοῦ Θεοῦ τέκνων, τουτέστι τῶν τὴν εὐδόκιμον κατωρθωκότων ζωὴν, καὶ αὐτή που πάντως ἡ κτίσις μεθαρμοσθήσεται πρὸς τὸ ἄμεινον· καὶ πρός γε τοῦτο ἡμᾶς ὁ
2 S. Pet. iii. 13. θεσπέσιος Πέτρος ἐνδοιάζειν οὐκ ἐᾷ εἰπὼν ὅτι “καινοὺς “οὐρανοὺς καὶ καινὴν γῆν καὶ τὰ ἐπαγγέλματα αὐτοῦ “προσδοκῶμεν.”

20 sq. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη.

Ματαιότητα ἐνθάδε φησὶ τοὺς ζῶντας ἐν ματαιότητι, τουτέστιν ἐν φρονήματι σαρκικῷ· περὶ ὧν ἂν λέγοιτο καὶ μάλα
Ps. cxliii. 4. εἰκότως “Ἄνθρωπος ματαιότητι ὡμοιώθη·” καὶ μὴν καὶ ὅτι
Ps. xlviii. 13. “παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη “αὐτοῖς·” ματαιότης γὰρ ἀληθῶς τῶν τοιούτων ὁ βίος· τούτοις ἡ κτίσις ὑποτάσσεται, καὶ οὔτι που πάντως ἑκοῦσα· πόθεν; πῶς δὲ δὴ ἄρα καὶ τοῦτό φαμεν; οἶδε μὲν γὰρ ὅλως τῶν καθ' ἡμᾶς οὐδὲν ἡ αἰσθητή τε καὶ ὁρωμένη κτίσις· οὐ γάρ ἐστι λογική· ἀλλ' εἰ καί τις δοίη τὸ δύνασθαί τι νοεῖν
29 M. αὐτὴν, οὐκ ἂν ἠνέσχετό φησι τῆς οὕτως αἰσχρᾶς δουλείας,

3. Inc. Ἀποκαραδοκία μὲν οὖν ἐστιν A. 4. τε om. A. 5. αὐτή που πάντως om. A. 6. ὅτι om. A. 8. πρὸς τοῦτο ἥξει τὸ τέλος] προσδοκῶσα τὴν εἰς τὸ κρεῖττον ἕξειν μεταβολήν A. 9. γὰρ] + τῶν τοῦ Θεοῦ τέκνων τῶν θεοσεβῶς ζησάντων A. Statim ὥσπερ om. A. ἐξ ἀτιμίας εἰς δόξαν inverso ordine A. Statim καὶ—κατωρθωκότων ζωὴν om. A. 11. που om. A. 12. ἄμεινον] + τὴν πρέπουσαν τοῖς τότε καιροῖς αὐχοῦσα κατάστασιν A. 14. καὶ] Ita et B. cf. in xii Proph. 801 a. κατὰ A. 16. Schol. hoc exhibet et A. 20. παρεσυνεβλήθη A (Alex.).

[29 M.]

οὐδ' ἂν ἠθέλησεν ὑποτετάχθαι τε καὶ ὑπηρετεῖν τοῖς ἐπ' οὐδενὶ τῶν ἀναγκαίων ἤγουν ἀγαθῶν διαβιοῦν ἑλομένοις· ἀλλ' ἐπ' ἐλπίδι, φησὶ, τῶν σωθησομένων καὶ τῶν κατὰ καιροὺς ἁγίων τε καὶ ἐκλεκτῶν, ὑποτέτακται τέως, καταζευγνύντος αὐτὴν τοῦ Θεοῦ καὶ οἷον τηροῦντος εἰς ἐλευθερίαν τὴν ὑπό γε τοῖς ἁγίοις καὶ τοῖς ἀγαπῶσιν αὐτὸν, ἵνα δὴ μόνοις ὑπηρετῇ τοῖς αὐτοῦ τέκνοις, καὶ ταῖς τῶν ἐξειλεγμένων παρακέοιτο χρείαις· ἀλύει μὲν γὰρ μονονουχὶ καὶ ὠδίνουσα καὶ ἀλγυνομένη· καὶ εἴπερ ἦν αὐτῇ τὸ καὶ εἰδέναι τι δύνασθαι τῶν καθ' ἡμᾶς πραγμάτων, τάχα που καὶ ἀνοιμώζουσα· πλὴν τοῖς θείοις εἴκουσα νεύμασι, καραδοκεῖ τρόπον τινὰ "τὴν ἀποκάλυψιν, ὡς ἔφην, τῶν υἱῶν τοῦ Θεοῦ." Supra ver. 19.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν. 23

Δέχεται πρὸς ἀπόδειξιν τῶν εἰρημένων τὸ ἐν ἡμῖν γίνεσθαι πεφυκός· αὐτοὶ γὰρ ἡμεῖς φησιν οἱ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν βαρούμενοι, υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. ἀληθὲς γὰρ ὅτι "φθαρτὸν σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει τὸ "γεῶδες σκῆνος νοῦν πολυφρόντιδα." γεγονότος δὲ ἅπαξ ἐν ἡμῖν τοῦ Πνεύματος, καὶ μεταστοιχειοῦντος ἡμᾶς εἰς ἔφεσιν ἀρετῆς, ἀντεξάγει ὥσπερ ἡ φιλοσαρκία, καὶ ὁ τοῖς μέλεσιν ἡμῶν ἐγκατασκήψας νόμος, ἀεὶ καταθήγων εἰς ἐκτόπους ἡδονὰς, ἀπηνῶς ἀντανίσταται. ταύτητοι στενάζομεν τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν εἰς υἱοθεσίαν καταλογιζόμενοι· δεδιψήκαμεν γὰρ οὐ τὴν τῶν σωμάτων ἀπόθεσιν, οὔτε μὴν ταύτην εἶναί φαμεν τὴν λύτρωσιν· ἔσεσθαι δὲ προσδοκῶμεν Sap. ix. 15.

1. τε om. A. 4. τέως A. τε ὡς B. Ed. 6. τε pro γε A. 10. ἀνοιμώξασα A. 12. Sequuntur scholia duo in A, e Thes. 354 d e, 170 b deprompta. 15. Ab hoc loco usque ad finem capitis, quaternionem codicis sui manu recentiore suppletum esse adnotat Maius. Inc. Τὸ γοῦν ἐφ' ἡμῖν γίνεσθαι πεφυκὸς δέχεται πρὸς ἀπόδειξιν τῶν εἰρημένων αὐτοὶ A. 17. αὐτοὶ ἐν ἑαυτοῖς assumptum ex A. βαρυνόμενοι (cf. 2 Cor. v. 4) A. 21. τοῦ] + Ἁγίου A. 22. καὶ ὁ A. ἔξω Ed. ιξο (sic) codicem e quo transcribebat vix legens (ut vid.) B. 23. νόμος] + καὶ Ed. invitis A.B. 25–27. A λύτρωσιν ad λύτρωσιν transilit B.

[29 M.] τὸ σῶμα πνευματικὸν, τουτέστιν ἀποβεβληκὸς εἰσάπαν φρόνημα τὸ σαρκικὸν καὶ γεῶδες, καὶ τῆς ἁμαρτίας τὸ κέντρον· τοῦτο εἶναί φαμεν τὸ σῶμα τὸ πνευματικόν.

Εἰ δὲ τῆς υἱοθεσίας ἡ χάρις τὴν τοῦ σώματος ἡμῶν ἀπολύτρωσιν ἔχει, μὴ δή τινες ὅλως συκοφαντείτωσαν ἡμῖν τὴν ἀνάστασιν· μήτε μὴν εἰς τοῦτο ἡκόντων ἀσυνεσίας, ὡς ἀπό-
30 M. βλητον μὲν ποιεῖσθαι τὴν σάρκα, καὶ ἀφανισθήσεσθαι λέγειν εἰς ἅπαν αὐτὴν πεσοῦσαν εἰς γῆν, ἀντανίστασθαι δὲ ὥσπερ ἕτερόν τι πνευματικὸν, ἰσχνόν φημι καὶ ἀερῶδες· νοοῦσι γὰρ ὧδε τὸ πνευματικὸν αὐτοί.

24 Τῇ γὰρ ἐλπίδι ἐσώθημεν.

Πιστεύομεν ὅτι μέλλει καὶ τὰ ἡμῶν σώματα κρείττω γίνεσθαι φθορᾶς καὶ θανάτου· ἀπόκειται δὲ τοῦτο ἡμῖν ἐν ἐλπίσιν, οὐχ ὡς ἤδη παρὸν, ἀλλ' ὡς πάντη τε καὶ πάντως ἐσόμενον· καὶ ἐκδεχόμεθα δι' ὑπομονῆς τληπαθοῦντες, ἵνα τύχωμεν τῆς οὕτω σεπτῆς δωρεᾶς.

26 Ὡσαύτως δὲ καὶ τὸ πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν κ.τ.λ. Ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

Στεναγμοῖς ἀλαλήτοις ἐντυγχάνει ὑπὲρ ἡμῶν τὸ ἡμῶν δηλονότι πνεῦμα· στενάζομεν γὰρ ἔσθ' ὅτε, τὰς πρὸς τὸν Θεὸν ἱκετείας ποιεῖσθαι σπουδάζοντες. οὐκοῦν ἐν Ἁγίῳ Πνεύματι καὶ τοῦτο μανθάνομεν· σοφὸν γάρ ἐστι καθάπερ καὶ ὁ Υἱός. ἐπειδὴ δέ φησι Τὸ τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν, ἐκεῖνο ζητήσωμεν· καίτοι τὸ τίνα δὴ τρόπον προσεύξεσθαι δεῖ, προπεπαιδεύμεθα παρὰ Χριστοῦ λέγοντος ἐναργῶς

2. φρόνημα] + τε A. 5. μὴ δή A μηδέ Ed. ἡμῖν assumptum ex A in Cr. quod praetermisi ipse. 6. ἀσυνεσίας A. ἀσεβείας Ed. 8. εἰσάπαν om. A. 11–16. Hoc scholion non exhibet A. 20. Inc. Ἐντυγχάνει στεναγμοῖς ἀλαλήτοις ὑπὲρ ἡμῶν. ἐπειδὴ στενάζομεν ἔσθ' ὅτε A. 22. ποιεῖσθαι] ἐκτελεῖν A. 23. μανθάνομεν ante ἐν transponit A. ἐστι om. A. Statim ὡς pro καθάπερ A. 24. προσευξώμεθα e suo passim Migne. 25. δεῖ pro δὴ, omittens δεῖ paullo infra A. εὔχεσθαι A. 26. πεπαιδεύμεθα A. παρὰ] + τοῦ A.

[30 M.] "Οὕτως οὖν ὑμεῖς προσεύχεσθε Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐ-" S. Matth. vi. 9, 10. "ρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, "γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·" καὶ ὅσα τούτοις ἐστὶν ἐφεξῆς. ὅτε τοίνυν ἐγνώκαμεν καθ' ὃν ἂν πρέποι τρόπον ποιεῖσθαι τὰς ἱκετείας, τίς ἂν εἰπέ μοι γένοιτο λόγος τῶν ἀποστολικῶν γραμμάτων; ἢ ὅποι περ ἂν βλέποι τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς; φαμὲν οὖν, ὅτι προσευχόμεθα μὲν τὴν τῶν ἀγαθῶν ζητοῦντες αἴτησιν, καὶ πρό γε τῶν ἄλλων τὰ εἰς δόξαν Θεοῦ, καὶ τὰ δι' ὧν ἂν γένοιτο βιῶναί τε ὀρθῶς καὶ τὴν εὐδόκιμον ἀληθῶς κατορθῶσαι ζωήν· "τὴν δὲ ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες καὶ" Supra ver. 23. "αὐτοὶ στενάζομεν ἐν ἑαυτοῖς, υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν "ἀπολύτρωσιν τοῦ σώματος·" καὶ ὡς ἔν γε τούτῳ τῷ μέρει, τὸ τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν· εἰ γὰρ "ὀφθαλμὸς" 1 Cor. ii. 9. "οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ "ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν," τί προσιόντες αἰτήσομεν; ἢ πῶς ἂν εἰδείημεν ἃ μὴ τεθεάμεθα, μᾶλλον δὲ καὶ τὰ ἐπέκεινα νοῦ καὶ ταῖς ἀνθρώπων καρδίαις οὐκ ἐγνωσμένα; ποία δ' ἂν γένοιτο καὶ ἡ τοῦ σώματος ἀπολύτρωσις, ἢ τίς ὁ μεταπλασμὸς, ἀναστοιχειοῦται δὲ ὅπως εἰς ἀφθαρσίαν καὶ δόξαν, αὐτὸς ἂν εἰδείη καὶ μόνος ὁ τούτων τεχνίτης. ἔφη δέ που πρός τινας τοῦ Σωτῆρος ὁ μαθητὴς 31 M. καθὸ δεῖ προσεύχεσθαι μὴ εἰδότας "Αἰτεῖτε, καὶ οὐ λαμ-" S. Jac. iv. 3. "βάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν "δαπανήσητε." οὐκοῦν πρέποι ἂν καὶ μάλα εἰκότως τοῖς ὧδε διακειμένοις εἰπεῖν τό Τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδα-

1. οὕτως οὖν ὑμεῖς] ὑμεῖς οὖν A. 2. ἁγιασθήτω—γῆς om. A. 4. τούτοις] + κείμενα A. ἐγνώκαμεν—ἱκετείας] καθ' ὃν πρέπει τρόπον ἐκτελεῖν τὰς ἱκετείας ἐγνώκαμεν A. 5. εἰπέ μοι assumptum ex A. 6. τῶν ἀποστολικῶν γραμμάτων ὁ λόγος A. ἔνθα pro ὅποι περ A. 7. βλέποι τὸ A. Migne. βλέποιτο Ed. φωνῆς] + εἰρημένον A. 8. προσευχόμεθα A. προσευξόμεθα Ed. ἐκζητοῦντες τὴν τῶν ἀγαθῶν A. 9. τὰ εἰς δόξαν Θεοῦ ante πρό transponit A. 10. ἔσοιτο pro γένοιτο A. τὴν ζωὴν τὴν εὐδόκιμον ἀληθῶς κατορθῶσαι A. 11. ἔχοντες τοῦ Πνεύματος inverso ordine A. 12. ἀπεκδεχόμενοι] + καὶ ἐλπίζοντες A. 17. ἃ μὴ A. et ita conjecit Migne. καὶ Ed. 18. ταῖς] + τῶν A. 25. πρέποι A. πρέπει Ed. καὶ μάλα εἰκότως om. A. 26. καθὸ A. Migne. μεθ' ὃ B. μήθ' ὃ Ed.

[31 M.] μεν· ἀλαλήτοις δὴ οὖν στεναγμοῖς αἰτοῦμεν ἐν πνεύματι, ἃ καὶ ὅτι μὲν ἔσται πεπιστεύκαμεν, τίνα δὲ τρόπον ἀγνοοῦμεν παντελῶς.

28 Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν.

Συνεργεῖ μὲν ἅπαντα πρὸς τὸ ἀγαθὸν τοῖς ἀγαπῶσι Θεὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι· κατὰ πρόθεσιν δὲ ἄρα τὴν τίνων; τί δ' ἂν νοοῖτο τὸ κατὰ πρόθεσιν; οὐκοῦν τὸ κατὰ πρόθεσιν εἴη ἂν τὸ κατὰ βούλησιν· κέκληνται δὴ οὖν οἱ περὶ ὧν ὁ λόγος κατὰ βούλησιν τίνων; πότερον δὴ τοῦ κεκληκότος, ἢ καὶ αὐτῶν τῶν κεκλημένων; οὐκοῦν ἅπασα μὲν ἔφεσις πρὸς δικαιοσύνην ἡμᾶς ἀποφέρουσα, γένοιτ' ἂν ἡμῖν
S. Joan. vi. 44. παρὰ τοῦ Θεοῦ καὶ Πατρός· ἔφη γάρ που ὁ Χριστός "Οὐ- "δεὶς δύναται ἐλθεῖν πρὸς μὲ, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας "με ἑλκύσῃ αὐτόν·" πλὴν ἔν γε τούτοις οὐκ ἄν τις ἁμάρ-
32 M. τοι τοῦ πρέποντος λέγων, ὡς κλητοὶ γεγόνασί τινες κατὰ πρόθεσιν, τήν τε τοῦ κεκληκότος καὶ τὴν ἑαυτῶν.

29 Ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους κ.τ.λ.

Πολλοὶ μὲν, φησὶν, οἱ κατὰ πρόθεσιν κλητοὶ, οὐ μὴν ἅπαντες ἐκλεκτοὶ, μόνοι δὲ οὗτοι τετίμηνται οἳ καὶ προεγνώσθησαν ὡς ἔσονται σύμμορφοι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. εἰκὼν δὲ τοῦ Υἱοῦ αὐτοῦ τίς ἂν νοοῖτο, πάλιν σαφηνιεῖ
1 Cor. xv. 49. λέγων αὐτὸς ὁ μακάριος Παῦλος "Ὥσπερ γὰρ ἐφορέσαμεν "τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ "ἐπουρανίου." οἱ γὰρ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀλογήσαντες, οὗτοι τὴν εἰκόνα μεμίμηνται τοῦ Χριστοῦ τουτέστι τὴν ἐν

1. οὖν] + ἐν A. αἰτοῦμεν] λαλοῦμεν A. 3. παντελῶς des. A. Pergunt ἡ μὲν φύσις—ἐντυχίαις ἀνύεσθαι B. Ed. vide Crameri Catenam ad loc. p. 144. 12–29. Haec Gennadio tribuit A. 8. Inc. Τὸ μὲν οὖν κατὰ πρόθεσιν εἴη A. 9. δὴ οὖν] δὲ A. 10. τίνων A. τινων B. Ed. πότερα A. 11. καὶ αὐτῶν om. A. 12. γένοιτο A. 18. Scholion hoc nobis suppeditat A. 22–25 et 26—p. 221, 4. citant t. fol. 28 aliaeque ejusdem generis Catenae. 22. πάλιν om. t. cet. 24. φορέσωμεν exhibent A, ceterique codices. 26. τὴν ἐν ἁγιασμῷ ζωὴν τὴν πρὸς πᾶν ὁτιοῦν ἀμώμητον πολιτείαν bene t. cet.

[32 M.]

ἁγιασμῷ πολιτείαν καὶ ζωήν. ὥσπερ γὰρ εἰκόνα τοῦ χοϊκοῦ, τουτέστιν Ἀδὰμ, τὴν ἐν παρακοῇ τε καὶ ἁμαρτίαις ζωὴν εἶναί φαμεν, οὕτω καὶ εἰκόνα τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ, τὸν ἁγιασμὸν καὶ τὴν δικαίωσιν καὶ τὴν ὑπακοήν. ὅσοι τοίνυν προεγνώσθησαν ὡς ἐσόμενοι κατὰ καιροὺς τῆς Χριστοῦ ζωῆς σύμμορφοί τε καὶ μιμηταὶ κατά γε τὸ ἐγχωροῦν τῇ ἀνθρωπίνῃ φύσει, οὗτοι καὶ κέκληνται.

Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τού- 30
τους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν.

Εὐάφορμον τῆς ἀπιστίας τὸ χρῆμα ποιεῖσθαί τινας τὸ ἀπεικὸς οὐδὲν, ἐξ ἀμαθίας συνηρπασμένους καὶ λέγοντας Εἰ οὓς αὐτὸς προέγνω κατὰ πρόθεσιν καὶ προώρισεν, οὗτοι καὶ κέκληνται, πρὸς ἡμᾶς τοὺς οὔπω πεπιστευκότας οὐδέν· οὐ γάρ τοι κεκλήμεθα, οὔτε μὴν προωρίσμεθα· πρὸς οὓς ἐροῦμεν, ὅτι ὁ ποιῶν τοὺς γάμους τῷ υἱῷ αὐτοῦ, τοὺς μὲν οἰκέτας ἀπέστειλεν συναγεῖραι τοὺς κεκλημένους, οἱ δὲ οὐκ ἤθελον ἐλθεῖν· εἰσῆλθον δὲ μετ' ἐκείνους οἱ κλητοὶ κατ' ἰδίαν πρόθεσιν, πέπλησται δὲ οὕτως ὁ νυμφὼν τῶν ἀνακειμένων. οὐδὲν οὖν ἄρα τοῖς ἐθέλουσιν ἐλθεῖν ἐμποδὼν ὁρᾶται κείμενον· ἀδικεῖ δὲ οὐδένα τὸ σύμπαν ἡ πρόγνωσις, οὔτε μὴν ὀνίνησί τινας. ἐπεὶ διδασκόντων εἰ μὴ καὶ αὐτοὶ προεγνώσθησαν, οἱ ταῖς ἀπειθείαις ἐξυβρικότες τὸν κεκληκότα Θεόν· ἀλλὰ καὶ κέκληνται μὲν καὶ εἰσπεπηδήκασί τινες εἰς τὸν γάμον, πλὴν οὐ γεγόνασιν ἐκλεκτοὶ, οὐδὲ δεδικαίωνται οὐδὲ ἐδοξάσθησαν· διὰ ποίαν αἰτίαν; ὅτι μὴ πρέπουσαν τοῖς γάμοις ἠμφιέννυντο στολήν. ἄλλως τε καὶ αὐτὸν εὑρήσομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναφανδὸν εἰρηκότα

S. Matth. xxii. 2, 3.

1. εἰκόνος (sic) A. 2. τε assumptum ex t. cet. 4. καὶ τὴν δικαίωσιν καὶ τὴν ὑπακοήν] τὴν δικαιοσύνην, τὴν ὑπακοήν t. cet. 10. Inc. Οὐδὲν μέντοι τὸ ἀπεικὸς, εὐάφορμον τῆς ἀπιστίας τὸ χρῆμα ποιεῖσθαί τινας ἐξ ἀμαθίας A. 12. προώρισεν A. προαίρεσιν Ed. καὶ alt. assumptum ex A. 13. τοὺς οὔπω πεπιστευκότας οὐδέν hoc ordine A. οὐδὲν ante τοὺς transponunt B. Ed. 16. ἠθέλησαν A. 19. οὐδὲν A. οὐδ' B. Ed. ἄρα τοῖς A. ἀρ' αὐτοῖς B. Ed. 22. σεσωκότα pro κεκληκότα A. 24. οὐδὲ prius] οὐ A. οὐδὲ alt. A.B. οὐδ' Ed. 26. εὑρήσομεν A. εὑρίσκομεν B. Ed.

[32 M.]

S. Matth. xi. 28.

“ Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, “ κἀγὼ ἀναπαύσω ὑμᾶς.” ἰδοὺ ἤδη σύμπαντας ἐκάλει πρὸς ἑαυτόν· ἀμοιρήσειε δ' ἂν οὐδεὶς τῆς ἐπὶ τῷ κεκλῆσθαι χάριτος· ἐν γὰρ τῷ πάντας εἰπεῖν, ἀπόπεμπτον ποιεῖται παντελῶς οὐδένα.

33 M.

31 Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ'
32 ἡμῶν; ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο.

Τοῖς ἀγαθοεργεῖν ᾑρημένοις πάντα συνεργεῖ, Θεοῦ ὑπερασπίζοντος· ὁ γὰρ τοῦ κατὰ φύσιν ἠφειδηκὼς Υἱοῦ, ἵνα σώσῃ κινδυνεύοντας, καὶ ἀπαλλάξῃ κινδύνων, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαριεῖται;

33, 34 Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων;

Τάχα δὲ καὶ οἰκονομικῶς ὁ Παῦλος οὐκ ἐᾷ τὸν νοῦν τῶν κεκλημένων εἰς ἀμηχανίαν ἐμπεσεῖν, ἀλλὰ διδάσκει ὅτι τῶν μὲν ἀρχαίων ἁμαρτιῶν ἐλευθερωθήσονται, δικαιωθήσονται δὲ, Θεοῦ κατανεύοντος. εἰ γὰρ καὶ πᾶσα ἁμαρτία τοῦ θείου νόμου παράβασιν ἔχει καὶ κατακρίνει τὸν ῥαθυμοῦντα, ἀλλ' εἰ καὶ αὐτὸς ὁ τοῦ νόμου Κύριος συγχωρεῖ, τίς ὁ κατακρίνων τὸν ἡμαρτηκότα;

2. δὴ pro ἤδη A. 5. *οὐδένα*] des. A. Quae sequebantur e Catena Vaticana, quum D. Cyrilli esse non videantur, sed potius Gennadii forte aliive, nomine in margine omisso, hic do. *οὓς εἰδὼς πόῤῥωθεν, φησὶν, ὁποῖοί τινες ἔσονται, ἀφώρισεν εἰς τὸ τῶν μελλόντων μετασχεῖν ἀγαθῶν, τούτους καὶ ἐκάλεσεν, ὥστε διὰ τῆς ἐπ' αὐτὸν πίστεως ἀπολαῦσαι δικαιώσεως, ἁμαρτεῖν οὐκ ἐπιδεχομένους τότε· ἡ δέ γε δόξα, ἐν ἀφθαρσίᾳ τε καὶ ἀθανασίᾳ γεγονόσι καθάπαξ, ἅπαντα μέντοι τυῦτα ἀπέδωκε· πρὸς τὸ, οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν, διδάξαι βουλόμενος, ὡς οὐ περιορῶν αὐτοὺς ὁ θεὸς, ἐν ταῖς παρούσαις ἐξετάζεσθαι ποιεῖ συμφοραῖς· πῶς γάρ; ὅ γε ἐπὶ τοσούτων ἀγαθῶν ἀπόλαυσιν καλέσας αὐτοὺς, καὶ τούτους οὐ νῦν ἀλλὰ πάλαι καὶ πρόπαλαι ἐξ ὅτε περ αὐτοῖς κατὰ τὴν ἀπόῤῥητον ἑαυτοῦ πρόγνωσιν ἠπίστατο ὁποῖοι τινὲς ἔσονται καὶ πρὸ τοῦ γενέσθαι· εἰδὼς γὰρ ἄνωθεν τοιούτους ἐσομένους αὐτοὺς, ἀνάλογα τῇ περὶ αὐτῶν διαθέσει πόῤῥωθεν αὐτοῖς ηὐτρέπιζεν ἀγαθά· πῶς οὖν αὐτοὺς περιιδεῖν οἷόν τε καὶ πρὸ τοῦ γενέσθαι τῆς προαιρέσεως αὐτῶν τὰς ἀμοιβὰς εὐτρεπίσαντα, καὶ ἐπὶ τούτοις αὐτοὺς καλέσαντα, ὥστε διὰ τῆς ἐπ' αὐτὸν πίστεως τῶν προσδοκωμένων ἀγαθῶν;* 8–11. Haec quasi scholion novum, B. auctoritate fretus exhibui, quum in Ed. prioribus conjungebantur. Post haec, scholion e dial. ad Herm. iv. 508 c d e 509 a desumptum, exhibet A. 12. Haec nobis suppeditat A p. 229.

'Αλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου. Κεφ. θ'. 1 sqq.

'Απόλεκτον μὲν ἐποιεῖτο Θεὸς ἐν ἀρχαῖς τὸν 'Ισραὴλ, καὶ δὴ καὶ πρωτότοκον αὐτὸν ἀπεκάλει· ἀλλὰ γεγόνασιν (Exod. iv. 22.) ἀλαζόνες καὶ ὑβρισταὶ, καὶ τὸ ἔτι τούτων ἐπέκεινα κυριοκτόνοι· ταύτῃτοι διολώλασι, γεγόνασι γὰρ ἀπόπεμπτοι καὶ ἐξεῤῥιμμένοι, καὶ τῆς πρὸς Θεὸν οἰκειότητος εἰς ἅπαν ὠλισθηκότες, τέθειντοι κατόπιν ἐθνῶν· πεφήνασι δὲ καὶ τῆς τῶν πατέρων ἐλπίδος ἀλλότριοι. ἐπειδὴ δὲ ὁ μακάριος Παῦλος τῶν θείων εὐαγγελίων τέθειται λειτουργὸς, καὶ διεκήρυττε τοῖς ἔθνεσιν τὸν 'Ιησοῦν, ἄνω τε καὶ κάτω τοὺς ἐξ αἵματος 'Ισραὴλ ἀποπεπτωκέναι λέγων, καὶ τοὺς ἐν σκότῳ ποτὲ καὶ τῶν δαιμονίων θεραπευτὰς κλητοὺς γενέσθαι κατὰ πρόθεσιν καὶ πρόγνωσιν Θεοῦ δισχυριζόμενος, ἵνα μή τινες οἴωνται τῶν ἀμαθεστέρων μονονουχὶ κειμένοις καὶ ἐνάλλεσθαι τοῖς ἐκ γένους αὐτὸν, καὶ πεσοῦσιν ἐπιμειδιᾶν, ἀναγκαίαν ποιεῖται τὴν ἀπολογίαν καί φησιν 'Αλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, καὶ τὰ ἑξῆς. ἀλλὰ τοῖς μὲν εἰς τοῦτο σκαιότητος ἐκπεφοιτηκόσιν, ὡς τῆς εἰς Θεὸν ἀγάπης ἀπολισθεῖν, σκληράς τε τὰς ἐπὶ τούτῳ λοιπὸν ἀνατλῆναι δίκας, ἐπιστυγνάσειεν ἄν τις· καὶ τὸ ἐκ φιλαλληλίας αὐτοῖς ἐπιστάξαι δάκρυον εἴη ἂν οὐ πέρα λόγου, μᾶλλον δὲ τῆς ἀγάπης τὴν πλήρωσιν ἔχει· τό γε δὴ καὶ ὑπὲρ αὐτῶν ἀνάθεμα θέλειν εἶναι ἀπὸ Χριστοῦ, μέτρων ἐπέκεινα τῶν ἀγάπης λοιπόν· οὐ γὰρ ἂν ἕλοιτό τις εἴπερ ἐστὶν ἐν καλῷ φρενὸς, τῆς ἑτέρων ἕνεκα σωτηρίας προσκρούειν Θεῷ, καὶ ποιεῖσθαι μὲν παρ' οὐδὲν τὴν ἑαυτοῦ ζωὴν, ἑτέροις γεμὴν τὸ χρῆμα ἐνεῖναι ἑλεῖν.

3. Inc. Πάλιν δὲ ἄνωθεν καθ' ἑτέραν ἐπιβολὴν περὶ τῶν εἰρημένων εἴπωμεν. ἀπόλεκτον A. 4. καὶ alt. om. A. 14. οἴωνται A. Migne. οἴονται B. Ed. 18. σκαιότητος] + τρόπον B. Ed. 20. τούτῳ A. τοῦτο Ed. δίκας et λοιπὸν inter se transponit A. 22. ἔχει τὴν πλήρωσιν inverso ordine A. 23. γε δὴ] δὲ δὴ A. θέλειν ἀνάθεμα inverso ordine A. 24. τῆς pro τῶν A. 26. αὐτοῦ A. 27. ἐλέσθαι A.

[33 M.] Τί οὖν ἄρα φησὶ, τῆς Ἰουδαίων σωτηρίας ἀντάλλαγμα τὴν ἑαυτοῦ προτιθείς; οὐκοῦν ὑπερβολικὸς ὁ λόγος, καὶ ἀγάπης ἀπόδειξιν ἔχει τῆς τελεωτάτης· *ηὐχόμην γάρ φησιν* 34 M. *ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου·* ὅμοιον γὰρ ὡς εἴπερ λέγοι Εἰ προσκεκρουκότος ἐμοῦ τῷ Χριστῷ ὁ Ἰσραὴλ ἀνασώζεται, εἱλόμην ἂν αὐτὸς ἐγώ· ὁ (1 Cor. ii. 2.) καὶ τοῖς ἐν πίστει δεδικαιωμένοις εἰπὼν "Οὐ γὰρ ἔκρινά τι "εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυ- (Supra viii. 35.) "ρωμένον," ὁ πᾶσι διακηρύττων "Τίς ἡμᾶς χωρίσει ἀπὸ "τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις ἢ στενοχωρία ἢ διωγμὸς "ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;" τὸ οὕτω δεινὸν ὑποστῆναι κακὸν, καὶ εἷς ὑπὲρ πάντων χωρῆσαι πρὸς ὄλεθρον. τοῦτο δὲ ἦν σαγηνεύοντος μὲν τοὺς Ἰουδαίους εἰς εὐπείθειαν, ἀποκρουομένου δὲ τὰς τῶν ἀσυνέτων συκοφαντίας· ᾤοντο γὰρ τῶν Ἰουδαίων τινὲς οἷον ἀπόπληκτον γεγονότα τὸν θεσπέσιον Παῦλον, τοῖς διὰ Μωυσέως ἀντιφέρεσθαι νόμοις· ταύτῃτοι τοῖς πιστεύσασιν ἐπιστέλλει λέγων (2 Cor. v. 13.) "Εἴτε γὰρ ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν." οὐκοῦν ἑλοίμην ἂν ἔγωγε καὶ μάλα προθύμως, φησὶν, ἵνα τοὺς ἐξ αἵματος ἀνασώσαιμι, *ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ·* προσεπάγει δὲ, ὥσπερ τῆς ἐπ' αὐτοῖς λύπης τὴν αἰτίαν οὐκ ἀνικάνως ἔχουσαν ἀποφαίνων εἴς γε τὸ δύνασθαι τοιαύτην αὐτῷ τὴν διάθεσιν ἐνεργάζεσθαι, ἵνα μή τι δοκοίη σκληρόν τε καὶ ἀπηχὲς εἰπεῖν, τῆς ἑτέρων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ δωρούμενος· πρῶτον μὲν γὰρ, φησὶν, *εἰσὶν Ἰσραηλῖται,* αὐτῶν *ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι·* ἐξ αὐτῶν δὲ *τὸ κατὰ σάρκα* καὶ *αὐτὸς ὁ Χριστός·* ἀλλ' εἰ μέν τινες ἦσαν τῶν οὐ πάλαι διεγνωκότων τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, εἰ μὴ νόμος αὐτοῖς ὁ διὰ Μωυσέως γέγονε βραβευτὴς τῆς εἰς αὐτὸν

3. ηὐχόμην A. εὐχόμην B. Ed. 4. ἐγὼ et τοῦ om. A. 5. μου] + τῶν συγγενῶν μου B. 6–9. Ab ὁ ad ὁ transilit A. 10. θλίψις—μάχαιρα om. A. 17. τοι om. A. 20. ἀπὸ] + τοῦ Ed. invitis A.B. Χριστοῦ des. A. 25. εἰσὶν om. B.

οἰκειότητος, εἰ μὴ τῆς τῶν ἁγίων πατέρων ἐξέφυσαν ῥίζης [34 M.] καὶ τῆς ἐκείνων εὐκλείας τέθεινται κληρονόμοι, εἰ μὴ πρῶτοι τοὺς τῆς εἰς Θεὸν λατρείας μεμελετήκασι τρόπους, καὶ τὰς τῆς ἐπαγγελίας πεπλουτήκασιν ἐλπίδας, μετριωτέραν ἄν τις τὴν ἐπ' αὐτοῖς ἐποιήσατο λύπην. ἐπειδὴ δὲ αὐτῶν οἱ πατέρες, καὶ τὰ ἄλλα· μόνον δὲ οὐχὶ καὶ ἐξ οὐρίας αὐτοῖς τῶν πραγμάτων ἰόντων, εἰς ἀδόκητον ἐκπεπτώκασι τέλος καὶ διημαρτήκασι τῆς ἐλπίδος· πῶς οὐ πάνδεινον ἀληθῶς τὸ τοῖς ἀθλίοις συμβεβηκός;

Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. 6 sqq.

Ἀκριβὴς ὁ λόγος· ἥκιστα γὰρ διεψεῦσθαί φησιν, ἤγουν δύνασθαι τῆς ἀληθείας διαπεσεῖν τὸν τοῦ Θεοῦ λόγον· ἐπήγγελται μὲν γὰρ ὁμολογουμένως τῷ Ἀβραὰμ ἐν ἀρχαῖς ὁ 35 M. τῶν ὅλων Θεὸς, ὅτι πατὴρ ἔσται πολλῶν· καὶ πάλιν Gen. xvii. 4. "Πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡσεὶ τὰ ἄστρα τοῦ Ib. xxii. 17. "οὐρανοῦ τῷ πλήθει·" ἔδει τοίνυν οὐχὶ μόνων τῶν ἐξ Ἰσραὴλ ἀναδειχθῆναι πατέρα τὸν Ἀβραάμ· ἔθνος γὰρ ἦν ἓν τὸ ἐξ αὐτοῦ πεφηνὸς, μυρία δὲ ὅσα κατὰ πᾶσαν τὴν γῆν, ἃ καὶ εἰς τέκνα τέθεινται τῷ Ἀβραὰμ, εἴπερ εἰσὶν ἐξ ἐπαγγελίας, καὶ "στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν ἀκροβυστίᾳ Supra iv. 12. "πίστεως" αὐτοῦ, κατὰ τὸ γεγραμμένον· ὡς γὰρ αὐτός που φησὶν ὁ μακάριος Παῦλος "Οὐ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ib. 13, 14. "Ἀβραὰμ εἰς τὸ κληρονόμον αὐτὸν εἶναι κόσμου, ἀλλὰ διὰ "δικαιοσύνης πίστεως· εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, φησὶ, "κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία." ὅτε τοίνυν ὡς ἐν Ἰσαὰκ τὸ ἐξ Ἀβραὰμ λελόγισται σπέρμα, τουτέστιν καθ' ὑπόσχεσιν, ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ Σάρρᾳ υἱὸς, δῆλον ἂν εἴη δήπουθεν ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς καταλογισθεῖεν ἂν πάντῃ τε καὶ πάντως εἰς τέκνα Θεοῦ, ἔχοιεν δ' ἂν

3. τρόπους—πεπλουτήκασι om. (scil. a -κασι ad -κασι transiliens) B. 9. Hic des. B.

[35 M.] *μᾶλλον ἐφ᾽ ἑαυτοῖς τὴν ἐπὶ τῷδε δόξαν τὰ ἐκ τῆς ἐπαγγελίας, τουτέστιν τὰ διὰ πίστεως.*

10 Οὐ μόνον δὲ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν.

Ἰστέον ὅτι συμπεπέρασται μὲν οὐδαμῶς ὁ τοῦ λόγου σκοπὸς, ἀπήρτηται δὲ μᾶλλον, καὶ δεῖταί τινος βραχείας ἐπαγωγῆς, ἤγουν προσυπακουομένων, ἵνα μὴ σκάζων ὁρῶτο. ἔστι δὲ ὅ φημι τοιοῦτον· προαπέδειξε μὲν γὰρ ὡς ἀπὸ τοῦ δεδόσθαι τῷ Ἀβραὰμ ἐξ ἐπαγγελίας τὸν Ἰσαὰκ, ὅτι μὴ πάντως τὰ τέκνα τῆς σαρκὸς, ταῦτα αὐτῷ καταλογισθεῖεν ἂν καὶ εἰς σπέρμα, πρέποι δ᾽ ἂν τὸ χρηματίζειν αὐτὸν πατέρα τῶν ἐκ πίστεως καὶ ἐπαγγελίας· εἶτα δέχεται τὴν Ῥεβέκκαν καὶ τὰ ἐπ᾽ αὐτῇ γεγονότα, καί φησιν Οὐ μόνον δὲ, *τουτέστιν οὐ μέχρι δὴ μόνης τῆς Ἰσαὰκ γεννήσεως ὁ ἐμὸς ἀφίξεται λόγος, ἀλλὰ γὰρ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν· καὶ ἦν ἀναγκαῖον προσεπενεγκεῖν, συμπαραληφθήσεται τυχὸν πρὸς ἀπόδειξιν καὶ πληροφορίαν, ἤγουν ἔσται πρὸς ὑποτύπωσιν καὶ εἰκονισμὸν τῆς κατ᾽ ἐκλογήν τε καὶ πρόγνωσιν κλήσεώς τε καὶ χάριτος· ἐπενηνεγμένου γὰρ τοιούτου τινὸς, ἔδοξεν ἂν τότε ἀρτίως αὐτῷ πεποιῆσθαι λοιπὸν ὁ λόγος· ἀλλ᾽ οὐκ οἶδα ὅπως τοῦτο παρεὶς, ἐπ᾽ αὐτὰ κεχώρηκεν εὐθὺς τὰ ἐπὶ τῇ γενέσει τῶν ἐξ Ἰσαὰκ εἰρημένα τε καὶ πεπραγμένα.*

Supra ver. 8.

36 M.

14–24 Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο *κ.τ.λ.* ἕως καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν.

Ἐπειδὴ ἦν εἰκὸς τῶν φιλεγκλημόνων οἴεσθαί τινας, ῥοπῆς

5. *Ἰστέον μέντοι ὡς ἐν τῷ Οὐ μόνον δὲ, ἀλλὰ καὶ ῥεβέκκα, συμπεπέρασται μὲν* A. 6. *βραχείας τινὸς* inverso ordine A. 7. *ἤγουν*] + *τῶν* A. 10. *πάντως* A. *πάντες* Ed. 14. *δὲ* pro *δὴ* A. 16. *συμπαραληφθήσεται* A. *συμπαραλειφθήσεται* Ed. 20. *ἀρτίως* A. *ἄρτιος* Ed. 21. *λοιπὸν* om. A. *πῶς* A. 22. *γεννήσει* A. 23. *τε* om. A. 27. Inc. *Ἐπειδὴ τοίνυν εἰκὸς ἦν τῶν* A.

[36 M.]

θελημάτων ἀβασανίστου τυχεῖν τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ, καὶ τὸν μὲν ἠγαπῆσθαι ἰδίᾳ χάριτι κατανεύοντος τοῦ Θεοῦ, τὸν δὲ μεμισῆσθαι, προαναιρῶν ἀναγκαίως ὁ ἀπόστολος ὡς ὀλέθριον τὴν ἐπὶ τούτῳ διάληψιν, ταῖς ἄνωθεν ψήφοις πειρᾶται συνηγορεῖν, τοῖς αὐτοῦ λόγοις τὸ ἀντιφέρεσθαι δοκοῦν οἱονεί πως ἀνταναστάς· εἰ γὰρ δὴ, φησὶ, καὶ πρίν τι δράσαι τὰ βρέφη καὶ πρὸ πείρας αὐτῆς καὶ πραγμάτων, ὁ μὲν τῆς ἀγάπης ἠξίωτο, ὁ δὲ μεμίσηται, τέτακτο δὲ καὶ εἰς δοῦλον τῷ ἐλάσσονι, τάχα που, φησι, καὶ ἄδικος ὁ Θεός· εἶτα πῶς τοῦτο οὐκ ἀπόπληκτον; εἰ μὲν γὰρ οὐ γέγονεν ἀνὴρ ἀγαθὸς ὁ Ἰακὼβ, εἰ μὴ πονηρὸς ὁ Ἡσαῦ, φαίη τις ἂν εἰκότως πεπλανῆσθαι τάχα που τὴν πρόγνωσιν, καὶ ῥοπῆς εἰκαίας καὶ θελημάτων οὐκ ἀσφαλῶν ἔργον γενέσθαι τὰ ἐπ' ἀμφοῖν ὡρισμένα· ἐπειδὴ δὲ σκαιὸς μὲν ἦν λίαν ὁ Ἡσαῦ, σοφὸς δὲ ὁ Ἰακὼβ, ἀδικήσειεν ἂν ἡ τοῦ Θεοῦ πρόγνωσις τὸ σύμπαν οὐδὲν, χαριζομένη καὶ πρὸ καιροῦ τῷ μὲν ἀγαθῷ τοὺς τρόπους τὸ ἀγαπᾶσθαι δεῖν, τῷ δὲ μὴ τοιούτῳ τὸ κατακρίνεσθαι· ἀνεξικακῆσαι μὲν γὰρ τὸν Θεὸν, καὶ τὸν τῶν δρωμένων περιμεῖναι καιρὸν χαλεπὸν οὐδὲν, ἵνα ἐξ αὐτῶν ἑκάτερος διαφαίνοιτο τῶν πραγμάτων. ἐπειδὴ δὲ ἦν ἀναγκαῖον τῆς κατ' ἐκλογὴν χάριτος καὶ τῆς ἐν προγνώσει δωρεᾶς προανατυποῦσθαι τὸ μυστήριον, ταύτῃτοι χρησίμως ὁ τῶν τοιούτων ἡμῖν ἀριστοτέχνας Θεὸς, μονονουχὶ καὶ ἐπεδράττετο τοῦ καιροῦ, καὶ ἐν τῇ τῶν παίδων γενέσει πεπληροφόρηκε τὸν Ἰσαὰκ, ὡς εἷς τε καὶ μόνος ὑπάρχων ἐξ Ἀβραὰμ, ἀναριθμήτων ἔσται πατὴρ ἐθνῶν τῶν ἐξ ἐπαγγελίας καὶ ὡς ἐν πίστει κληθησομένων· εἰ δὲ δὴ κατὰ γνῶσιν οὓς ἂν ἕλοιτο τυχὸν, μᾶλλον δὲ καὶ οἷς ἂν εἰκότως τὸ ἐλεεῖσθαι πρέποι, οἰκτείρει πάλιν

1. τυχὸν A. τοῦ ἰακὼβ καὶ τοῦ A. 2. κατανεύοντος τοῦ Θεοῦ assumptum ex A. 3. μισεῖσθαι A. 6. ἀνθιστάς A. 7. καὶ πρὸ πείρας αὐτῆς καὶ πραγμάτων om. A. 8. ἠξίωται A. 9. φησι post πῶς transponit A. 14. λίαν ἦν inverso ordine A. 16. οὐδὲν, χαριζομένη] οὐ χαριζομένη (perperam) A. 17. δεῖν om. A. 22. ἡμῖν assumptum ex A. Statim ἀριστοτέχνης A. Migne e suo sed cf. supra in S. Joan. 296 b, vol. i. 435, 17. 26. ὡς καὶ inverso ordine A. κληρωθησομένων A. 28. πάλιν ὡς θεὸς om. A.

[36 M.] ὡς Θεὸς, ἔφη γάρ που πρὸς Μωυσέα Ἐλεήσω ὃν ἂν ἐλεῶ
καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω, πῶς οὐχ ἁπάσης ἔσται διαβολῆς
ἐκτὸς τὸ χρῆμα; προαναθρήσας δὲ οἶμαι σαφῶς ὁ ἀπό-
στολος ὡς τάχα που οἰήσονταί τινες νεύμασι τοῖς θείοις
τοὺς μὲν εἶναι ἀγαθοὺς, τοὺς δὲ ἀπειθεῖς, ἀναγκαίως αὐτὸς
ἀνθυποφέρει τὰ ἐκ τῆς ἐκείνων ἀμαθίας καί φησιν Ἄρα οὖν
οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ· εἰ
γὰρ δὴ μεμίσηται μὲν ὁ Ἡσαῦ καὶ πρίν τι δράσαι τῶν φαύ-
37 M. λων, τετίμηται δὲ καὶ πρὸ τῆς εἰς τὸ εἶναι παρόδου ὁ Ἰακὼβ,
ἐλεεῖ δὲ πάλιν οὓς ἐλεεῖ, πῶς οὐκ ἐκεῖνο λοιπὸν περινοεῖν
ἄξιον, ὡς οὐδὲν ὀνίνησιν ὁ τρέχων ἢ θέλων, τουτέστιν ὁ
δράσαι τι τῶν ἀγαθῶν προθυμούμενος, ἀπήρτηται δὲ πάντα
τὰ καθ' ἡμᾶς τῶν παρὰ Θεοῦ νευμάτων;

Εἶτα τούτοις ἐπισωρεύει καὶ τὰ προσεμπεδοῦν δυνάμενα
ver. 17. τὴν ἐπὶ τῷδε δόξαν καί φησι Λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ
ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν
δύναμίν μου· προσεπάγει δὲ τούτοις τὸ οἱονεὶ συμπέρασμα
ver. 18. τοῦ παντὸς προβλήματος καί φησιν Ἄρα οὖν ὃν θέλει ἐλεεῖ,
ver. 19. ὃν δὲ θέλει σκληρύνει· ἐρεῖς οὖν μοι Τί ἔτι μέμφεται; τῷ γὰρ
βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; τίς οὖν ἄρα γέγονεν αὐτῷ
τῆς ἀπολογίας ὁ τρόπος; ἀσυμφανὴς μὲν λίαν, καὶ τοῖς
παρ' ἐκείνων προβλήμασι τάχα που καὶ ἐπαμύνειν δοκῶν·
πλὴν ἀποχρῶν εἰς πληροφορίαν, ὡς οὐκ ἂν γένοιτό τι τῶν
ἔξω λόγου τοῦ πρέποντος παρὰ Θεοῦ· διανέμει γὰρ ἑκάστῳ
τὸ πρέπον αὐτῷ, κατοικτείρει τε καὶ ἐλεεῖ τοὺς οἷς ἂν ἁρ-
μόσαι τὸ ἐλεεῖσθαι δεῖν, ὑποφέρει δὲ δίκαις τὸν ἀλιτήριον,
οὐκ εὐθὺς καὶ κατὰ πόδα τῶν αἰτιαμάτων ἀκολουθούσης
ὀργῆς, προεισβαλούσης δὲ μᾶλλον μακρᾶς ἀνεξικακίας, ὡς
οἴεσθαί που τινὰς καὶ ἀφειδῆσαι λοιπὸν τῶν ἐπὶ τῆς γῆς
τὸν Θεόν. ἀντεξάγει δὴ οὖν ὁ Παῦλος, καὶ τοῖς ἐκεῖνα

1. ἐλεήσω ὃν ἂν ἐλεῶ om. A. 2. ἔσται διαβολῆς ἐκτὸς] διαβολῆς τυχὸν ἐκτὸς ἔσται A. 8. δὴ om. A. ὁ assumptum ex A. 9. καὶ assumptum ex A. 18. θέλει] ἂν θέλῃ A. 25. γὰρ pro τε A. ἂν ἁρμόσαι edidi post Migne. ἂν ἁρμόσῃ A. ἀναρμόσαι Ed. 26. τὸν ἀλιτήριον om. A. 27. πόδας A. τὰς τιμωρίας pro ἀκολουθούσης ὀργῆς A. Statim προλαβούσης A. 28. δὲ om. A. 29. μᾶλλον pro λοιπὸν A. τῆς om. A.

[37 M.]
λέγουσιν ἀντανίσταται, τοῦ λόγου τὴν δύναμιν ἐπαφεὶς τῷ προσώπῳ τῶν παρενηνεγμένων, Ἡσαῦ τε φημὶ καὶ μέντοι καὶ Φαραώ. ἔφη τοίνυν ὡς πρὸς ἑκάτερον τῶν ὠνομασμένων
Ὦ ἄνθρωπε, μενοῦνγε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ver. 20.
ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι Τί με ἐποίησας οὕτως; ἀποφαίνει μὲν γὰρ ὡς ἐκ παραδείγματος ἐναργοῦς, ὅτι παγχάλεπον τὸ θείοις κρίμασιν ἐπιτιμᾶν· εἰ γὰρ δή τις ἕλοιτο τὰ εἰκότα φρονεῖν, ἀναθήσει μὲν τῷ πάντα εἰδότι Θεῷ τὸ κρίνειν ἕκαστα καθ' ὃν ἂν αὐτὸς εἰδείη τρόπον, ἐνδοιάσει δὲ κατ' οὐδὲν ὡς ἔστιν ὅσιον ὅπερ ἂν ἕλοιτο δρᾶν, διαπλάττων ἐπ' ἐξουσίας τὰ ἐφ' ἑκάστου τυχόν. οὐκοῦν αἰτιᾶται λίαν τοὺς τοῖς θείοις νεύμασιν ἐνιέντας ὅλως τὸν βασανίζοντα νοῦν πότερον καλῶς ἢ οὐχ οὕτως ἔχει· ἔδει γάρ φησιν, ἀπομιμεῖσθαι μᾶλλον αὐτοὺς τὸ διὰ χειρὸς κεραμέως πλαττόμενον, καὶ μετὰ σιγῆς ὑπομένειν τὰ παρὰ Θεοῦ· οὐ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι Τί με ἐποίησας οὕτως;

Ἀλλ' ἴσως καὶ πρός γε τοῦτό τινες ἐκεῖνό φασιν Εἰ κερα-
μέως δίκην καθ' ὃν ἂν βούλοιτο τρόπον διαπλάττει Θεὸς, 38 M.
ὡς τὸ μὲν εἰς τιμὴν ποιῆσαι σκεῦος, τὸ δὲ εἰς ἀτιμίαν, πῶς ver. 21.
οὐχ ἀπαστισοῦν ἀναπείσει λόγος, τὸ γεγονὸς οἴεσθαι πάντη τε καὶ πάντως τοιοῦτον ἔχειν τὸν τρόπον καθ' ὃν καὶ πεποίηται; ὥστε ὁ μέν τις ἐστὶν εἰς ἀτιμίαν γεγονὼς, καὶ φύσιν τοιαύτην ἀπεκληρώσατο, πεποίηται δέ τις ἕτερος ἤγουν ἐξεγήγερται σκληρὸς, ἵνα ὡς αὐτός φησι διαγγελῇ τὸ ὄνομα αὐτοῦ ἐν πάσῃ τῇ γῇ· ποία τοίνυν ἔτι τοῖς πταίουσιν ἡ γραφή; γεγόνασι γὰρ εἰς τοῦτο.

Πρὸς δὴ τὰ τοιαῦτα φαίη τις ἂν, ὅτι μάλιστα μὲν οὐκ ἂν ἔχοιεν εἰπεῖν ὅτι φύσεων διαφορὰς ἐν τούτοις ἡμῖν ἡ τῶν νοημάτων δύναμις ὑπεσήμηνεν· οὐ γὰρ ἔφη πεποιῆσθαί τινας ὠμοὺς καὶ ἀπεσκληκότας, ἤγουν εἰς σκεύη τιμῆς τε καὶ ἀτιμίας, οὐδὲ φύσιν αὐτοῖς τὴν τοιαύτην ἐκνενέμηκεν

2. τε et μέντοι καὶ om. A. 8. ἀναδήσει A. τὸ] + γε A. 9. ἂν om. A. 13. πότερα A. 20. ἀναπείθει A. 21. τοιοῦτον A. τοῦτον Ed. 25. ἐστὶ pro ἔτι A. 30. τιμῆς τε καὶ om. A. 31. φύσει A.

[38 M.] ὅλως· ἐκεῖνο δὲ μᾶλλον ἀναπείθει φρονεῖν, ὅτι διαπλάττονταί τινες οἷά περ σκεύη κεραμικὰ, ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν· καὶ τόν γε τοῦ παραδείγματος τρόπον ἐκ προφητικῶν ἡμῖν πεπαίδευται λόγων· τίνα οὖν ἄρα τρόπον διαπλάττονταί τινες, οἷά περ ἐκ κεραμέως, οἱ μὲν εἰς τιμὴν οἱ δὲ εἰς ἀτιμίαν καὶ ἐπὶ ποίαις αἰτίαις, εἰδείη τις ἂν τοῖς Ἱερεμίου λόγοις ἐντυχών· γέγραπται δὲ οὕτως "Ἀνάστηθι (Hier. xviii. 2–10.) "καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ "τοὺς λόγους μου· καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, "καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων· καὶ ἔπεσε τὸ "ἀγγεῖον ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ· καὶ πάλιν "αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον "αὐτοῦ τοῦ ποιῆσαι· καὶ ἐγένετο, φησὶ, λόγος Κυρίου πρὸς "μὲ λέγων Εἰ ὡς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦ ποιῆ"σαι ὑμᾶς οἶκος Ἰσραήλ; ἰδοὺ ὡς πηλὸς τοῦ κεραμέως "ὑμεῖς ἐστε ἐν ταῖς χερσί μου· πέρας λαλήσω ἐπὶ ἔθνος ἢ "ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτούς· καὶ ἐπιστρέψουσι τὸ "ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω "περὶ τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς· καὶ "πέρας λαλήσω ἐπὶ ἔθνος καὶ ἐπὶ βασιλείαν τοῦ ἀνοικοδο"μεῖσθαι καὶ τοῦ καταφυτεύεσθαι· καὶ ποιήσουσι τὰ πονηρὰ "ἐναντίον μου τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς μου, καὶ μετα"νοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα τοῦ ποιῆσαι αὐτοῖς." ὁρᾷς πῶς πλάττονταί τινες εἰς τιμήν τε καὶ ἀτιμίαν, οὐ φύσιν λαχόντες τὴν ὧδε πεποιημένην, ἀλλ' οἷς ἂν δράσειαν τὴν ἰσοπαλῆ καὶ πρέπουσαν ἀντίδοσιν κομιζόμενοι; οὐκοῦν εἰ κολάζει τῶν ὅλων ὁ ποιητὴς τὸν ἐκ τρόπων ἀγαθῶν μετα-
39 M. φοιτῶντα πρὸς τὰ αἰσχίω, καὶ τὸν ἐκ τῶν αἰσχιόνων μεταχωροῦντα πρὸς τὰ βελτίω τιμαῖς στεφανοῖ, πῶς οὐκ ἀληθὲς

4. *πεποίηται* pro *πεπαίδευται* A. *τρόπον ἄρα* inverso ordine A. 8. *καὶ κατάβηθι* et *ἐκεῖ* assumpta ex A. *καὶ κατάβηθι* addidit (e Maii adnotatione) Migne. 10. *ἔπαισε* (sic) A. 11. *αὐτὸς* A. *αὐτὸ* Ed. 12. *ἐποίει* A. Statim *αὐτὸ* om. A. *ἐνώπιον αὐτοῦ*] *αὐτῷ* A. 13. *φησι* om. A. 18. *αὐτῶν*] *αὐτοῦ* A. 19–23. Ab *αὐτοῖς* ad *αὐτοῖς* transilit A. 25. *ἂν* om. A. 27. *μεταφοιτῶντα* post *αἰσχίω* transponit A.

[39 M.]

εἰπεῖν ὡς ἥκιστα μὲν φαῦλοι γεγόνασι κατὰ φύσιν τινὲς, ἤγουν διαπλάττονται δι' αὐτοῦ, σκεύη δὲ μᾶλλον γεγόνασιν ἀτιμίας, ὅτι καίτοι μετὸν αὐτοῖς εὐδοκιμεῖν ἑλέσθαι παρὰ Θεῷ, ἐθελούσιον ἠῤῥωστήκασι τὴν εἰς τὰ φαῦλα ῥοπήν;

Ἀλλ' ἐσκλήρυνεν αὐτὸς, φησὶ, τὴν καρδίαν Φαραώ· καὶ δὴ καὶ ἔφασκε πρὸς αὐτόν Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου· οὐκοῦν εἰ καὶ σκληρύνει τινὰς καὶ ἐξανίστησιν αὐτοὺς ὀργῆς ὄντας σκεύη, καὶ κατηρτίσθαι λεγόμενα εἰς ἀπώλειαν, τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; πῶς δὲ ἂν γέγονεν ἀγαθὸς ὁ παρ' αὐτοῦ σηληρυνόμενος;

Τί οὖν ἂν ἔχοιμι πρὸς ταῦτα εἰπεῖν; ἀπόχρη πρός γε τὸ εἰδέναι τὸ ἀληθὲς, τὸ διακεῖσθαί τε καὶ φρονεῖν ὡς οὐκ ἂν γένοιτό ποτε τῶν φαύλων δημιουργὸς ὁ Θεός· πάντα γὰρ ὅσα ἐποίησε, καλὰ λίαν. (Gen. i. 31.) εἰ μὲν οὖν οὐκ ἄνθρωπον εἶναι διατείνονται τὸν Αἰγύπτιον καὶ τῆς αὐτῆς ἡμῖν φύσεως μεταλαχεῖν, ἀποδεικνύντων, καὶ ἡμεῖς σιωπήσομεν· εἰ δὲ ἦν καθ' ἡμᾶς, ἢ τῆς θείας ἐναργῶς καταγορευόντων φωνῆς, ὡς οὐ τὸ καλὸν ὁρώσης καὶ τὸ μὴ οὕτως ἔχον· ἢ εἰ τοῦτο καταπεφρίκασιν, ὁμολογούντων εἶναι καλὰ τὰ παρ' αὐτοῦ πρὸς ὕπαρξιν παρενηνεγμένα· οὕτω γὰρ τὴν προαλεστάτην ἀποκρούσονται δόξαν. τὸ δέ Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε πρὸς τὸν Φαραὼ εἰρημένον, κατασημαίνει οὐ τὸ ἔκτισα ἢ δεδημιούργηκα, κέκληκα δὲ μᾶλλον εἰς τὸ ἐθελῆσαι δεῖν ἀντιπράττειν ἐμοὶ, καὶ οὐκ ἐν ἀρχῇ τῆς γεννήσεως, ἀλλ' ὅτε Μωυσῆς ἀπεστέλλετο λυτρωσόμενος τὸν Ἰσραήλ· καὶ ἐπὶ ποίοις τισὶν, ἢ καὶ ὅτου χάριν, ὁ πάνσοφος ἡμῖν διατρανώσει

1. κατὰ φύσιν γεγόνασι φαῦλοι inverso ordine A. 2. αὐτοῦ A. αὐτοὺς Ed. 3. μετὸν αὐτοῖς A. μετὰ τὸ αὐτοὺς Ed. 4. ῥοπήν] τιμήν A. 5. φησὶν αὐτὸς inverso ordine A. 8. αὐτοὺς A. αὐτὸς Ed. καὶ κατηρτίσθαι A. κεκατηρτίσθαι Ed. [κε]κατηρτίσθαι Migne. 10. δὲ ἂν] δ' ἂν A. 11. σκληρυνόμενος A. σκληρούμενος Ed. 12. ἂν ἔχοιμι] ἔχομεν A. 14. ποτε et ὁ θεὸς om. A. 16. φύσεως A. φύσεως [μὴ] Ed. 19. τοιοῦτον pro οὕτως ἔχον A. πεφρίκασιν A. 21. προβλεστάτην (πε superscr.) (sic) A. 24. θελῆσαι (bis citans) A. et ita Migne. 26. καὶ ἐπὶ ποίοις] ἐπὶ ποίοις δὲ A. 27. μέγας pro πάνσοφος A.

[39 M.] Παῦλος· *θέλων γάρ φησιν ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ τὰ ἑξῆς·* πεπλάνητο ἡ σύμπασα γῆ κατά γε τοὺς ἄνωθεν ἔτι καιρούς· οἱ μὲν γὰρ τῇ κτίσει λελατρεύκασιν, οἱ δὲ τὸ δοκοῦν ἐποιοῦντο σέβας· κέκληται δὲ μόλις εἰς ἐπίγνωσιν Ἀβραὰμ, ἀνέφυ τε οὕτω τὸ ἐξ αὐτοῦ γένος, ταῖς εἰς Θεὸν λατρείαις προσκείμενον.

Ἐπειδὴ δὲ καὶ αὐτοὶ κατέβησαν εἰς Αἴγυπτον, εἶτα χρόνους ἐν αὐτῇ διατετρίφασι μακροὺς, κατώλισθον εἰς ἀπάτην, καὶ τοῖς ἐγχωρίοις λελατρεύκασι θεοῖς· ἀλλ' ἐμέμνητο Θεὸς τῶν τοῖς πατράσιν ἐπηγγελμένων· καὶ προκεχείριστο μὲν
40 M. εἰς ἀποστολὴν ὁ Μωυσῆς, ἵνα τῆς δουλείας ἀπολύσῃ τὸν Ἰσραήλ· ἀλλ' ἦν ἀναγκαῖον καὶ τοῖς καλουμένοις εἰς τὴν ὑπ' αὐτῷ λατρείαν καὶ πᾶσι τοῖς ἐπὶ γῆς, τὸ μὴ πυθέσθαι μόνον ὅτι πεφανέρωται διὰ χρόνων μακρῶν ὁ τῶν Ἑβραίων Θεὸς, ἀλλὰ γὰρ καὶ ταῖς ὑπεράγαν τερατουργίαις προσεμπεδοῦσθαι εἰς τὴν ὑπ' αὐτῷ πίστιν καὶ δόξαν, ὅτι μὴ κατὰ τοὺς ἄλλους ἐστὶ θεοὺς ἄφωνός τε καὶ ἀναλκής· πηδαλιουχεῖ δὲ μᾶλλον τὸ σύμπαν αὐτὸς, καὶ ὅτι τοῖς ἀντιπράττουσι τοῖς αὐτοῦ νεύμασι κατασκήπτουσιν ὀργαί. ἀλλ' ἔδει πάλιν τερατουργεῖν ἐθέλοντα τὸν Θεὸν εὐαφόρμως ὁρᾶσθαι πρὸς τοῦτο ἰόντα· ἐξεγήγερται τοίνυν ὁ Φαραὼ πρὸς ἀντίστασιν οἰκονομικῶς, καὶ κατεσκληρύνετο τῆς θείας δυνάμεως· ταύτῃτοι ἐκολάζετο οὐκ ἀδίκως· ἀνόσιός τε γὰρ ἦν καὶ εἰδωλολάτρης, κατῃκίζετό τε πηλῷ καὶ πλινθείᾳ τὸν Ἰσραὴλ, καὶ μισθὸν αὐτοῖς ἐπήρτησε πόνον· διὸ καὶ σκεῦος ὀργῆς κεχρημάτικεν ἀναγκαίως, καὶ κατήρτιστο εἰς ἀπώλειαν, τουτέστιν εἰς τοῦτο φαυλότητος διήλασε τρόπων, ὡς σκεῦος εἶναι λοιπὸν ὀργῆς τε καὶ ἀπωλείας. τούτῳ Θεὸς προσεχρήσατο πρὸς ἔνδειξιν τῆς ἐνούσης ἰσχύος αὐτῷ, *ἵνα διαγγελῇ τὸ ὄνομα* αὐτοῦ *ἐν πάσῃ τῇ γῇ*, καὶ ἵνα παθὼν αὐτὸς ὁρῷτο τοῦ

1. ὁ Θεὸς om. A. 2. πεπλάνητο] πεπλάνηται γὰρ A. 13. ὑπ' αὐτὸν A. 14. ὁ assumptum ex A. 15. ἄγαν A. Statim θαυματουργίαις A. 16. ὑπ' αὐτὸν A. ἐπ' αὐτῷ Migne. 17. ἄναλκις A. 24. κατήκιζε τε A. τῷ πηλῷ καὶ τῇ A. 25. ἐπήρτισε A. 30. παθὼν A. παθεῖν Ed.

[40 M.]

παθεῖν ἄξιος· ᾧ γε τὸ παθεῖν ὠφείλετο διὰ πρώτας ἁμαρτίας καὶ εἰ μὴ προσκέκρουκε διὰ τῶν δευτέρων. οὐκοῦν λελύσθω πᾶς μῶμος καὶ φλυαρία κατὰ Θεοῦ· θέλων γὰρ ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ἵνα ὠφελήσῃ σκεύη ἐλέους, τουτέστι τοὺς ἠλεημένους διὰ πίστεως· κεκλήμεθα γὰρ οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν.

Ὡς καὶ ἐν τῷ Ὠσηὲ λέγει. 25

Ἀλλὰ καὶ οἱ τῶν εἰδώλων θεραπευταί, οὐκ εἰδότες τὸν φύσει καὶ ἀληθῶς Θεόν, οὐκ ἦμεν αὐτοῦ λαός· ἀλλ' ἠλεήθημεν διὰ πίστεως, καὶ ὑπ' αὐτὸν γεγόναμεν, καὶ κεκλήμεθα διὰ χάριτος, δεδικαιώμεθά τε καὶ ἡγιάσμεθα διὰ Χριστοῦ.

Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης. 27

Οὐκοῦν κἂν πολλοὶ εἶεν ὡς ἡ ψάμμος ὁ Ἰσραήλ, τὸ κατάλειμμα σωθήσεται· τουτέστιν, οἱ διὰ πίστεως τῆς εἰς Χριστὸν δεδικαιωμένοι· τοῦτο δὲ γέγονεν, αὐτοὺς τοῦ Θεοῦ κατηλεήσαντος.

Λόγον γὰρ συντελῶν καὶ συντέμνων. 28

Ἔσωσε δέ φησιν λόγον συντελῶν καὶ συντέμνων, τουτέστιν εὐφυὲς καὶ σύντομον καὶ ἵν' οὕτως εἴπω συντετμημένον λόγιον ἡμῖν ἀποφήνας τὸ εὐαγγελικὸν κήρυγμα. ὁ γὰρ νόμος καὶ οἱ προφῆται διὰ πολλοῦ κύκλου λόγων μόλις ἡμῖν τὰς τῶν λεγομένων ἐννοίας διὰ τοῦ γράμματος παριστῶσι· τὸ

1. ᾧ γε A. ὥστε Ed. 3. λόγος pro μῶμος A. κατὰ] + τοῦ A. 4. ἐν om. A. 8—p. 234. 2, Horum trium scholiorum duo priora ex A p. 384, A p. 386 exhibui; tertium vero quum Codicem perlustrans praetergressus ipse, e Crameri editione p. 360. In versum sequentem scholion διὰ δὲ τούτων—δεικνύουσιν sub nomine κυρίλλου exhibet A pp. 391 sqq., mendose autem ut videtur: in Oecumenii Catena Photio est tributum.

[40 M.] δὲ κήρυγμα τὸ εὐαγγελικὸν ἁπλοῦν τέ ἐστι καὶ λόγος συντετμημένος.

31 Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης.

Ἀποδιδοὺς τοίνυν τὰς αἰτίας τοῦ μὴ πάντας σεσῶσθαι Ἰουδαίους, εὐθὺς ἐπιπλέκει τῷ λόγῳ θαῦμα, καί φησιν Ὦ παραδόξου πράγματος· ἡ τῶν πλανωμένων πληθὺς μὴ ἔχουσα σκοπὸν ὅλως ἀγαθοεργῆσαι, δεδικαίωται, ὁ δὲ Ἰσραὴλ, καίτοι τῷ διὰ Μωσέως νόμῳ πρὸς δικαιοσύνην παιδαγωγούμενος, διήμαρτε τῆς ἐλπίδος καὶ ἀμέτοχος γέγονε τῆς εἰς τοῦτο δωρεᾶς. τίς οὖν ἡ αἰτία, σαφής· οὐ γὰρ προσήκαντο τὴν διὰ πίστεως σωτηρίαν καὶ τὴν ἐν Χριστῷ δικαίωσιν, ἐνόμισαν δὲ αὐτοῖς ἀρκεῖν τὰ ὡς ἐν σκιαῖς αὐχήματα.

33 Λίθον προσκόμματος.

Οὐ γὰρ δήπου φαμὲν ὅτι διὰ τοῦτο ἐτέθη Χριστὸς ἐν τῷ Ἰσραὴλ, ἀλλ' ἐπειδὴ τοῦτο προέγνωστο τῷ Θεῷ, τὸ ἐσόμενον προαναπεφώνηκεν ἀναγκαίως, ὡς κείσεται μὲν ὄλισθος εἰς τὰ θεμέλια Σιὼν, μέλλουσι δὲ περιπίπτειν αὐτῷ τῶν ἀσυνέτων τινὲς, καὶ τοῦτο πάσχειν ἐξ ἀπειθείας. ἐποίειτο δὲ τὴν προαγόρευσιν χρησίμως, οὐχ ἵνα προσκόψειαν, ἀλλ' ἵνα προεγνωκότες ἀμείνους γένοιντο τοῦ κακοῦ. οὐκοῦν τέθειται μὲν ὁ Χριστὸς ὡς λίθος τίμιος, πλὴν τοῖς μὲν ἐξ ἀπιστίας προσκόπτουσιν, ὄλεθρος ἦν ἡ ζημία· τοῖς δὲ πεπιστευκόσι, ζωὴ καὶ δικαίωσις τὸ κέρδος.

Κεφ. ι'. 2 Μαρτυρῶ γὰρ αὐτοῖς.

Μαρτυρεῖ τοίνυν αὐτοῖς τὸν εἰς Θεὸν ζῆλον· πλὴν ἐλέγχει πεπλανημένους· ὅτι δέον θαυμάζειν τὸν Χριστὸν ἐξ ὧν

3. Hoc scholion suppeditat A. p. 396, partem autem posteriorem, ἀπαιτεῖς—ἄνθρωπος ὢν (vide Crameri Cat. 364. 27—365. 6) quum a S. Cyrilli stilo abhorret, inque Oecumenii Catena Photio fere tribuitur, omisi. 14. Hoc scholion nobis suppeditat A. p. 400. 25. Hoc scholion nobis suppeditat A. p. 405.

[40 M.]

ἐποίει ὡς φύσει Θεὸν, οἱ δὲ ἔλεγον ὅτι "Περὶ καλοῦ ἔργου S. Joan. x. 33. "οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρω-"πος ὢν ποιεῖς σεαυτὸν Θεόν·" ἢ οὕτως. ἠγνοήκασι μὲν τὴν ἐκ Θεοῦ δικαιοσύνην, τουτέστι Χριστὸν, ἤτοι τὴν διὰ πίστεως τὴν εἰς αὐτόν. οἰόμενοι δὲ τῷ διὰ Μωσέως συνασπίζειν νόμῳ, μεμενήκασιν ἀπειθεῖς· οὐ ζητήσαντες τὸν υἱὸν τὸν ἐλευθεροῦν ἰσχύοντα, τὸν δικαιοῦντα τὸν ἀσεβῆ, καὶ Ib. viii. 36. τὴν δυσκατόρθωτον τοῦ νόμου δικαιοσύνην οἰκονομικῶς συστέλλοντα, ἵνα δυσχερείας ἀπαλλάξῃ καὶ τριβῆς.

Τέλος γὰρ νόμου Χριστός. 4

Προεισκεκόμισται τοίνυν ὁ νόμος, ἐσόμενος τοῖς ἀρχαίοις παιδαγωγὸς ἐπὶ τὸ τοῦ Χριστοῦ μυστήριον, καὶ δι' αἰνιγμάτων αὐτοῖς ὑποφαίνων τὴν ἀλήθειαν. οὕτω γὰρ εἶναι διοριζόμεθα πλήρωμα νόμου καὶ προφητῶν τὸν Χριστὸν, καὶ μάλα ὀρθῶς. ἢ οὐχὶ παντὸς αἰνίγματος ἀσαφοῦς νοοῖτ' ἂν εἰκότως πλήρωμα ὑπάρχειν τὸ ἀληθές; καίτοι πῶς ἂν ἐνδοιάσειέ τις; οὐκοῦν ἀναίρεσιν τῶν διὰ Μωσέως ποιεῖται νόμων ἡ πρός γε τὸ ἀληθὲς τῶν ἐν σκιαῖς μεταφοίτησις, ἀλλ' ἐκφανεστέραν αὐτῶν καθίστησι τὴν διάνοιαν.

Μετεῤῥυηκότων λοιπὸν εἰς ἀλήθειαν τῶν πραγμάτων, καὶ τῶν ἐν τύποις καὶ αἰνίγμασι τὴν εἰς τὰ ἀμείνω λαβόντων μεταβολὴν, οὐ καταλελύσθαι φαμὲν τὸν νόμον, ἐκπεπεράνθαι δὲ μᾶλλον ἐπὶ καιροῦ, καθ' ὃν ἡμῖν ἐπέλαμψεν ἡ ἀλήθεια, τουτέστι, Χριστός. τέλος γὰρ νόμου καὶ προφητῶν ὁ Χριστὸς, ὃς οὐκ ἂν διαψεύσαιτο λέγων "Οὐκ ἦλθον καταλῦσαι S. Matth. v. 17. "τὸν νόμον ἀλλὰ πληρῶσαι." ὥσπερ γὰρ τὰς ἐν τοῖς πίναξι προανατυπουμένας σκιὰς, τὸ τῶν χρωμάτων πολυειδὲς ἐν καιρῷ προσενηνεγμένον, ἥκιστα μὲν ἀναιρεῖ· μεθίστησι δὲ μᾶλλον εἰς ὄψιν ἐναργεστέραν, κατὰ τὸν ἴσον τουτωῒ τρόπον, οὐκ ἀνατετράφθαι φαμὲν τὰς τοῦ νόμου σκιὰς, ἐκπεπεράνθαι δὲ μᾶλλον ὡς ἐν προόδῳ τῇ πρὸς ἀλήθειαν.

10. Hoc scholion nobis suppeditat A. p. 408. 20. Hoc scholion nobis suppeditat A. p. 409.

[40 M.]

5 Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου κ.τ.λ.

Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου φησὶν ὁ ποιήσας ἄνθρωπος ζήσεται ἐν αὐτῇ· ἀλλ' ἣν οὐδεὶς παντελῶς ὁ Ps. xviii. 13. *ἀμωμήτως αὐτὴν κατορθῶσαι δυνάμενος· "Τίς γὰρ συνήσει "παραπτώματα;" οὐκοῦν ἀμείνων ἡ δικαιοῦσα χάρις καὶ γραφῆς ἡμᾶς ἀπαλλάττουσα τῆς ἐν νόμῳ.*

6 Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει.

Ὁρίζεται χρησίμως καὶ ὅπως ἂν γένοιτο πρὸς ἡμῶν ἡ πίστις, εἰ τὸ ἀμώμητον ἔχοι παρὰ Θεῷ καὶ τό γε δὴ λίαν εὖ πεποιῆσθαι δοκεῖν· τὸ μὲν γὰρ ἐνδοιάζειν ὅλως καὶ καταδονεῖσθαι φιλεῖν εἰς ἀδρανῆ διψυχίαν, ἀπόβλητον παντελῶς· περιττὸν δὲ ἴσως καὶ τῶν ὅτι μάλιστα σφαλερωτάτων τὸ χρῆναι περιεργάζεσθαι τὰ καὶ λόγου πέρα παντὸς, νοῦ τε ἐστὶ τοῦ καθ' ἡμᾶς ἐν ἀμείνοσι· πῶς γὰρ ἂν εἶεν ἐμφανῆ τὰ ἀποῤῥήτως παρὰ Θεοῦ τεχνουργούμενα; καὶ μὴν καὶ καρδίας ὀφθαλμὸς τίς ἂν εἴη τοσοῦτος ὡς καταθρῆσαι δύνασθαι Θεὸν, μᾶλλον δὲ τίς ἄρα συνήσει, κἂν εἴ τις ἕλοιτο λέγειν καὶ ἀφηγοῖτο τὰ πολὺ λίαν ὑπὲρ ἡμᾶς; ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς Νικοδήμῳ ποτὲ τοὺς περὶ τῆς πνευματικῆς S. Joan. iii. 3. *ἀναγεννήσεως παρετίθει λόγους καὶ δὴ καὶ ἔφασκεν "Ἀμὴν* Ib. 5. *"ἀμὴν λέγω ὑμῖν ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται "εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ·" [εἶτα τούτοις προσετίθει τὰ ἐφεξῆς]. συνιέντος δὲ αὐτοῦ παντελῶς οὐδὲν, τότε δὴ τότε Χριστὸς τῆς τῶν ἐννοιῶν ἰσχνότητος ὡς ἀπωτάτω* Ib. 12. *τιθεὶς τῆς ἀνθρώπου διανοίας τὸ πάχος "Εἰ τὰ ἐπίγεια εἶπον*

6. Sunt in A duo scholia nempe p. 417 *ὅθεν—μελετάτω σύνεσιν* Cyrillo tributum (vide Crameri Cat. p. 375) non tamen Cyrillum auctorem habens: p. 418 *σὺ δέ μοι σκόπει—σωθήσεται* quae quum in Thesauro 271 b c partim extat, hic praetermitto. 7—p. 237, 10. Haec exhibet parte Latina p. 27 Maius qui haec praemittit: Totum hunc Cyrilli tractum suppeditavit nobis S. Nicephorus Constantinopolitanus in apologetico majore pro ss. imaginibus quem alio volumine nos edidimus [Bibl. Patr. Nova v. 137]. En autem graeca Cyrilli verba *Τοῦ ἁγίου Κυρίλλου ἀλεξανδρείας ἐκ τῆς ἑρμηνείας τῆς πρὸς ῥωμαίους ἐπιστολὴν εἰς τὸ ῥητόν Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει.*

[40 M.] "ὑμῖν, φησὶ, καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπου"ράνια πιστεύσετε;" προσετίθει δὲ τούτοις "Ἀμὴν ἀμὴν S. Joan. iii. 11. "λέγω ὑμῖν ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυ"ροῦμεν καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει." οὐκοῦν Cf. ib. 32. ἀβασάνιστα τὰ ὑπὲρ ἡμᾶς· εἰ γάρ ἐστιν ἀληθὲς ὅτι περ "τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ βίας," κατὰ τὸ γεγραμμένον, Sap. ix. 16. πῶς οὐκ ἀναγκαῖον ἐννοεῖν, ὡς ἔν γε τοῖς ὑπὲρ λόγον, χρησιμωτάτη λίαν ἡ πίστις, οὐκ ἀκολουθούσης ἐρεύνης, οὐ ζητήσεως εἰκαίας ἐπενηνεγμένης; συνέσει γὰρ τὰ τοιάδε τῶν πραγμάτων τιμᾶται λαμπρῶς.

Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται κ.τ.λ. 11 sqq.

Μὴ ποιείσθω ἴδιον ἀγαθὸν τὴν διὰ πίστεως σωτηρίαν ὁ Ἰσραήλ· πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηταί φησι τὸ ὄνομα Κυρίου ver. 13. σωθήσεται, κἂν ἰουδαῖος ᾖ κἂν ἕλλην, κἂν δοῦλος κἂν ἐλεύθερος· ἀδιαφόρως σώζει ὁ Θεὸς τῶν ὅλων, αὐτοῦ γὰρ **41 M.** ἅπαντα· οὕτω φαμὲν ἀνακεφαλαιοῦσθαι τὰ πάντα ἐν τῷ Eph. i. 10. Χριστῷ.

Μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. Κεφ. ια΄.

Ἐμφρόνως ὁ Παῦλος καίτοι παθόντα τὸν σκοτισμὸν οὐκ ἐᾷ μειζόνως κατασκληρύνεσθαι τὸν Ἰσραὴλ ταῖς εἰς ἅπαν ἀπογνώσεσι, μέτεισι δὲ ὥσπερ ἐντέχνως ταῖς χρηστοεπείαις. ἄρτι μὲν γὰρ ὡς ἀπειθῆ κατῃτιᾶτο τὸν Ἰσραήλ· ἐλπίδος γεμὴν τῆς ἄνωθεν οὐκ ἀπογυμνοῖ, οὔτε μὴν ὁλοτρόπως τῆς πρὸς Θεὸν οἰκειότητος ἐξωσθῆναί φησι. καὶ σαφῆ τοῦ πράγματος ποιεῖται τὴν ἀπόδειξιν, ἑαυτὸν παραθεὶς ὄντα Ἰσραηλίτην καὶ ἐκ σπέρματος Ἀβραάμ, εὐφυέστατά τε καὶ Θεοῦ λαὸν ἀποκαλῶν ἔτι, καὶ προστιθεὶς τό Μὴ γένοιτο τοῖς περὶ τοῦ ἀπεῶσθαι λόγοις. ταῦτα δὲ ἦν οἱονεὶ περισαίνοντος τοὺς

12. Inc. Μὴ τοίνυν ποιείτω ἴδιον A. 13. φησι om. A. 14. κἂν δοῦλος κἂν ἐλεύθερος om. A. 16. τῷ om. A. 19. Inc. Ἐμφρόνως τοίνυν + A. 21. εὐτέχνως A. 24. σαφῶς A. 25. τὴν om. A. 26. τε om. A. 28. ἀπῶσθαι A.

[41 M.] ἀπειθεῖν ἑλομένους, καὶ θωπικῶς ὑποτρέχοντος, καὶ εἰς ἕξιν
αὐτοὺς ἀποφέροντος τὴν εὐσεβῆ καὶ εὐήνιον. εἴπερ οὖν ἐστιν
ἐναργὲς ὡς κέκληται πρὸς ἀποστολὴν αὐτὸς, τέθειται δὲ καὶ
Cf. 1 Tim. ii. 7. τῶν τοῦ Σωτῆρος μυστηρίων ἱερουργὸς, εἰς τὰ ἔθνη κήρυξ
καὶ ἀπόστολος, καίτοι ὑπάρχων ἐξ Ἰσραὴλ, πρόδηλον ὡς
οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.

2 sqq. Ἢ οὐκ οἴδατε ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή;

Ἐπικαιρότατα καθάπερ εἰκόνα τινὰ τοῦ συμβεβηκότος τῷ
Ἰσραὴλ παρακομίζει τὴν ἱστορίαν τὴν ἐπὶ τῷ Ἠλιοῦ· ἔστι
γὰρ ὡς ἐξ ὁμοιότητος τῶν τὸ τηνικάδε πραγμάτων κατιδεῖν
εὐκόλως, ὡς αὐτὸς ἐφ' ἑαυτῷ πεπαροίνηκεν ὁ Ἰσραήλ· βασι-
λεύοντος μὲν γὰρ Ἀχαὰβ τῆς Σαμαρείας, ἐκτόπως ἐθρη-
σκεύετο τὰ χειρότμητα παρὰ τοῦ Ἰσραὴλ, θυσίαι τε ἦσαν
καὶ τεμένη πανταχοῦ· ἐδεδίεσαν δὲ πάντως οἱ Θεῷ προσκεί-
μενοι καὶ δύσοιστον οὕτω τὴν δίωξιν ὑπομεμενήκασιν, ὡς καὶ
Cf. 3 Reg. xviii. 13. ἐν σπηλαίοις καὶ πετρῶν καταδύσεσι κρύπτεσθαι προφήτας,
ὅτε καὶ αὐτὸς Ἠλίας ἀνέθει μὲν εἰς βαθεῖαν ἔρημον, προσέ-
ver. 3. πιπτε δὲ τῷ Θεῷ λέγων Τὰ θυσιαστήριά σου κατέσκαψαν,
τοὺς προφήτας σου ἀπέκτειναν, κἀγὼ ὑπελείφθην μόνος, καὶ
ver. 4. ζητοῦσι τὴν ψυχήν μου· ἀντήκουε δὲ πρὸς τοῦτο εὐθύς Κατέ-
λιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν
γόνυ τῇ Βάαλ. ἀλλ' ὥσπερ τότε Θεὸς μὲν οὐκ ἦν ὁ ταῖς
οὕτω δειναῖς ἀνοσιουργίαις ἐνιεὶς τὸν Ἰσραὴλ, ἰδίαις δὲ μᾶλ-
λον ἀπονοίαις χρώμενοι κατώλισθον αὐτοὶ, οὕτω δὴ πάλιν
προθέντος ἅπασι τοῦ Θεοῦ καὶ Πατρὸς τὴν διὰ Χριστὸν
42 M. σωτηρίαν, διωθουμένου δὲ παντελῶς οὐδένα, κατώλισθον
ἐθελοντὶ πρὸς ἀπόστασιν, παρωσάμενοι τὸν λυτρωτήν. οὐκ-

8. Inc. Ὡς ἁρμοδιώτατα τοιγαροῦν καθάπερ εἰρηκότα (sic) τινὰ τοῦ A. 9. τῷ om. A. 10. τὸ assumptum ex A. 12. εὐκόλως pro ἐκτόπως A. 14. πάντως A. πάντες Ed. 15. δίωξιν] δόξαν (sic) A. 17. ἀνέθει A. ἀνήχθη Ed. Statim μὲν assumptum ex A. 19. τοὺς] καὶ τοὺς A. κατελείφθην A. 20. μου] + ἀπ' ἐμοῦ A. 22. τῇ] τῷ Migne. ὁ ταῖς assumptum ex A. 26. τε pro δὲ A. 27. προσαπωσάμενοι A.

[42 M.]

οὖν οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, προὔθηκε γὰρ, ὡς ἔφην, τὸ εἴπερ ἕλοιντο μεταλαχεῖν τῆς διὰ Χριστοῦ σωτηρίας.

Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων κ.τ.λ. 6

Εἰ δὲ χάριτί φησιν οὐκ ἔτι ἐξ ἔργων, ἐπεὶ ἡ χάρις οὐκ ἔτι γίνεται χάρις· ἔνθα, φησὶν, ἂν οἴοιτό τις ἐξ ἔργων εὐδοκιμεῖν, ἐκεῖ δὴ πάντως εἰκαῖον ἔσται καὶ περιττὸν τὸ τῆς χάριτος ὄνομά τε καὶ χρῆμα· "Τῷ γὰρ ἐργαζομένῳ, φησὶν, (Supra iv. 4.) "ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα·" οὐκοῦν εἰ ἐξ ἔργων ἡ χάρις, οὐκ ἔτι γίνεται χάρις.

Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν. 7

Ἔφη μὲν ὅτι "οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ·" (Supra ver. 2.) ἐπειδὴ δὲ ἦν εἰκὸς ἀνταναστῆναί τινας, ἐκεῖνό που πάντως προϊσχομένους καὶ λέγοντας Καίτοι πῶς οὐκ ἀπώσατο τὸν λαὸν ὁ Θεὸς, εἴπερ ἀπώλισθεν ὁ Ἰσραὴλ, εἰ καὶ μὴ εἰς ἅπαν καὶ ὁλοτελῶς, ἀλλ' οὖν ὡς ἐν μοίρᾳ; λεῖμμα γὰρ σέσωσται, (Ib. 5.) καὶ τοῦτο κατ' ἐκλογήν· ὑπαντᾷ δὲ πάλιν καὶ μάλα ἐμφρόνως καί φησι Τί οὖν; τουτέστι, τί δὴ πρὸς ταῦτά φημι; Ὃ ἐπιζητεῖ Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν· ἐπεζήτει μὲν γὰρ ὁ Ἰσραὴλ τὴν ἐκ νόμου δικαίωσιν· εἶτα πῶς ἦν δικαιοῦσθαι αὐτὸν, φησὶ, τετελειωκότος οὐδένα τοῦ νόμου; οὐκοῦν τὴν διὰ τύπου δικαίωσιν ἐπεζήτει μὲν ὁ Ἰσραὴλ, οὐκ ἐπέτυχε δέ· ἀλλ' οἵ γε ἀπολέγδην καὶ τῶν ἄλλων ἐξῃρημένοι διὰ τὸ εὐπειθὲς ἐπέτυχον· δεδικαίωνται γὰρ διὰ πίστεως· πεπώρωνται δὲ οἱ λοιποὶ, τουτέστιν οἱ σκληροί τε καὶ ἀνουθέτητοι.

1. προσέθηκε A. 3. σωτηρίας] + χρηματισμὸς δέ ἐστιν ὁ τοῦ Θεοῦ λόγος A. 12. Inc. Ἔφη A. 14. τὸν λαὸν ὁ Θεὸς] ὁ Θεὸς τὸν λαὸν αὐτοῦ A. 15. ὁ alt. om. A. 16. καὶ om. A. 17. ὑπαντᾷ] ὑπ' αὐτοῦ (sic) A. Statim δὴ pro δὲ πάλιν A. 18. δὴ πρὸς ταῦτα] οὖν περὶ τούτου A. 20. ἐπιζητεῖ A. 21. αὐτὸν δικαιοῦσθαι inverso ordine A. 23. ἐπιζητεῖ A. 24. ἀπολογάδην A.

[42 M.]

9 Καὶ Δαβὶδ λέγει Γενηθήτω ἡ τράπεζα αὐτῶν κ.τ.λ.

Γενηθήτω φησὶν ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ τὰ ἑξῆς· παρακομίζει πρὸς ἀπόδειξιν ὧν εἶπε καὶ γράμμα προφητικὸν, οὐχ ἑνὸς ἀλλὰ δύο προφητῶν πρὸς σύστασιν, "ἵνα ἐπὶ στό- "ματος δύο καὶ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα." ἐπάρατος γὰρ καὶ μᾶλα ὀρθῶς γέγονεν αὐτῶν ἡ τράπεζα, τουτέστιν ἡ κακοξενία καὶ ἡ ὠμότης, ἣν ἐπὶ Χριστῷ πεποίηνται κατὰ τὸν τοῦ σταυροῦσθαι καιρόν· δεδιψηκότι γὰρ αὐτῷ προσεκόμισαν ὄξος χολῇ συμμιγές· διὰ τοῦτο καὶ ἐσκοτώθησαν τὸν νοῦν καὶ κάτω κεκύφασι μόνα φανταζόμενοι τὰ ἐπὶ γῆς.

S. Matth. xviii. 16.

Ib. xxvii. 34.

11 Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο.

Ἄγαμαί σε τῆς ἐπιεικείας, ὦ θεσπέσιε Παῦλε, μεταχειρίζῃ γὰρ εὐτεχνῶς τῆς οἰκονομίας τοὺς λόγους· οὐχὶ ταύτης ἕνεκα τῆς αἰτίας κεκλῆσθαι τὰ ἔθνη διατεινόμενος, ἵνα εἰς
43 M. ἅπαν ἀποπέσοι τῆς εἰς Θεὸν ἐλπίδος ὁ Ἰσραὴλ οἷά τινι λίθῳ περιπταίσαντες Χριστῷ, ἀλλ' ἵνα μᾶλλον τοὺς ἀδοκήτως εἰσδεδεγμένους παραζηλοῦντες, μεταμαθεῖν ἕλοιντο τὰ αἰσχίω, καὶ φρονεῖν ἄμεινον ἢ πρὶν, παραδέξαιντό τε οὕτω τὸν λυτρωτήν. παραστήσεται δὲ ὁ λόγος ὡς ἐν βραχεῖ παραδείγματι· παῖδες μὲν γὰρ ἔσθ' ὅτε μικροί τε καὶ ἄνηβοι, τὰς τοῖς ἔτι νηπίοις πρέπουσας εἰσδέχονται λύπας· εἶτα πατρὸς ἢ μητρὸς ἀποδραμόντες βραχὺ, ἀπροφάσιστον μὲν τῶν ὀμμάτων καταχέουσι δάκρυον, λυποῦσι δὲ οὐ μετρίως τοὺς γεγεννηκότας· φέρει γὰρ εἰς τοῦτο τῆς φυσικῆς φιλοστοργίας ὁ νόμος· καὶ δὴ τῆς μικροψυχίας καὶ εἰκαιότητος νηπιοπρεποῦς ἀφιστάντες εὐτέχνως, παιδίον ἁπλῶς τὸ παρατυχὸν ἁρπάζουσιν, αὐτῷ τε προσάγουσι τὰς παρὰ σφῶν τιμὰς, παραζηλοῦντες ἐκεῖνο καὶ οἷον κατερεθίζοντες εἰς

3. Inc. παρακομίζει A. 3–5. Haec παρακομίζει—ῥῆμα accesserunt ex A. 6. δὲ pro γὰρ καὶ A. 9, 10. διὰ—γῆς assumpta ex A. 12. Inc. ὡς ἄγαμαι A. 15. εἰς] πρὸς A. 16. περιπταίσας A. 20. τε assumptum ex A. 26. τὸ A. τε Ed. 27. αὐτῷ τε] καὶ τούτῳ A.

[43 M.]

ἐπιστροφὰς καὶ ἀγάπησιν τὴν ἐφ᾽ ἑαυτοῖς· τοιοῦτόν τι πεπράχθαι, καθάπερ ἐγὼ οἶμαι, καὶ ὁ θεσπέσιος ἔφη Παῦλος, ἀπογινώσκειν οὐκ ἐφιεὶς, καίτοι προσκεκρουκότα, τὸν Ἰσραήλ.

Εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου. 12

Εἰ γὰρ πεπλούτηκε, φησὶν, ὁ κόσμος τὴν πρὸς Θεὸν οἰκειότητα διά γε τὸ προσκροῦσαι τὸν Ἰσραὴλ καὶ, ἐπείπερ εἰσὶν ἐν ἐνδείᾳ φρενὸς ἀγαθῆς, προσελήφθη τὰ ἔθνη, τίς ἂν εἴη λοιπὸν ἡ πρόσληψις αὐτῶν, ἢ μονονουχὶ καὶ θανάτου λύσις καὶ ζωὴ ἐκ νεκρῶν; Infra ver. 15.

Εἴ πως παραζηλώσω μου τὴν σάρκα. 13, 14

Εἰς ὁμοψυχίαν οὖν καὶ εἰρήνην τοὺς ἐξ ἐθνῶν πιστοὺς καὶ Ἰουδαίων ἐφέλκεται, ἵνα μὴ ἐπαίρωνται, ἀλλὰ τῷ Θεῷ τὰ χαριστήρια ἀναθῶσιν ὡς ἀμνησικάκως χαρισαμένῳ τὴν τῶν παραπτωμάτων ἄφεσιν· δοξάζειν δέ φησι τὴν ἑαυτοῦ διακονίαν, οὐ δόξης εἰκαίας ἐπιθυμῶν· ἀλλ᾽ ἵνα φησὶ παραζηλώσω μου τὴν σάρκα· σάρκα δὲ πάλιν ἰδίαν ἐν τούτοις ὀνομάζει τὸν Ἰσραὴλ, ἤτοι τὸ κατὰ σάρκα γένος. ὅμοιον οὖν ὡσεὶ λέγοι τυχὸν Εὐκλεᾶ τε καὶ ἀξιόχρεων καὶ φιλαιτάτην Θεῷ τὴν ἀποστολὴν τὴν ἐμὴν εἶναι λέγω, καὶ τοῖς ἀνὰ πᾶσαν τὴν ὑφήλιον χρειωδεστάτην· οὐχ ἵνα ταῖς διακένοις τιμαῖς καὶ ἐκτόποις φιλοκομπίαις τὴν ἐμαυτοῦ φαίνοιμι στεφανῶν κεφαλὴν, ἀλλ᾽ ἵνα τὸ κατὰ σάρκα γένος ἀνασώσαιμι τὸ ἐμόν· μονονουχὶ διανύττων οἷά τινι κέντρῳ τῷ ζήλῳ, καὶ διανιστὰς εἰς τὸ ἑλέσθαι δεῖν τῇ διὰ Χριστοῦ χάριτι δικαιοῦσθαι.

1. ὑποστροφὰς A. 6. Inc. Εἰ A. φησὶν om. A. 7. γε om. A. ἐπείπερ—ἀγαθῆς] διὰ τὴν ἰουδαίων εὐήθειαν A. 9. λοιπὸν et καὶ om. A. 10. καὶ] + οἷον A. νεκρῶν] + καὶ ὅτι μέλλουσιν ἐπιστρέφειν ἐκ πολλῶν ἔστι θείων καταμαθεῖν λογίων A. 12–17. Haec Εἰς—τὴν σάρκα assumpta ex A. qui pergit σάρκα δὲ ὀνομάζει τόν. 19. τυχὸν et τε et ἀξιόχρεων καὶ om. A. 21. πᾶσιν ἀνθρώποις pro τοῖς—ὑφήλιον A. 23. τὸ—ἐμόν] σώσω τὸ κατὰ σάρκα μου γένος A. 24. μονονουχὶ et καὶ διανιστὰς et δεῖν om. A. 25. τῇ—δικαιοῦσθαι] τὴν διὰ χριστοῦ δικαιοῦσαν χάριν, οὓς συγγενεῖς καὶ ἀδελφοὺς ἀνωτέρω εἰπὼν, ἐνταῦθα σάρκα καλεῖ πλέον αὐτοὺς οἰκειούμενος A.

15 Εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;

Ἐπειδὴ οὖν ἐκ πίστεως ἢ τρόπων οὐκ ἦν ἐπαινέσαι τὸν Ἰσραὴλ, ἐπὶ τοὺς τῆς οἰκονομίας κεχώρηκε λόγους, καὶ τὴν ἐκείνων ἀπιστίαν πρόξενον τῷ κόσμῳ γεγενῆσθαί φησι τῆς πρὸς Θεὸν οἰκειότητος· καὶ πειρᾶται λέγειν ὅτι δι' ὧν προσκεκρούκασι, τάχα που καὶ εὐεργέται τοῦ κόσμου γεγόνασι, καὶ οἱονεὶ πεσόντας καὶ χαμαὶ κειμένους τοὺς Ἰουδαίους στεφανοῖ· ζωὴν γὰρ εἶναί φησιν ἐκ νεκρῶν τὴν πρόσληψιν αὐτῶν, εἴ γε ἐστὶν ἀψευδὲς, ὡς γέγονεν ἡ ἀποβολὴ αὐτῶν κόσμου καταλλαγή.

22 Ἐὰν ἐπιμείνῃς.

Εὐτέχνως ἄρα ὁ λόγος κατεσκευάσθη τῷ ἀποστόλῳ· ἐπανορθοῖ μὲν γὰρ τοῦ πρέποντος ἡμαρτηκότα τὸν Ἰσραὴλ, καὶ ἐπὶ τὰ λυσιτελῆ προτρέπεται, καὶ τῆς ἰδίας ἀντιποιεῖσθαι ῥίζης διὰ πίστεως τῆς ἐν Χριστῷ. λέγει δὲ τοὺς ἐξ ἐθνῶν τετιμῆσθαι παρὰ Θεοῦ καὶ προτρέπεται εἰς τὸ ἑδραῖον ἐν πίστει καὶ εὐσεβείᾳ· ἐὰν γὰρ οὕτω μείνῃς, κλάδος εὐγενὴς τῆς ἁγίας ἀπομένεις ῥίζης· εἰ δὲ ἀπειθήσεις, ἔξω καὶ αὐτὸς γενήσῃ τῆς ῥίζης.

25 sq. Ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται.

Ἐκεῖνο δὴ πάλιν ἄθρει καὶ κατασκέπτου· ἔφη μὲν γὰρ ὅτι τὸ πλήρωμα τῶν ἐθνῶν εἰσελεύσεται καὶ πᾶς Ἰσραὴλ σωθήσεται· ἀλλ' εἴ τις ἕλοιτο πρὸς τοῦτο εἰπεῖν Καίτοι πολλοὶ τῶν ἐθνῶν ἐν ἀπιστίᾳ τεθνήκασι, πῶς οὖν εἰσβέβηκε τὸ

1–11. Hoc scholion nobis suppeditat A p. 478, scholion sequens tanquam *κυρίλλου* exhibet A p. 486, Cyrillum tamen auctorem habere non videtur *σὺ μὲν γὰρ ἀγριέλαιος ἦς, τεθραμμένος ἐν ἀκαρπίᾳ, ἐνεκεντρίσθης δὲ εἰς καλλιέλαιον, εἰς τὸν τῶν κατὰ φύσιν κλάδων ἐμβιβασθεὶς τόπον· διὸ μὴ ὑψηλὰ φρόνει κατὰ τῶν ὠλισθηκότων, μηδὲ κατακαυχῶ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· οὐ γὰρ δύνασαι καυχᾶσθαι ἐπὶ σοῖς πατράσιν· οὐ γὰρ σὸς προπάτωρ ὁ ἀβραὰμ, ᾧ γέγονας υἱὸς διὰ πίστεως.* 12–20. Hoc scholion nobis suppeditat A p. 489. 23. Inc. *Ἀλλὰ γὰρ ἐκεῖνο πάλιν* A.

[43 M.] πλήρωμα τῶν ἐθνῶν; ἀλλ' οὐδὲ πᾶς Ἰσραὴλ σωθήσεται, εἴπερ ἐστὶν ἀληθὲς ὅτι τὸν τῆς ἀνομίας υἱὸν παραδέξονται οἱ Ἰου- 44 M. δαῖοι, τῆς εἰς Χριστὸν ἀγάπης ἠφειδηκότες· τοῦτο γὰρ αὐτὸς ἔφασκεν "Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ S. Joan. v. 43. "οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, "ἐκεῖνον λήψεσθε·" καὶ ὁ σοφώτατος Παῦλος "Ἀνθ' ὧν 2 Thess. ii. 10, 11. "τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι "αὐτούς· διὰ τοῦτο πέμπει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης "εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει." τί οὖν ἐροῦμεν πρὸς τοῦτο; φαμὲν, ὅτι Θεοῦ προθέντος ἀδιαφθονήτως ἅπασι τὴν διὰ πίστεως χάριν, ἐξείργοντος δὲ παντελῶς οὐδένα, πῶς οὐκ εἰσβέβηκε τὸ πλήρωμα τῶν ἐθνῶν, τό γε ἧκον εἰς νοῦν καὶ σκοπὸν τὸν τοῦ κεκληκότος; οὐ γὰρ εἴ τινες ἐθελοντὶ παρώλισθον καὶ τῆς δωρεᾶς διημαρτήκασι, ταύτῃτοι κατεψευσμένον τὸν τῆς γραφῆς εὑρήσομεν λόγον· ἐξὸν γὰρ αὐτοῖς τῶν ἅπαξ δεδωρημένων μεταλαχεῖν, ἐθελούσιον ἀνθ' ὅτου πεποίηνται τὴν ἀπόστασιν; οὐκοῦν ὅσον ἧκεν εἰς ἡμερότητα καὶ φιλανθρωπίαν τοῦ κεκληκότος καὶ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσβέβηκεν, σέσωσται δὲ καὶ ἅπας ὁ Ἰσραήλ· ἐπειδὴ δὲ ἀκαμπεῖς γεγόνασι, ταύτῃτοι καὶ πώρωσιν αὐτοῖς ἀπὸ μέρους γενέσθαι φησί.

Καθὼς γέγραπται Ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος. 26

Ὅτι μέλλει σώζεσθαι καὶ ὁ ἀπόβλητος Ἰσραὴλ κατὰ καιροὺς, βεβαιοῖ τὰ τῆς ἐλπίδος, λόγιον παρατιθεὶς ἱερόν· σωθήσεται γὰρ κατὰ καιροὺς ὁ Ἰσραὴλ, ἔσχατος καλούμενος μετὰ τὴν τῶν ἐξ ἐθνῶν κλῆσιν.

Ἐχθροὶ δι' ὑμᾶς. 28

Ὅσον μὲν οὖν ἧκεν εἰς τὸ κήρυγμα τὸ εὐαγγελικὸν,

2. οἱ om. A. 5. ἐν τῷ οἰκείῳ ὀνόματι A. 8. πέμψει A. sed cf. in S. Joan. 262 b. 9. οὖν om. A. 10. ἀφθονήτως A. 13. τὸν om. A. 15. εὑρήσουσι A. 27. Hoc scholion nobis suppeditat A p. 503.

[44 M.] γεγόνασιν ἐχθροί· προσκεκρούκασι γὰρ διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν· διὰ δὲ τὴν τῶν πατέρων εὐγένειαν οἱ ἐτιμήθησαν ὡς ἅγιοι καὶ θεοφιλεῖς, λογισθεῖεν ἂν εἶναι δι' ἐκείνους ἀγαπητοί· ὅμως ἐχθροὶ γεγόνασιν ἵνα τεθῇ εἰς παραζήλωσιν τοῖς ἀπιστήσασιν.

30 sqq. Ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπιθήσατε τῷ Θεῷ κ.τ.λ.

Ἶσα δείκνυσι τὰ ἀμφοῖν ἐγκλήματα, καὶ μιᾷ χάριτι τεθεραπευμένους τούς τε ἐξ ἐθνῶν καὶ τὸν Ἰσραήλ· κέκληται μὲν γὰρ κατὰ καιροὺς διὰ τοῦ Μωσέως ὁ Ἰσραὴλ, καὶ τῆς ἐν Αἰγύπτῳ ταλαιπωρίας ἐξῄρηται· ἀλλ' οἱ τῶν δαιμόνων θεραπευταὶ, τουτέστι τὰ ἔθνη, ὡς διά γε τῶν Αἰγυπτίων νοούμενα, τέως ἠπείθησαν τῷ ἐλέει τῶν ἐξ Ἰσραήλ· οὐ γὰρ πεπιστεύκασι ταῖς θεοσημίαις ταῖς διὰ Μωσέως, οὐκ ἤθελον εἰδέναι τὸν τῶν Ἑβραίων Θεόν. ἀλλ' ἐξεπέμπετο μὲν μόλις ἱερουργήσων κατὰ τὴν ἔρημον τῶν Ἰουδαίων ὁ δῆμος· εἴχοντο δὲ αὐτοὶ τῆς ἀρχαίας ἀπάτης, ἀλλὰ νῦν ἠλέηνται προσκεκρουκότος τοῦ Ἰσραὴλ, ὃς καὶ ἠπείθησε τῷ ἐλέει τῶν ἐθνῶν, ἵνα καὶ αὐτὸς ἐλεηθείη κατὰ καιρούς. ἴσα τοιγαροῦν, ὡς ἔφην, τὰ ἀμφοῖν ἐγκλήματα, τῆς τοῦ κατοικτείροντος ἐπικουρίας ἐν ἴσῳ τρόπῳ δεδεημένα· συγκεκλεῖσθαι δέ φησι τοὺς
45 M. πάντας εἰς ἀπείθειαν παρὰ Θεοῦ, ἵνα τοὺς πάντας ἐλεήσῃ. καὶ οὔ τι που τῆς θείας βουλῆς ἔργον γενέσθαι λογιούμεθα τὸ ἀπειθῆσαί τινας, ἵνα καὶ κατοικτείροιντο πεσόντες εἰς τοῦτο· συνέκλεισε δὲ μᾶλλον εἰς ἀπείθειαν, ἐνόχους ὄντας ἀποφαίνων τοῖς ἀπειθείας ἐγκλήμασι, καὶ οἷον ἐξ αὐτῶν τῶν πραγμάτων ἐληλεγμένους· ὡς εἰς τοῦτο λοιπὸν καθίκοντο δυσπραξίας, ὡς μονονοὺ δεῖσθαι τοῦ κατοικτείρεσθαί τε καὶ ἐλεεῖσθαι.

7. Inc. ὥστε ἴσα A. 17. καὶ om. A. 20. τόπῳ (sic) A. 25. τοῖς] + τῆς A. 26. καθίκοιντο A. 27. μονονοὺ A. μόνου Ed. 28. Est in A scholion in xii. 3. e Thes. 355 c depromptum. Sequebatur in Ed. schol. in cap. xiv. 6. quod, quum pleraque sunt D. Chrysostomi Hom. 26 ad loc. 703 c 704 a omisi.

[45 M.]

Οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ κ.τ.λ. Κεφ. ιδʹ. 14

Οἶδα καὶ πέπεισμαί φησιν ἐν Κυρίῳ Ἰησοῦ ὅτι οὐδὲν κοινὸν δι' ἑαυτοῦ, καὶ τὰ ἑξῆς. ἀξιόχρεως ὁ μάρτυς εἰδέναι καὶ πεπεῖσθαι διισχυριζόμενος· προσεπάγει δὲ τό Ἐν Κυρίῳ Ἰησοῦ πρὸς τὸ καὶ ἔτι μειζόνως ἐμπεδοῦσθαι τὸ ἀληθὲς, ἕπεσθαί τε τοῖς ἀκροωμένοις τὴν πίστιν ἐνδοιασμοῦ τινος δίχα· διαμέμνηται δὲ πάντως που εἰρηκότος τοῦ Χριστοῦ "Οὐ τὸ "εἰσπορευόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον·" (S. Matth. xv. 11.) καὶ ὅτι πᾶν ἔδεσμα χωρεῖ μὲν εἰς τὴν κοιλίαν, ἐκπέμπεται δὲ καὶ (Ib. 17.) εἰς ἀφεδρῶνα· καὶ τοῦτο φύσις αὐτῷ καὶ χρεία. οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἰδίαν φύσιν, κοινὸν ἢ βέβηλον οὐδὲν τῶν τελούντων εἰς τροφὰς, "ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύ-"ξεως·" (1 Tim. iv. 5.) μεμνήμεθα δὲ ὅτι καὶ πρὸς τὸ εἶναι παρενεγκὼν τὰ πάντα Θεὸς, εἶδεν φησὶν ὅτι "καλὰ λίαν," (Gen. i. 31.) καὶ εὐλόγησεν αὐτά. (Ib. 28.) ἐπαινοῦντος γεμὴν Θεοῦ καὶ μὴν καὶ ἀπηυλογηκότος τὰ ἴδια κτίσματα, τίς ὁ φάναι τολμῶν μολυσμοῦ καὶ βεβηλώσεως εἶναι πρόξενα, καὶ οὐκ αὐτοῦ ποιήσεται τὴν κατάῤῥησιν τοῦ παρενεγκόντος εἰς ὕπαρξιν; οὐκοῦν κοινὸν μὲν τῇ φύσει τῶν πεποιημένων παντελῶς οὐδέν· εἰ δὲ δή τις οἴοιτο κοινὸν εἶναί τι, κεκοίνωται διὰ τοῦτο καὶ νενόσηκεν αὐτὸς ὡς ἐν ἰδίᾳ γνώμῃ τὴν βεβήλωσιν· πάντα μὲν γὰρ καθαρὰ, κοινοῖ δὲ τὸν ἄπιστον ἡ ἐπί τισιν ὀλιγοπιστία, καὶ οὐκ αὐτά που πάντως ἃ νενόμικεν εἶναι κοινά. ὥσπερ γὰρ τοῖς τελείοις τὸν νοῦν εἷς ὁ φύσει Θεὸς καὶ οὐδεὶς ἐπ' αὐτῷ ἕτερος, ἀλλ' οὔτε εἴδωλόν τι ἐστὶν ἐν κόσμῳ, (1 Cor. viii. 4.) λελόγισται δὲ παρ' οὐδὲν καὶ τὸ εἰδωλόθυτον· ὁ γὰρ εἴδωλον οὐκ εἰδὼς, (46 M.) πῶς ἂν εἰδείη τὸ εἰδωλόθυτον; τοῖς γεμὴν οἰομένοις πολλοὺς εἶναι θεοὺς, ἔσται τι πάντως καὶ εἰδωλόθυτον· οὕτω τοῖς πεπιστευκόσιν ἀβέβηλά τε εἶναι καὶ καθαρὰ τὰ παρὰ Θεοῦ, κοινὸν μὲν τῇ φύσει παντελῶς οὐδέν· ἀνεῖται δὲ πάντως ἐπ'

3. Inc. Ἀξιόχρεως μὲν οὖν ὁ A. 7. τοῦ om. A. 15. μὴν alt.] δὴ A. ηὐλογηκότος A. ἐπηυλογηκότος emendat (forte haud male) Migne. 17. πρόξενα] τι πρόξενον A. 18. προενεγκόντος A.

[46 M.] ἐξουσίας τῶν ἐδωδίμων ἡ χρῆσις· τοῖς γεμὴν οὔπω πρὸς τοῦτο γνώμης ἰγμένοις, οὔπω μὲν καθαρὰ κατὰ τὸ αὐτοῖς δοκοῦν ἔχειν ὀρθῶς, κοινὰ δὲ, ὅτι σκάζει πως αὐτοῖς πρὸς ἀλήθειαν ὁ νοῦς.

16 Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν· οὐ γάρ

Μὴ κατεπαιρέσθω τῶν ἀσθενῶν ἡ τῶν εὐδοκιμούντων λαμπρότης, μήτε τὸ ἀγαθὸν ὑμῶν, τουτέστι τὸ ἀξιάγαστον εἰς πίστιν, βλασφημείσθω πρός τινος· οὐ γὰρ τῆς θεαρέστου πολιτείας τὰ κατορθώματα διὰ βρώσεως γένοιτο, οὔτε ὡς θεοσεβὴς ὁ τοιοῦτος τῆς τῶν οὐρανῶν βασιλείας ἄξιος, εἰ ἀδιακρίτως ἐσθίει τὰ παρατιθέμενα, ἀλλ' ὁ συγκαταβαίνων τῇ τῶν ἀσθενῶν ἀδελφῶν ἀσθενείᾳ καὶ ἀπεχόμενος. καὶ γὰρ εἰ καὶ ἐμέμψατο τῷ Πέτρῳ ὡς ἰουδαικῶς ζησάντι διὰ
Gal. ii. 12. τοὺς ἐλθόντας εἰς Ἀντιόχειαν ἀπὸ Ἰακώβου, οὐ διὰ τοῦτο ἐμέμψατο ὅτι συγκατέβη τῇ ἀσθενείᾳ τῶν ἐκ περιτομῆς καὶ ἀπείχετο βρωμάτων, ἀλλ' ὅτι πολλοὺς ὄντας τοὺς ἐξ ἐθνῶν παρέσυρε τῷ ἀξιοπίστῳ τοῦ προσώπου ἑαυτοῦ εἰς τὸ νομίσαι ὅτι χρὴ κατὰ νόμον ζῆν, καὶ εἰς οὐδὲν αὐτῷ τὸ κήρυγμα χωρεῖν ἐκινδύνευεν· ἦν γὰρ ἐθνῶν διδάσκαλος.

20 sq. Πάντα μὲν γὰρ καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι.

Ἔξεστι μὲν γὰρ καὶ κρέα φαγεῖν καὶ οἶνον πιεῖν, ἀλλ' οὐκ εἰσάπαν ἀζήμιον ἡ ἐν τούτοις ἐξουσία. ἀλλὰ καὶ τὸ ἀπέχεσθαι χρήσιμον, ἵνα μὴ τὴν σάρκα παχύνοντες ταῖς τρυφαῖς, τὰ ἐν αὐτῇ καθ' ἑαυτῶν ἐξαγριαίνωμεν πάθη. εἰ οὖν ἐκείνων δι' ἑαυτοὺς ἀπεχόμεθα, πολλῷ μᾶλλον διὰ τὸν
Supra xiii. 9. ἀδελφόν· ἵνα μὴ προσκόπτῃ διὰ τὸ εἰρημένον "Ἀγαπήσεις "τὸν πλήσιον σου ὡς σεαυτόν."

1. οὔτω (sic) A. 2. ἰγμένοις A. ἡγμένοις Ed. 3. πως om. A.
5. Haec duo quae sequuntur scholia nobis suppeditat A p. 627 et 632.

[46 M.]

Κεφ. ιε΄. 7 sqq.

Διὸ προσλαμβάνετε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν Θεοῦ.

Ἓν σῶμα ἐσμὲν οἱ πολλοὶ, καὶ ἀλλήλων μέλη κατὰ τὸ γεγραμμένον, συνείροντος ἡμᾶς εἰς ἑνότητα τοῦ Χριστοῦ τοῖς τῆς ἀγάπης δεσμοῖς· "αὐτὸς γὰρ ὁ ποιήσας τὰ ἀμφό- "τερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὸν νόμον "τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας." δεῖ δὴ οὖν ἄρα τὸ αὐτὸ φρονεῖν εἰς ἀλλήλους, "καὶ εἴ τι πάσχει ἓν μέλος, "συμπάσχειν πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, "χαίρειν πάντα τὰ μέλη." διὸ προσλαμβάνεσθέ φησιν ἀλλήλους καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν Θεοῦ· προσληψόμεθα δὲ ἀλλήλους, τὰ αὐτὰ φρονεῖν ᾑρημένοι, βαστάζοντες δὲ καὶ ἀλλήλων τὰ βάρη, καὶ τηροῦντες "τὴν "ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης." οὕτως ἡμᾶς προσελάβετο καὶ ὁ Θεὸς ἐν Χριστῷ· καὶ γάρ ἐστιν ἀληθὴς οὕτως ἠγαπῆσθαι τὸν κόσμον εἰπὼν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ὥστε καὶ αὐτὸν ὑπὲρ ἡμῶν δεδόσθαι τὸν Υἱόν· δέδοται γὰρ τῆς ἁπάντων ἡμῶν ζωῆς ἀντάλλαγμα, καὶ θανάτου τὴν καταλλαγὴν ἐσχήκαμεν, καὶ θανάτου καὶ ἁμαρτίας ἐκλελυτρώμεθα. καὶ τόν γε τῆς οἰκονομίας σκοπὸν διαλευκαίνει λέγων Χριστὸν γεγενῆσθαι διάκονον περιτομῆς ὑπὲρ ἀληθείας, καὶ τὰ ἑξῆς. ἐπειδὴ γὰρ τοῖς Ἰουδαίων πατράσι προεπήγγελται Θεὸς, ὅτι καὶ εὐλογήσει τὸ ἐξ αὐτῶν ἐσόμενον σπέρμα καὶ ὡσεὶ "τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ "πλήθει," ταύτῃτοι πέφηνεν ἐν σαρκὶ καὶ γέγονεν ἄνθρωπος, Θεὸς ὑπάρχων ὁ Λόγος, αὐτὸς ὢν ὁ πᾶσαν τὴν κτίσιν καὶ εἰς τὸ εἶναι συνέχων, καὶ τὸ εὖ εἶναι τοῖς οὖσιν ἀπονέμων ὡς Θεός· ἦλθε δὲ εἰς τόνδε τὸν κόσμον μετὰ σαρκὸς, πλὴν οὐ διακονηθῆναι μᾶλλον καθά φησιν αὐτὸς, "ἀλλὰ δια- "κονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ ἀντίλυτρον ὑπὲρ

Supra xii. 5. — Eph. ii. 14, 15. — 1 Cor. xii. 26. — Gal. vi. 2. — Eph. iv. 3. — S. Joan. iii. 16. — ver. 8. — Heb. xi. 12. — S. Matth. xx. 28.

22. Inc. Ἐπειδὴ οὖν τοῖς A. 23. καὶ om. A. 24. καὶ ὡσεὶ] καὶ θήσει ὡσεὶ A. 26–28. αὐτὸς—ὡς Θεὸς om. A. 29. μᾶλλον om. A. 30. καὶ—πολλῶν om. A.

[46 M.] “πολλῶν.” ὡμολόγει γεμὴν ἀφῖχθαι σαφῶς, ἵνα πληρώσῃ 47 M. τῷ Ἰσραὴλ τὴν ὑπόσχεσιν· ἔφασκε γάρ “Οὐκ ἀπεστάλην S. Matth. xv. 24. “εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ.” οὐκοῦν οὐ ψευδοεπήσει λέγων ὁ Παῦλος διάκονον αὐτὸν γεγενῆσθαι ἐκ περιτομῆς εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τεθεῖσθαί τε πρὸς τούτῳ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ εἰς ver. 9. ἔλαιον τοῖς ἐξ ἐθνῶν, ἵνα καὶ αὐτοὶ δοξάσειαν ὡς τῶν ὅλων γενεσιουργὸν καὶ τεχνίτην τὸν Σωτῆρά τε καὶ λυτρωτήν. ἔδει γὰρ ἔδει διὰ πολλὴν ἀπείθειαν ὑβριζούσης αὐτὸν ἀνοσίως τῆς περιτομῆς, καὶ τὴν παρ' αὐτοῦ λύτρωσιν οὐ προσιεμένης, μὴ ἀπρακτῆσαι δοκεῖν τὴν ἄφραστον τοῦ Θεοῦ χάριν, ὀλίγων καὶ μόλις κομιδῇ διασεσωσμένων τῶν πεπιστευκότων ἐξ Ἰσραήλ· ταύτῃτοι κατευρυνομένης ὥσπερ ἐφ' ἅπαντας τῆς ἄνωθεν γαληνότητος προσελήφθη τὰ ἔθνη, καὶ τῆς ἐν Χριστῷ σοφίας τὸ μυστήριον οὐχ ἡμαρτηκὸς ὁρᾶται τοῦ πρὸς ἡμερότητα βλέποντος σκοποῦ· σέσωσται γὰρ ἀντὶ τῶν ὠλισθηκότων ἡ ὑπ' οὐρανὸν, κατοικτείροντος Θεοῦ. ὅτι δὲ προαναπεφώνητο τὸ μυστήριον διὰ φωνῆς ἁγίων προεγνωκότων ἐν πνεύματι τὰ ἐσόμενα, καθίστησιν ἐναργεστάτῃ τῶν προφητειῶν παραθέσει.

3. τὰ πρόβατα τὰ ἀπολωλότα A. 5. ἐκ om. A. 6. τούτῳ A. τοῦτο Ed. 7. ἔλαιον exhibet et A. ἔλεον recte emendat Migne. 8. λυτρωτήν des. A.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΑΠΟΣΠΑΣΜΑΤΑ ΟΛΙΓΑ ΤΙΝΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ Α.

Παῦλος κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ. Κεφ. α΄.

ἈΠΕΣΤΑΛΘΑΙ *φησὶν ὁ θεσπέσιος Παῦλος παρὰ Χριστοῦ, εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρός· τοῦτο γὰρ οἶμαί ἐστι τό Διὰ θελήματος Θεοῦ· ἐπειδὴ γὰρ δι' Υἱοῦ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ἐστι τοῦ Πατρὸς, δι' αὐτοῦ πάλιν τοὺς ἁγίους εἰς ἀποστολὴν προκεχειρῆσθαί φαμεν.*

Καὶ Σωσθένης ὁ ἀδελφὸς *κ.τ.λ.* I, 2

Ὅτι *ὀνήσει τῶν κηρυγμάτων ἡ δύναμις οὐ μόνον Κορινθίους, ἀλλὰ καὶ πάντας τοὺς ἐν Χριστῷ κεκλημένους εἰς τὸν διὰ πίστεως ἁγιασμὸν, διατρανοῖ λέγων Ἡγιασμένοις ἐν Χριστῷ ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν· ὁ μὲν γὰρ νόμος οὐκ ἐν παντὶ τόπῳ κεκέλευκε τοῦτο δρᾶν, ἀλλ' εἰς τὸν θεῖον*

Fragmenta in hanc epistolam commentariorum e Cat. eadem Vaticana deprompsit olim Maius. Extat Catena omnino eadem et Cramero nostro 1844 edita in Bibl. Reg. Parisiensi (Cod. 227 olim Bigotianus 22) chart. sec. xvi. Hanc A signavi. His fragmentis Maianis accedunt et alia e Cat. in Bibliotheca *τοῦ παντοκράτορος* Montis Sancti conservata, sec. x ineunte exarata. Haec H signavi.

[48 M.] αὐτὸν ἐν Ἱεροσολύμοις νεὼν ἀφικέσθαι· ἐδεδίει γὰρ τῆς παρ' αὐτοῖς διανοίας ὡς εἰκὸς τὸ εὐμετακόμιστον, μὴ ἄρα πως προσκυνεῖν ἢ θύειν ἐν παντὶ τόπῳ κεκελευσμένοι, πρόφασιν τῆς εἰς τὰ αἴσχίω μεταβολῆς [ἔχοιεν] τὸν νόμον, καὶ προσκυνήσειαν τοῖς γλυπτοῖς, ναοὺς ἑαυτοῖς ἱστῶντες καὶ βωμούς· ἐπειδὴ δὲ κεκλήμεθα λοιπὸν οἱ ἐξ ἐθνῶν διὰ πίστεως τῆς εἰς Χριστὸν εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, καὶ τὴν διὰ τοῦ Ἁγίου Πνεύματος ἀσφάλειαν πεπλουτήκαμεν, προσκυνεῖν τετάγμεθα οὐκ ἔν γε τοῖς Ἱεροσολύμοις ἅπαντες, ἀλλ' ἐν παντὶ τόπῳ· καὶ τοῦτο ἦν ἄρα τὸ διὰ τῶν προφητῶν
Soph. ii. 11. λεγόμενον "Καὶ προσκυνήσουσι τῷ Κυρίῳ ἕκαστος ἐκ τοῦ "τόπου αὐτοῦ."

Ἐπιστέλλει δὴ οὖν ἅμα Σωσθένει τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ,
Cf. Eph. v. 27. ἣν αὐτὸς ἑαυτῷ παρέστησεν ὁ Χριστός· καὶ τίς αὐτὴν ὦπτο; πάντες οἱ ἡγιασμένοι καὶ κεκλημένοι διὰ Χριστοῦ πρὸς δικαίωσιν, ἐπικαλούμενοί τε τὸ ὄνομα αὐτοῦ ἐν παντὶ
49 M. τόπῳ αὐτῶν τε καὶ ἡμῶν, τουτέστιν εἴτε ἐν τῇ τῶν Ἰουδαίων γῇ, εἴτ' οὖν ἐν ταῖς τῶν ἐθνῶν πόλεσί τε καὶ χώραις. Θεὸν δὲ κατὰ φύσιν διακηρύττει Χριστὸν, καὶ σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ τὴν δόξαν πραγματεύεται· Θεοῦ μὲν γὰρ ἐκκλησίαν ὀνομάζει τοὺς ἡγιασμένους, Χριστῷ δὲ
Rom. viii. 9. πάλιν αὐτοὺς προσνέμει λέγων "Εἰ δέ τις Πνεῦμα Χριστοῦ "οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ."

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Χάριτι στεφανοῖ τοὺς πεπιστευκότας τῇ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ τὰ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, συνδοτήρ τε ἐστὶ καὶ συνχορηγὸς τῷ γεγεννηκότι τῶν ἄνωθεν ἀγαθῶν, καὶ διανομεὺς τῶν ἐξ οὐρανοῦ χαρισμάτων, καὶ αὐτός ἐστιν ἡ πάντων εἰρήνη, τῇ παρ' ἑαυτοῦ χάριτι καταλαμπρύνων

4. Quae in uncis inclusa, Maium habent auctorem ad lacunas implendas. Lacunae eaedem et in A. 14. παρέστικεν (= παρέστηκεν) A.

[49 M.]

ἀρχὰς, θρόνους τε καὶ ἐξουσίας καὶ ἁπαξαπλῶς εἰπεῖν πᾶσαν κτίσιν λογικήν.

Ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. 10

Ὅτι ὀνόματι τῷ δεσποτικῷ κατασεμνύνεσθαι δεῖν, ἀναγκαῖον ἦν ἅμα καὶ σοφὸν ἀναπεῖσαι, λέγων αὐτὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν "Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται Es. lxv. 15, 16. "ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς·" χριστιανοὶ γὰρ ὠνομάσμεθα, καὶ τὸ ὄνομα τὸ καινὸν πεπλουτήκαμεν, οὗ δικαίως ἐστέρηνταί τινες τῶν ὀρθῶν τῆς Ἐκκλησίας ἀποφοιτῶντες· καὶ προσκείμενοι πνεύμασι πλάνοις καὶ 1 Tim. iv. 1. ἀνοσίων τινῶν ψευδοδιδασκάλων τερατισμοῖς, τὸ αὐτῶν ἐσχήκασιν ὄνομα, καὶ μάλα εἰκότως· οὐ γάρ εἰσι τοῦ Χριστοῦ, τὴν κατ' αὐτοῦ δυσφημίαν μερισάμενοι, καὶ εἰς διαφόρους δόξας τε καὶ γνώμας κατεσχισμένοι, καίτοι Χριστοῦ τοὺς ἰδίους κεκληκότος ἐν εἰρήνῃ. καὶ ὅτι εἷς ἔστιν αὐτὸς, Infra vii. 15. καὶ οὐ μεμέρισται· ἓν οὖν οἱ πάντες ἐσμὲν ἐν Χριστῷ, Infra ver. 13. κατηρτίσμεθά τε πρὸς τοῦτο ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ, συνδέντος ἡμᾶς εἰς ὁμοψυχίαν καθ' ἕνωσιν τὴν πνευματικὴν τοῦ περὶ ἡμῶν λέγοντος τῷ Θεῷ καὶ Πατρί Θέλω ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτως "καὶ αὐτοὶ ἐν ἡμῖν ἓν S. Joan. xvii. 21. "ὦσιν."

Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; 13

Εἰ ἕτερος τὸν ὑπὲρ ἡμῶν ἀνέτλη σταυρὸν, αὐτοῦ καὶ λεγώμεθα· καὶ εἰ βεβαπτίσμεθα τυχὸν εἰς τὴν ἑτέρου κλῆσιν, ἐκεῖνος ἡμᾶς ἐχέτω, καὶ αὐτὸν ἐπιγραψώμεθα σωτῆρα καὶ λυτρωτήν· εἰ δέ "Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν Infra xv. 3. "ἡμῶν," καὶ αὐτῷ καὶ μόνῳ συντεθάμμεθα "διὰ τοῦ βαπ- 50 M. "τίσματος εἰς τὸν θάνατον," Rom. vi. 4. πλουτείτω, φησὶ, τοὺς ἠγορασμένους αὐτός· σεσώσμεθα γὰρ δι' αὐτοῦ τε καὶ παρ' αὐτοῦ τεθεικότος ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχήν.

18. *συνδέντος* habet A. *συνδέοντος* emendat Migne.

[50 M.]

17 Οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι.

Ἀπέσταλται μὲν ὁμολογουμένως διακηρύξων τοῖς ἔθνεσι τὸν Ἰησοῦν· ἀλλ' ἔργον εἶναί φαμεν τῆς ἀποστολῆς τὸ ὡς ἐν καιρῷ τε καὶ χρείαις πληροῦν, εἴτ' οὖν ἕλοιτο, καὶ τὸ βαπτίσαι τινάς. ἵνα δὲ μὴ τὸν τοῦ χρῆναι κηρύττειν καιρὸν ἑτέροις φαίνοιτο δαπανῶν σπουδάσμασι, παρεὶς εὖ μάλα τοῖς κατὰ χώρας καὶ πᾶσι τεταγμένοις εἰς ἐπισκοπὴν τὸ ὡς ἐν σχολῇ τοῦτο δρᾶν, εὐηγγελίζετο μᾶλλον αὐτὸς, ἅτε δὴ καὶ λόγου χρείαν πεπιστευμένος καὶ πολὺ λίαν ἠκριβωκὼς τὸ Χριστοῦ μυστήριον· ἀλλ' ὥσπερ ὁ θεσπέσιος Στέφανος, καίτοι τραπεζῶν διάκονον προχειρισάμενος, οὐκ ἀπόπεμπτον ἐποιεῖτο τὸ χρῆναι μυσταγωγεῖν, οὕτω καὶ ὁ θεσπέσιος Παῦλος καίτοι τεθειμένος εἰς τὸ δεῖν εὐαγγελίζεσθαι τὸ Χριστοῦ μυστήριον, ἐπλήρου κατὰ καιρὸν καὶ τὴν τοῦ βαπτίσματος χρείαν, προκειμένης ἐπ' ἄμφω τῆς ἐξουσίας αὐτῷ, καὶ ἐξείργοντος οὐδενὸς εἴπερ ἕλοιτο τοῦτο δρᾶν.

20 Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου;

Τοῖς μὲν μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ κοσμικῇ καὶ τὴν πίστιν οὐ προσιεμένοις, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, μωρία τὸ εὐαγγέλιον· ἡμῖν δὲ οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ· διατεθείμεθα γὰρ ὅτι δύναμις Θεοῦ ἐστι, καὶ σωτηρίας ὁδὸς ἀποφέρουσα πρὸς ἁγιασμὸν, καὶ εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν παιδαγωγοῦσα σοφῶς δαψιλῶν κηρυγμάτων. οἶμαι δὲ ἔγωγε σοφοὺς νῦν αὐτὸν ἀποκαλεῖν τοὺς ῥήτορας, οἳ τῇ τῶν λόγων δεινότητι τὸ πιθανὸν ἀεὶ τῷ ψεύδει συμπλέκοντες, τῆς ἀληθείας αὐτῷ τὴν δόκησιν περιποιεῖν ἐσπούδαζον· γραμματέας δὲ οἶμαι τοὺς γραμματιστὰς ἤτοι γραμματικοὺς, οἷς ἦν ἔθος τὰς τῶν ποιητῶν περιεργάζεσθαι συγγραφὰς καὶ διερμηνεύειν τοῖς νέοις· συζητητὰς δέ φησι τοὺς λογομαχεῖν εἰωθότας καὶ ἀκριβείᾳ δῆθεν τῶν πραγμά-

Supra ver. 18.

[50 M.]

των βασανιστὰς, οἳ ταῖς τῶν ἐννοιῶν εὑρέσεσιν, ὡς ἐνὶ τὸ ἐφ' ἑκάστῳ τῶν προκειμένων ἀδιαβλήτως ἔχειν δοκοῦν, ζητεῖν ὑποκρίνονται τὴν ἀλήθειαν, ἀλλ' οὔτι πω ὀρθῶς, μᾶλλον δὲ εἰς ἅπαν ἠμελημένως· ἠγνοήκασι γὰρ τὸν τῶν ὅλων Θεὸν, ὃς τόδε τὸ σύμπαν ἀποῤῥήτοις ἐνεργείαις ἀπονητὶ διεπήξατο, καὶ παρήνεγκεν εἰς τὸ εἶναι τὰ οὐκ ὄντα πάντα, κατα- 51 M.
νεύσας μόνον· μεμώραται τοίνυν ἀληθῶς ἡ τοῦ κόσμου σοφία.

Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς 21
σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

Σοφίαν Θεοῦ καὶ τὴν ἀνθρωπίνην ὀνομάζει σύνεσιν καὶ τὴν εὐγλωττίαν, ἤτοι αὐτὸ τὸ τῆς λέξεως ἀνθηρόν· ἵνα διδάξῃ ὅτι νοῦ ποιητὴς ὁ Θεὸς καὶ φρονήσεως χορηγὸς καὶ εὐγλωττίας, καὶ εἴ τινες αὐτοῖς ἐχρήσαντο ἐφ' ἃ μὴ προσῆκεν· μωρίαν δὲ τοῦ κηρύγματος, τῶν λέξεων τὴν ἁπλότητα λέγει· ἰδιῶται μὲν γὰρ τῷ λόγῳ γεγόνασιν οἱ θεσπέσιοι Cf. 2 Cor. xi. 6.
μαθηταὶ, πλούσιοι δὲ τῇ γνώσει.

Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες σοφίαν 22 sqq.
ζητοῦσι.

Κατ' ἄμφω ἀληθὴς ὁ τοῦ Παύλου λόγος· ἐξελαύνοντος γάρ ποτε τοῦ Χριστοῦ τῶν ἱερῶν περιβόλων τοὺς πωλοῦντας τὰ πρόβατα καὶ τὰς βοῦς, τρυγόνας τε καὶ περιστερὰς, καὶ φάσκοντος "Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου S. Joan. ii. 16.
"οἶκον ἐμπορίου," ἀντεφέροντο λέγοντες "Τί σημεῖον δεικ- Ib. 18.
"νύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς;" καί "Τίς ἔδωκέν σοι τὴν S. Matth. xxi. 23.
"ἐξουσίαν ταύτην;" προσῄεσαν δὲ καὶ τῶν γραμματέων τινὲς μετὰ πλείστην ὅσην σημείων ἐπίδειξιν φιλοκακούργως λέγοντες "Διδάσκαλε θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν." Ib. xii. 38.

1. ἐνὶ habet et A. 7. μεμώρανται emendat Migne. 12–18. Scholion hoc exhibent et t. et ceterae Catenae. 12. ὀνομάζουσι t. cet.

[51 M.] ὀλίγου τοίνυν παντελῶς ἀξιοῦντες λόγου τὰς τῶν ἁγίων φωνὰς, δι' ὧν ἦν εἰκὸς αὐτοὺς δύνασθαι μαθεῖν ὅτι αὐτὸς ἦν ὁ Χριστὸς, θεοσημίας ἐζήτουν· ὅθεν ἔλεγεν ὁ Σωτὴρ τοῖς
S. Matth. xi. 4, 5. ἀποσταλεῖσιν ὑπὸ Ἰωάννου "Ἀπελθόντες ἀπαγγείλατε "Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσι, χωλοὶ "περιπατοῦσι" κ. τ. λ. καὶ οἱ ἕλληνες τὴν ἐν λέξει τε καὶ λόγοις ζητοῦντες λαμπρότητα, ἡγοῦνται δὲ καὶ μωρίαν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον, καί φασι Τί γὰρ ὅλως ἔδει Θεὸν ὄντα κατὰ φύσιν τὸν ἐκ Θεοῦ Λόγον, θελήσει καὶ νεύματι κατορθοῦν ἰσχύοντα τὰ κατὰ γνώμην αὐτῷ, γενέσθαι ἄνθρωπον καὶ ὑπομεῖναι θάνατον; πῶς δ' ἂν γένοιτο, φασὶν, ἀποτεκεῖν παρθένον; πῶς δὲ καὶ ἀναστήσεται τὸ θανάτῳ κατεφθαρμένον; ἀλλ' οὐδὲν αὐτοὺς ἀπεικὸς τοιαῦτα λέγειν
Infra ii. 14. "Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· "μωρία γὰρ αὐτῷ ἐστιν," ἀλλ' ἡμῖν Θεοῦ δύναμίς ἐστι καὶ σοφία· σέσωκε γὰρ δι' αὐτοῦ τὴν ὑπ' οὐρανὸν ὁ Θεὸς καὶ Πατὴρ, ὡς διὰ δυνάμεως τῆς ἐνούσης αὐτῷ φυσικῶς, καὶ
52 M. τῆς ἀποῤῥήτου σοφίας, τῆς ἑαυτοῦ δηλονότι· σοφία γὰρ καὶ δύναμις τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, δι' ἧς τὰ πάντα παρῆκται πρὸς γένεσιν, καὶ πεποιημένα σώζεται. καὶ εἰ δή τις, φησὶν, ἕλοιτο ταῖς ἀνθρώπων δυνάμεσιν ἀντεξετάσαι τὴν ἐν Θεῷ, καταθρήσει δὴ πάντως ὅτι τὸ δοκοῦν τῶν θείων ἔργων ὡς ἐν ἀσθενείᾳ πεπράχθαι τυχὸν, καὶ οἷον οὐχ ὅλῃ δυνάμει τοῦ πεποιηκότος, ἁπάσης ἐστὶν ἐπέκεινά τε καὶ ἄμεινον τῆς ἀνθρωπίνης ἰσχύος· κατ' αὐτὸν δὲ τουτονὶ τὸν τρόπον καὶ ἐπὶ τῆς σοφίας νοήσεις, ὅτι τὸ μωρὸν εἶναι δοκοῦν, σοφώτερον τῶν ἀνθρώπων ἐστίν. οἱονεὶ πρὸς τὰ μεγέθη καὶ κάλλη τῶν στοιχείων, οὐρανοῦ τε φημὶ καὶ ἡλίου καὶ τῶν λοιπῶν ἄστρων καὶ πυρὸς καὶ ὕδατος καὶ τῶν ἄλλων, συγκρῖναί τις βούλοιτο τὰ μικρὰ τῶν κτισμάτων καὶ ἐλάχιστα, ὀλίγη παντελῶς ἡ ἐν τούτοις εὑρεθήσεται δύναμίς τε καὶ σοφία, καὶ ὡς ἀπό γε

6. κ. τ. λ. deest in A (linea non completa). 22. δὴ habet A. 26. μωρὸν] + [θεοῦ] sic in uncis inclusum addit Mai, sed omisi ipse quum nihil est lacunae in A.

[52 M.]

τοῦ ἡττῆσθαι . . . τις εἶναι δόξειεν· ἀλλ' οὐκ ἂν γένοιτό τις τῶν ἐν ἡμῖν οὐδὲ τῶν οὕτως . . . ἐργάτης. ἀληθῶς οὖν, ὅτι τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστὶν, καὶ τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν. ἔχει τοίνυν τὸ πάνσοφον ἡ οἰκονομία, βεβασίλευκε γὰρ συνετῶς ἁπάσης τῆς ὑπ' οὐρανὸν ἐν σοφίᾳ Χριστός.

Καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Κεφ. β'.

Μαρτύριον τοῦ Θεοῦ φησι τὸν Χριστόν· μεμαρτύρηκε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἐπ' αὐτῷ λέγων "Οὗτός ἐστιν ὁ υἱός μου S. Matth. iii. 17.
"ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα."

Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ κ.τ.λ. 3 sqq.

Καίτοι γὰρ οὕτω μετρίᾳ χρησάμενος ὑφηγήσει, ἐδεδίειν σφόδρα, φησὶ, μὴ ἄρα πως ἀμείνους τῆς ἐνούσης ἡμῖν εὑρισκόμενοι διανοίας, ὀνήσειαν μὲν οὐδὲν, ἀδικήσειαν δὲ μᾶλλον· τοῖς γὰρ νηπίοις τὴν φρένα τρυφερός τε καὶ εὐαφὴς πρέποι ἂν εἰς εἴδησιν λόγος, "τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, Heb. v. 14.
"τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων "πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ." γέγονε τοίνυν, φησὶν, ὡς ἐν ἀσθενείᾳ πολλῇ, καὶ οὐκ ἐν ὅλῃ δυνάμει τοῦ μυσταγωγοῦ πρὸς ὑμᾶς ὁ λόγος· οὔτε μὴν ἐν πειθοῖς σοφίας ver. 4.
ἀνθρωπίνης ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως ἵνα ἡ ver. 5.
πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων ἀλλ' ἐν δυνάμει Θεοῦ· τῷ γὰρ κηρύγματι προσεπῆγον οἱ ἀπόστολοι καὶ θεοσημίας, ἀπόδειξιν ἐναργῆ τὸ χρῆμα ποιούμενοι τὸ χρῆναι πιστεύειν 53 M.
ὅτι Θεὸς ἐν τούτοις διὰ τοῦ Πνεύματος καὶ δι' αὐτῶν μεμαρτύρηται τῶν πραγμάτων· ὡς ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ δυνάμει τε καὶ ἐνεργείᾳ χρώμενοι, καὶ κατορθοῦν εὐκόλως τὰς τερατουργίας. τὰ μὲν γὰρ ἑλλήνων μυθάρια δέοιντ' ἂν

1. Lacuna 20 fere litt. in A. 2. Lacuna 10 fere litt. in A. 10. ὁ assumptum ex A. 17. ἕξιν emendavi. ἐξ ὧν (*ita Cod.* adnotans) Mai. ἐξ ὧν A. ἕξων emendat Migne. 18–20. γέγονε—λόγος exhibet et H. 19. πολλῇ om. H. οὐκ] + ὡς H. 24. τὸ alt.] legendumne τοῦ?

[53 M.] εἰκότως τοῦ συνασπίζοντος λόγου, καὶ τὸ ἐν αὐτοῖς ἀκαλλὲς οἱονεὶ περιστέλλοντος· ἀποχρὴ γεμὴν τῷ θείῳ κηρύγματι ψιλός τε καὶ εὐαφὴς καὶ ὡς ἐν δυνάμει Θεοῦ μαρτυρούμενος λόγος.

6 Σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων.

Πρόεισι μὲν ὁ λόγος τῶν ἁγίων μυσταγωγῶν διὰ λέξεως χαμαιπετοῦς, ἐνίησι δὲ τῶν θείων ἡμῖν μυστηρίων τὴν ἀκιβδήλευτον γνῶσιν, καὶ σοφίαν ὄντα Χριστὸν ἀποφαίνει, οὐ διὰ τῆς τῶν ἐν κόσμῳ σοφῶν καλλιεπείας, ἀλλ' ἐξ ἰδίας φύσεως μαρτυρούμενον, ὃν οὐδεὶς ἔγνω τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, οἵ τινές εἰσιν αἱ πονηραὶ δυνάμεις καὶ ἀντικείμεναι, αἵτινες λελαλήκασιν ἐν τοῖς τοῦ κόσμου σοφοῖς·

8 Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

Ἔχει πολὺ τὸ εἰκὸς ὁ λόγος· τεθριάμβευκε γὰρ ὁ Χριστὸς διὰ τοῦ ἰδίου σταυροῦ τὰς πονηρὰς καὶ ἀντικειμένας Col. ii. 14. δυνάμεις, προσηλώσας τῷ ξύλῳ "τὸ καθ' ἡμῶν χειρόγρα-"φον," ἀπεσόβησεν τῆς καθ' ἡμῶν τυραννίδος τὸν σατανᾶν, κατήργηκε τοῦ κόσμου τὴν ἁμαρτίαν, ἀνῆκας τοῖς κάτω πνεύμασι τὰς ᾄδου πύλας, καθεῖλε τοῦ θανάτου τὸ κράτος· εἶτα πῶς οὐκ ἀπηχθημένον τοῖς ἀκαθάρτοις δαίμοσίν ἐστι τὸ ἐπὶ τῷ σταυρῷ πάθος; οὐκ ἂν οὖν ἐσταύρωσαν, εἴπερ ᾔδεσαν ἀκριβῶς αὐτὸν ὄντα τὸν λυτρωτὴν καὶ τῆς δόξης Κύριον. ὅτι γὰρ διαβολικῆς ἀγριότητος ἔργον ἦν τὸ διὰ τῆς ἰουδαίων ἀπονοίας σταυροῦσθαι Χριστὸν, παρέδειξεν ἐναργῶς ὁ θεσπέσιος Ἰωάννης εἰπὼν περὶ τοῦ Ἰούδα "Μετὰ γὰρ τὸ "ψωμίον, φησὶν, εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς," ὃς οὐκ ᾔδει Θεὸν ὄντα τὸν Ἰησοῦν· εἰ γὰρ καὶ ἔγνω καὶ ἐπέπειστο, πῶς ἐπείραζεν αὐτὸν ἐν τῇ ἐρήμῳ λέγων "Εἰ υἱὸς εἶ τοῦ

S. Joan. xiii. 27.

S. Matth. iv. 3.

5–13. Haec nobis suppeditat H. 8. ἐνίησι emendavi. ἐνίεισι Cod.
22. οὖν assumptum ex A.

[53 M.]

"Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται;" γέγονε δὲ ὁμολογουμένως καὶ αὐτῷ τῷ Σωτῆρι σπουδὴ τὸ λαθεῖν τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου, ἵνα καὶ πάθοι λαθὼν καὶ τῷ ἰδίῳ αἵματι κατακτήσηται τὴν ὑπ' οὐρανὸν ἑαυτῷ τε καὶ τῷ ἰδίῳ Πατρί.

Καὶ τὰ βάθη τοῦ Θεοῦ. 10

Βάθη τοῦ Θεοῦ τῶν ἱερῶν γραμμάτων ἡ κεκρυμμένη καὶ ἀπόθετος γνῶσις, ἣν εἰδὸς τὸ Πνεῦμα ταῖς τῶν ἁγίων ἀποκαλύπτει ψυχαῖς, θεῖόν τινα νοῦν ἀποφαῖνον τὸν ἐν αὐτοῖς.

Ψυχικὸς δὲ ἄνθρωπος. 14

Ψυχικός ἐστιν ὁ κατὰ σάρκα ζῶν καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ Πνεύματος, ἀλλὰ μόνην τὴν ἔμφυτον καὶ ἀνθρωπίνην σύνεσιν ἔχων, ἣν ταῖς ἁπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός.

54 M.

Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα. 15, 16

Ὁ πνευματικὸς ἀνακρίνει μὲν πάντα καὶ οἷον καταλεπτύνει ταῖς ἀκριβείαις, ἀνακρίνεται δὲ ὑπ' οὐδενὸς αὐτός· ὅτι δὲ τοῖς λεγομένοις εἶναι ψυχικοῖς δεῖ δὴ πάντως εἰς ὄνησιν καὶ παιδαγωγίαν πνευματικῶν διδασκάλων, καθίστησιν ἐναργὲς προστιθείς τε καὶ λέγων Τίς γὰρ ἔγνω νοῦν Κυρίου ὃς συμβιβάσει αὐτόν; ὅμοιον ὡσεὶ λέγοι Τὸν ψυχικὸν ἄνθρωπον συμβιβάσειεν ἂν οὐδείς, εἰ μὴ νοῦν ἔχοι Χριστοῦ· τὸ δὲ ver. 16.

1. δὲ assumptum ex A. Statim ὁμολογουμένος A. 5. Pro his, exhibet quae subjungimus H: Εἰ γὰρ ἔγνωσαν τὰ μέλλοντα ἀγαθὰ συμβῆναι τοῖς ἀνθρώποις διὰ τοῦ σταυρωθῆναι τὸν Χριστὸν, καὶ ὅτι αὐτὸς ἦν ὁ λυτρωτὴς καὶ τῆς δόξης Κύριος Ἰησοῦς ὁ Χριστὸς ὁ Θεὸς, καὶ φύσει ἀληθῶς Υἱὸς τοῦ Θεοῦ καὶ Πατρὸς ὁ σταυρωθεὶς, ὁ φύσει Θεὸς ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος, ἅτε δὴ σαρκὸς γεγονότος τοῦ Λόγου, οὐκ ἂν αὐτὸν ἐσταύρωσαν οἱ Ἰουδαῖοι τὸν Χριστὸν ἀγνοοῦντες, καὶ γὰρ αὐτὸς ὁ Κύριος ἐσπούδασε λαθεῖν, ἵνα πάθῃ λαθὼν, καὶ τῷ ἰδίῳ θανάτῳ λυτρώσηται τὴν ὑπ' οὐρανόν. 6–14. Scholia duo quae sequuntur exhibent et t. cet., prius vero H. 7. τῶν] εἰσι τῶν t. cet. κεκρυμμένη] + τε (secunda vice) H. 9. ὑποφαῖνον H. 21. Inc. Τὸν ψυχικὸν ἄνθρωπον, εἰ μὴ νοῦν ἔχοι (sic), οὐδεὶς δύναται συμβιβάσαι· τὸ δὲ (22) H.

[54 M.] συμβιβάσαι φησὶν ἀντὶ τοῦ νοῆσαι παρασκευάσει· καὶ τίνες ἂν εἶεν οἱ νοῦν ἔχοντες Κυρίου, πάλιν αὐτὸς παρέδειξεν εἰπὼν Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν, τουτέστι τὸ Πνεῦμα τὸ λαλοῦν Cf. p. 257, 9. ἐν ἁγίοις, καὶ ἐκκαλύπτον αὐτοῖς μυστήρια, καὶ θεῖόν τινα νοῦν ἀποφαῖνον τὸν ἐν αὐτοῖς. οὐκοῦν ὧν γεγράφασι τὰ ἀμείνω τε καὶ ὑψηλότερα, νοεῖν τε καὶ λέγειν δυναμένοις συμμεμετρήκασιν οἰκονομικῶς ταῖς τῶν μυσταγωγουμένων ἕξεσι τὴν ὑφήγησιν.

Κεφ. γ'. Καὶ ἐγὼ, ἀδελφοί, οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ.

Οὐχ ὡς ἀπορῶν τοῦ λόγου πρὸς τελείαν γνῶσιν ἀνακομίζειν ἰσχύοντος ἐκωλύθην ὑμῖν λαλῆσαι τὰ τελειότερα, ἀλλ' ἐπειδὴ νήπιοί ἐστε τὴν ἕξιν καὶ ἀνασφαλῆ τὸν νοῦν ἔχετε, μὴ προβεβηκότα πρὸς εἴδησιν τῶν τελειωτέρων, καὶ οὐ δυνάμενον χωρεῖν τέως μυστήρια.

6 Ἐγὼ ἐφύτευσα.

Ἐφύτευσε μὲν Παῦλος, ὁ δὲ Ἀπολλῶς ἐπότισεν, ἐκάλει πρὸς αὔξησιν Θεός. τίς οὖν ἡ φύτευσις ἢ τὸ ἐν ἀρχῇ τῆς πίστεως, καὶ ὅτι τῶν ὅλων Κύριος ὁ Θεὸς ἐπιγνῶναί τε καὶ εἰπεῖν; τίς δὲ ὁ ποτισμὸς ἢ τῶν ἐκ διδασκαλίας λόγων οἱονεὶ καταβολὴ καὶ ἐπίχυσις, τρέφουσα πρὸς εὐρωστίαν τὸν τοῦ πιστεύσαντος νοῦν ἵνα φαίνοιτο καὶ καρποφόρος; τίς δὲ ἡ αὔξησις ἡ παρὰ Χριστοῦ ἢ διὰ Πνεύματος στερέωσις Eph. iv. 13. καὶ "εἰς ἄνδρα τέλειον" ἀναδρομὴ ἀναλόγως ταῖς ἑκάστου σπουδαῖς τε καὶ προθυμίαις χορηγουμένη;

1. συμβιβάσει Migne. παρασκευάσει· οἱ δὲ τὸν νοῦν ἔχοντες χριστοῦ οὗτοί εἰσιν οἱ τὸ πνεῦμα ἔχοντες τὸ λαλοῦν (3) H. 4. ἐγκαλύπτον H. ἐκαλύπτον (sic) A. αὐτοῖς] + τὰ H. μυστήρια· αὐτὸ γάρ ἐστι τὸ πνεῦμα τὸ ἐρευνῶν (sic) καὶ τὰ βάθη τοῦ Θεοῦ. βάθη δὲ Θεοῦ (ut supra p. 257, 7–9 iterum exhibens). Deinde οὐκοῦν ad fin. scholii accesserunt ex H. 9. Scholion hoc duoque quae sequuntur accesserunt ex H. 20. ἢ emendavi. ἡ Cod. 23. ἢ emendavi. ἡ Cod.

[54 M.]

Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. 9

Ἐπειδὴ Χριστὸς ἡμᾶς ἐξηγόρασεν τῷ τιμίῳ αὐτοῦ αἵματι τὸν τῆς σαρκὸς ἀνατλὰς θανατὸν, τοῦ ἀγοράσαντος πάντως ἐσμὲν, οὐχ ἑτέρων, εἰ καὶ γεγόνασιν εἰς ἡμᾶς τινες διάκονοι καὶ διαλλάκται καὶ μεσίται καὶ μυσταγωγοὶ τῆς παρ' αὐτοῦ χάριτος· διὸ οὐχ ἑτέρων ὀνομαζόμεθα ἀλλὰ μόνου Χριστοῦ ὃς καὶ κυριεύει ἡμῶν.

Ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. 10 sq.

Ἐπειδὴ οἶκον ὠνόμασεν Θεοῦ τοὺς πεπιστευκότας, θεμέλιον εἰκότως ὀνομάζει Χριστόν· καὶ πολλοὶ μὲν διδάσκαλοι γεγόνασι παρὰ Κορινθίοις, αὐχεῖ δὲ ὁ Παῦλος τὸ πρῶτος εἶναι τῶν ἄλλων, καὶ οἷόν τις ἀπαρχὴ τῶν εὐαγγελισαμένων αὐτοῖς τὸ Χριστοῦ μυστήριον, ὅς ἐστι θεμέλιος ἀκατάσειστος, ἀνέχων τοὺς ἐποικοδομουμένους αὐτῷ, καὶ ναοὺς ὑποφαίνων, συναρμολογουμένους τε ἀλλήλοις διὰ τῆς πίστεως (Cf. Eph. ii. 21.) καὶ τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι συμβαίνοντος εἰς ὁμοψυχίαν· περὶ τούτου τοῦ θεμελίου ἔφασκεν ὁ Θεὸς καὶ Πατὴρ διὰ προφήτου "Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν (Es. xxviii. 16.) "λίθον πολυτελῆ ἀκρογωνιαῖον ἔντιμον, εἰς τὰ θεμέλια "αὐτῆς, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ."

Τεθεικέναι τοίνυν ὁ Παῦλος εὖ μάλα φησὶ τὸν θεμέλιον αὐτὸς, καὶ δύνασθαι μὲν ἑτέρους ἐπεργάζεσθαί τε καὶ οἰκοδομεῖν, οὐ μὴν ἔτι καταθεῖναι καὶ ἕτερον παρὰ τὸν ἤδη κείμενον (ver. 11.) ὅς ἐστιν Ἰησοῦς Χριστός· "οὐ γάρ ἐστιν ἕτερον ὄνομα (Acta SS. Ap. iv. 12.) "ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ "σωθῆναι ἡμᾶς." "Εἷς γὰρ Θεὸς καὶ Πατὴρ, ἐξ οὗ τὰ (Infra viii. 6.)

9. ὠνόμασεν] ἐκάλεσε H. 10. Haec καὶ πολλοὶ—Κορινθίοις accesserunt ex H. 12. πρῶτος pro οἷόν τις ἀπαρχὴ H. 13. αὐτοῖς om. H. θεμέλιος· εἷς οὖν ὁ θεμέλιος, ὅς ἐστι Χριστός des. H. 21. Inc. de novo Τεθεικέναι φησὶ τὸν θεμέλιον ὁ παῦλος καὶ δύνασθαι H. 22. ἐργάζεσθαι H. τε καὶ οἰκοδομεῖν om. H. 23. ἔτι καταθεῖναι καὶ ἕτερον] καὶ θεῖναι ἄλλον θεμέλιον H. 24. ὅς ἐστιν Ἰησοῦς Χριστός assumptum ex H. ὄνομα assumptum ex H. ὂν (sic) A. 26. ἡμᾶς om. H. et abbreviat θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος καὶ γεγέννηται διὰ τῆς ἁγίας καὶ θεοτόκου μαρίας κατὰ σάρκα, μεμενηκὼς καὶ ἐν ἀνθρωπότητι Θεός· ὁ οὖν ἀρνούμενος τὸν θεμέλιον καὶ τὴν πέτραν πάντως ἐπὶ τὴν ἄμμον οἰκοδομεῖ καὶ εὐκόλως κατασείεται· ὃ (p. 260, 6) H.

[54 M.] “ πάντα καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, Col. i. 18. “ δι’ οὗ τὰ πάντα καὶ ἡμεῖς δι’ αὐτοῦ, καὶ αὐτός ἐστιν ἡ “ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας.” εἴ τις οὖν ἀρνεῖται τὸν θεμέλιον καὶ παραιτεῖται τὴν πέτραν, οὐκ οἰκοδομεῖ ἐπ’ αὐτῇ ἀλλ’ εἰς τὴν ἄμμον· ταύτητοι καὶ λίαν εὐκόλως κατασεισθήσεται· ὃ γὰρ μὴ ἀνέχῃ Χριστὸς, τοῦτο δὴ πάντως κινηθήσεται, οὐχ ἑδραίαν ἔχων τὴν στάσιν.

Κεφ. δ'. 18 Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες.

Ἐπειδή τινες ἦσαν ἐν Κορίνθῳ οἰόμενοι ἀρκεῖν ἑαυτοῖς καὶ μὴ δεῖσθαι διδασκάλων, καὶ ὑπεραίρειν ἐν σοφίᾳ κοσμικῆς εὐγλωττίας τὸν Παῦλον· καὶ διὰ τοῦτο ἀνεφυσῶντο πρὸς ὑπεροψίαν κατεξανιστάμενοι τῶν ἄλλων, ὅμως οὐκ ἀνεπίληπτοι κατὰ τὸν βίον. ἐπεὶ οὖν πεφυσίωνταί τινες ἀπόντος μου καὶ νομίζουσι διὰ τοῦτό με ἀπολιμπάνεσθαι ὡς δεδιότα τοῦ ἐλθεῖν αὐτοῖς εἰς λόγους, ὅπερ οὐχ οὕτως ἔχει, ἥξω θέλοντος καὶ ἐπιτρέποντος Θεοῦ.

19 Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ.

Ἐπηγγείλατο μὲν ἀφίξεσθαι πλὴν οὐ πάντως, ἀλλ’ ὡς πρέπον ἦν ἐπιεικῶς προσθεὶς τὸ ἀναγκαῖον τό Ἐὰν ὁ Κύριος θελήσῃ· δεῖ γὰρ ἡμᾶς οὐχ ἑτέρως ἢ φρονεῖν ἢ λέγειν ἢ ὧδέ τε καὶ μόνος.

55 M.

Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν.

Τίς ἡ ὄνησις λέξεως λαμπρᾶς ἐχούσης τῶν ἀγαθῶν οὐδὲν, ὁποῖα ἡ τῶν ἑλλήνων ἐστίν; ἡ δέ γε τῆς θεοπνεύστου γραφῆς ἁπλὴ μέν ἐστι καὶ κατειθισμένη, πλουσίως γεμὴν ὀνίνησι καὶ ἀποφέρει λαμπρῶς εἰς ἐπίγνωσιν ἀληθῆ τοῦ

7. κινηθήσεται] κείσεται H. οὐχ ἑδραίαν ἔχων] καὶ οὐκ ἂν ἑδραίαν ἔχοι H. ἔχων] ἔχον emendat Migne. 8–21. Haec duo quae sequuntur scholia nobis suppeditat H. 21. μόνος] Ita H.

[55 M.]

κατὰ φύσιν ὄντος Θεοῦ· ἀποτελεῖ δὲ πρὸς τοῦτο καὶ παντὸς
ἀξια[γασ]τοῦ πράγματος ἐπιμελητάς· οὗ δὴ γεγονότος,
καταπλουτήσειεν ἄν τις καὶ τῶν διὰ Πνεύματος χαρισμάτων
τὴν ἀξιόληπτον χάριν· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τῶν οὐρα- ver. 20.
νῶν, ἀλλ' ἐν δυνάμει· τὸ δέ Ἐν δυνάμει νοήσεις, εἰ μὲν ἐπ'
αὐτῶν φέροιτο τῶν ἁγίων ἀποστόλων, ὡς ἐν ἰσχύϊ τε καὶ
ἐνεργείᾳ τῇ διὰ τοῦ Πνεύματος, καθ' ἥν εἰσι καὶ θαυματουρ-
γοί· εἰ δ' ἐφ' ἡμῶν αὐτῶν, ὡς ἐν δυνάμει ζωῆς τῆς ἁγίας καὶ
εἰλικρινοῦς ἐκδέξῃ τὸ εἰρημένον.

Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ; 21

Βούλεσθε, φησὶν, σοφὴν ἐπίπληξιν οἵᾳ τινὶ ῥάβδῳ ἐπα-
γάγω τοῖς ἡμαρτηκόσιν; ἢ ἐν πνεύματι πραΰτητος καὶ ὡς
ἐν ἀγάπῃ προσενεχθεὶς παραδράμω σεσιγηκώς; ἀλλ' ἦν
ἄμεινον αὐτοῖς ἡ ἐπίπληξις ἅμα κόπτουσα τὸ δεινὸν καὶ τὸ
ῥᾴθυμον καὶ τῆς τοιαύτης παρανομίας τὴν ἐπιχείρησιν· περὶ
ἧς καὶ ἡ θεόπνευστος ἔφη γραφὴ περὶ τῶν ἐξ Ἰσραὴλ διὰ
φωνῆς Ἰωὴλ "Καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς Amos ii. 7.
"τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ
"Θεοῦ αὐτῶν." ταύτην φησὶ τὴν πορνείαν οὐδὲ ἐν τοῖς ἔθνεσιν cap. v. 1.
ἔστιν ἀκοῦσαι· Θησέα γὰρ ἠκηκόει που κατὰ τὸ εἰκὸς τεθηγ-
μένον ἐπὶ τῷ ἰδίῳ παιδὶ, ἐπαρασάμενόν τε αὐτῷ, καὶ δὴ καὶ
ἀπεκτονότα διαβεβλημένον ἐκ μητρυιᾶς· καὶ ἑτέρους τινὰς
ἐπὶ τοιοῖσδε αἰτιάμασι ταῖς τῶν ποιητῶν εὐστομίαις κατε-
σκωμμένους.

Παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός. Κεφ. ε΄. 5

Ἀπέδειξε δι' ὧν τὸν πεπορνευκότα δέδωκεν εἰς ὄλεθρον
τῆς σαρκὸς ἵνα τὸ πνεῦμα σωθῇ, τί ἐστιν "Οὐκ ἐν λόγῳ Supra iv. 20.
"ἀλλ' ἐν δυνάμει ἡ βασιλεία τῶν οὐρανῶν·" ἐξουσίας γὰρ

2. ἀξιαγαστοῦ emendavi. ἀξια . . . τοῦ Mai et ita A. 8. δὲ A. 11. ἐπαγαγῶ A. 12. πραΰτητος habet et A. 15. τῆς om. A. 21. καὶ alt. assumptum ex A. 25. Scholion hoc assumptum ex H.

[55 M.] τῆς τεθαυμασμένης καὶ δοθείσης ἄνωθεν αὐτῷ μήνυσις ἐναργής. τετίμηκε γὰρ τοὺς ἁγίους ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός.

Κεφ. ϛ'. Κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;

Ἁγίους καλεῖ τοὺς ἡγιασμένους ἐν πνεύματι, ἀδίκους δὲ τοὺς οὔπω πεπιστευκότας ὡς ἑτοιμότατα λίαν πρὸς πᾶν ὁτιοῦν ἰόντας τῶν κακῶν· ἀνεπιτήδευτον γὰρ τῶν ἀτόπων οὐδὲν τοῖς οὔπω τὸν φύσει καὶ ἀληθῶς εἰδόσι Θεόν.

2 Οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν;

Κρινοῦσι δὲ αὐτὸν οὐ πάντη τε καὶ πάντως προκαθήμενοι δικασταί· "Εἷς γὰρ ὁ νομοθέτης καὶ κριτής·" ἀλλὰ τῇ τοῦ βίου σεμνότητι καὶ τῇ πρὸς πᾶν εὐπειθείᾳ μονονουχὶ καθορίζοντες τοῦ κόσμου τὴν ἁμαρτίαν, ὅτι μὴ γεγόνασιν αὐτῶν μιμηταί. μιᾶς μὲν γὰρ φύσεως οἱ πάντες ἐσμέν, εἰ καὶ μητέρα λαχόντες τὴν γῆν καὶ ἐν τούτοις τοῖς ἐπικήροις ὄντες σώμασιν, ἀλλ' εἰ γεγόνασίν τινες ἐξ ἡμῶν φιλόθεοί τε καὶ ἀγαθοί, ποῖος ἄρα λοιπὸν ἐπικουρήσει λόγος τοῖς τὴν ἀκλεᾶ καὶ ἐπάρατον ἑλομένοις ζωὴν ἐπὶ τοῦ θείου βήματος; ἐξὸν γὰρ ἐν ἴσῳ τοῖς ἄλλοις κατασεμνύνεσθαι, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἐθελονταὶ κεχωρήκασιν.

S. Jac. iv. 12.

3 Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά;

Ἀναγνωσόμεθα δὲ τὸν στίχον ὡς ἐν ἐρωτήσει καὶ ὑποστιγμῇ, ὡς κατὰ ἐρώτησιν ἀναγνωστέον τοῦτο καθ' ὑποστιγμήν Τίς γὰρ ὁ τολμῶν εἰπεῖν, ὅτι ἀνάξιοί ἐστε τῶν οὕτως εὐτελεστάτων κριτηρίων, οἱ τῇ τοῦ βίου λαμπρότητι κρίνοντες τὸν κόσμον; εἶτα καὶ λογισμὸν ἐπάγει τοῦ εἰρημένου τῇ τοῦ μείζονος παραθέσει συνιστῶν τὸ τοῦ λόγου βέβαιον. ἀγγέλους δὲ ὧδε οὐχ ἁγίους, τοὺς ἀποστάτας δὲ

9–p. 263, 7. Haec duo quae sequuntur scholia accesserunt ex H.

[55 M.]

μᾶλλον λέγει, τοὺς τὴν ἑαυτῶν ἀρχὴν οὐ τετηρηκότας, οἳ (S. Judae 6.) ἄνωθεν ὄντες καὶ σώμασι τοῖς ἀπὸ γῆς οὐ πεφορτισμένοι, κατακριθήσονται ὑπὸ τῶν ἁγίων κατὰ τὸν ἴσον τῷ κόσμῳ τρόπον διὰ τῆς τῶν ἁγίων ἐπιεικείας, ἐφ᾽ ἅπασι τοῖς αἰσχίστοις κατηγορούμενοι. εἰ οὖν ἀγγελῶν ἀμείνους οἱ ἅγιοι, πῶς ἀνάξιοι κριτηρίων ἐλαχίστων εἶεν ἂν τῶν ἐπὶ πράγμασι (Supra ver. 2.) κοσμικοῖς;

56 M.

Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε. 4

Μικρὸν κομιδῇ καὶ τοῦ μηδενὸς ἄξιον τοῖς ἄγαν ἐπιεικέσιν ἐν ἐκκλησίᾳ τὸ κρίνειν ἐστὶ τὰ βιωτικά· πεπαιδεύμεθα δὲ καὶ τοῦτο παρὰ τοῦ Κυρίου· προσῄει μὲν γάρ τις αὐτῷ λέγων "Διδάσκαλε εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ' (S. Luc. xii. 13, 14.) "ἐμοῦ τὴν κληρονομίαν· ὁ δὲ πρὸς αὐτόν "Ἄνθρωπε, φησὶ, "τίς με κατέστησε κριτὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;" πρέποι γὰρ ἂν μᾶλλον καὶ νουνεχεστέροις ἐν ἐκκλησίᾳ τὸ κρίνειν τὰ πνευματικὰ, τὸ βασανίζειν εὐτέχνως τὸν περὶ πίστεως λόγον· ἐνηρίθμηται δὲ τοῦτο τοῖς ἄνωθεν καὶ διὰ τοῦ Πνεύματος ἀγαθοῖς· δίδοται γάρ τισι λόγος σοφίας καὶ λόγος γνώσεως, (Infra xii. 8, 10.) ἑτέροις δὲ καὶ διάκρισις πνευμάτων.

Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; 15

Πῶς ἂν εἶεν μέλη Χριστοῦ τὰ ἡμῶν; ἔχομεν αὐτὸν ἐν ἑαυτοῖς αἰσθητῶς τε καὶ νοητῶς· κατοικεῖ μὲν γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ Πνεύματος, μετεσχήκαμεν δὲ καὶ τῆς ἁγίας αὐτοῦ σαρκὸς, ἡγιάσμεθά τε διττῶς· καὶ κατῴκηκεν

7. Scholion εἰ δὲ ἔτι—ὑπεροχήν in haec verba exhibet Maius e codice suo margine apponens "In marg. Ὠριγένους ὁμοίως καὶ Κυρίλλου," sunt autem S. Chrysostomi omnia, Hom. 16 ad loc. p. 138 c. 9. Μικρὸν γὰρ κομιδῇ incipit H. ἐπιεικέσιν] + καὶ ἀπολέκτοις H. 10. ἐκκλησίαις H. ἐστι τὸ κρίνειν inverso ordine H. Post βιωτικά, pergit ἀλλὰ τῶν πνευματικῶν πολὺν ποιεῖσθαι λόγον καὶ διακρίνειν ἐν βασάνοις τίς ἐν Ἁγίῳ Πνεύματι λαλῶν, λέγει Κύριον Ἰησοῦν, τίς δὲ ἐν βεελζεβοὺλ καὶ διὰ τοῦτο λέγων Ἀνάθεμα Ἰησοῦς. Quae cum incertum ubi ponenda, nota exhibui. 21. Inc. Μέλη χριστοῦ τὰ σώματα ἡμῶν ἐστιν, καθ' ὃ τὸν χριστὸν ἔχομεν ἐν H. 22. νοητῶς et αἰσθητῶς inter se transponit H. 23. τοῦ] + ἁγίου H. μετέχομεν H. 24. ἡγιάσμεθά τε διττῶς om. H. κατοικεῖ H. Statim οὕτως addit H.

[56 M.] ἐν ἡμῖν ὡς ζωὴ καὶ ζωοποιὸς, ἵνα τὸν τοῖς μέλεσιν ἡμῶν ἐπισκήψαντα θάνατον καταργήσῃ δι' ἑαυτοῦ· καὶ τοῦτο ἡμᾶς ἀπαλλάσσει φθορᾶς καὶ τῶν τοῦ θανάτου βρόχων καὶ ἀμείνους ποιεῖ παθῶν σαρκικῶν. καὶ δεχόμεθα τὴν ἄζυμον ἐν ἑαυτοῖς διδασκαλίαν τῶν θείων λογίων τὴν τρέφουσαν τὸ ἡγεμονικὸν, καὶ συζῶμεν Χριστῷ, δῆλον δὲ ὅτι πνευματικῶς, περιγενόμενοι τῶν τῆς σαρκὸς παθῶν. εἰ τοίνυν αὐτός ἐστιν
Col. i. 18. "ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας," ἡμεῖς ἄρα ἐσμὲν οἱ καθ' ἕκαστα μέλη· ὅταν οὖν εἰς ἀτόπους ἡδονὰς καταπίπτωμεν, τότε δὴ τότε πλημμελήσομεν εἰς αὐτὸν, οὗ καὶ γεγόναμεν μέλη· πόρνοις γὰρ ὥσπερ τὰ αὐτοῦ χαριούμεθα· τὰ μέλη αὐτοῦ μολύνονται τῇ ἁμαρτίᾳ καὶ πόρνης ποιοῦνται μέλη. ὥσπερ γὰρ ὁ γυναικὶ κολλώμενος ἓν πρὸς αὐτὴν ἔσται σῶμα, οὕτως καὶ ὁ Θεῷ συνδεσμούμενος νοητῶς ἓν πρὸς αὐτὸν
2 S. Pet. i. 4. ἔσται πνεῦμα· γεγόναμεν γὰρ "θείας κοινωνοὶ φύσεως," συνήφθημέν τε καὶ ἡγιάσμεθα διὰ τοῦ Πνεύματος ἐν Χριστῷ.

1. ζωὴ H. ζωῇ (sic) A. ζῶν Mai. ἵνα—ἑαυτοῦ om. H. 2–7. καὶ τοῦτο—παθῶν Haec accesserunt ex H. 7–11. εἰ—μέλη prius] Paullo aliter H. ἐπεὶ οὖν ὁ Χριστὸς κεφαλή ἐστιν τῆς ἐκκλησίας, πάντως ἡμεῖς οἱ καθ' ἕκαστα μέλη. ἐὰν οὖν πορνεύσωμεν, εἰς τὸν χριστὸν πλημμελοῦμεν, οὗ γεγόναμεν μέλη. 8. οἱ] τὰ emendat Migne, sed cum editis consonat H., cf. not. praec. 10. καὶ assumptum ex A. 11. χαρισόμεθα A. πόρνοις—χαριούμεθα non exhibet H. Quae sequuntur nobis suppeditat H. 14. Θεῷ edidi, Θεὸς aut H aut male transcribens ipse.

ΤΟΥ ΑΥΤΟΥ

ΚΥΡΙΛΛΟΥ

ΕΚ ΤΟΥ Γ ΤΟΜΟΥ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ.

Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός 18
ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.

ΦΑΙΗ τις ἂν Ὁ φονευτὴς, εἰπέ μοι, τίνα δὴ τρόπον ἐνεργήσει τὸν φόνον; ἆρ᾽ οὐ δι᾽ αἵματος; εἰ δὲ δή τις ἕλοιτο φιλοψογεῖν ἑτέρους, οὐ διὰ γλώττης ἐστὶ τοιοῦτος; εἶτα ποῖον ἔσται τῶν πλημμελημάτων ὃ δρῷτο ἂν, οὐχὶ διὰ τοῦ σώματος; ψευδοέπης οὖν ἄρα λοιπὸν ὁ πνευματοφόρος ἀναφανεῖταί που; μὴ γένοιτο· λαλεῖ γὰρ ἐν Χριστῷ, Χριστὸς δέ ἐστιν ἡ ἀλήθεια· ἔσται δὴ οὖν ἀληθής. εἰ τῇδέ πῃ τὸ χρῆμα διασκεπτόμεθα, εἴ τις ἕλοιτο τυχὸν σκαιὸς εἶναι τοὺς τρόπους, εἰς ἑτέρους που πάντως ἔσται τοιοῦτος καὶ οὐκ εἰς ἑαυτόν. ἀποκτενεῖ γὰρ ὁ φονευτὴς, οὐχ ἑαυτὸν, ἀλλ᾽ ἑτέρους, ὑβρίσει δὲ καὶ ὁ λοίδορος οὐχ ἑαυτὸν, ἀλλ᾽ ἑτέρους, ἀδικήσει δὲ καὶ ὁ πλεονέκτης οὐχ ἑαυτὸν ἀλλ᾽ ἐφ᾽ ἑτέρους, καὶ ἐφ᾽ ἑκάστῳ τῶν ἐκτόπων τινὰ τῶν δρωμένων τοιαύτην εὑρήσεις ὁδόν. οὐκοῦν κατὰ τόνδε τὸν τρόπον Πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. ἁλώσεται γὰρ ἀδικῶν αὐτὸ τὸ ἴδιον σῶμα,

1–3. Ita H. Cramero posui. 4–5. S. Scripturae versum quum non transcripsi ipse, e Scholion hoc quod sequitur nobis suppeditat H.

[56 M.] καὶ τίνα τρόπον, ἐρῶ. τὰ μέλη τοῦ σώματος ἡμῶν διὰ μὲν τῆς ἁγνείας Χριστοῦ μέλη μεμενηκότα, μεθέξουσι πάντως Phil. iii. 21. τῆς παρ' αὐτοῦ ζωῆς τε καὶ δόξης· "μετασχηματίσει γὰρ τὸ "σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς "δόξης αὐτοῦ·" εἰ δὲ δὴ γένοιτο πόρνης μέλη, πῶς ἂν λάβοι τὸν μετασχηματισμὸν καὶ τὴν τῆς πρὸς αὐτὸν συμμορφίας λαμπρότητα νοητήν; ἐγηγερμένων γὰρ τῶν ἀπὸ γῆς σωμάτων κατὰ τὸν τῆς ἀναστάσεως καιρόν (S. Matth. xiii. 43.) "Ἐκλάμψουσι μὲν οἱ "δίκαιοι ὡς ὁ ἥλιος," οἱ δὲ ἀσεβεῖς τε καὶ βέβηλοι καὶ βεβιωκότες ἐκτόπως, ἐγερθήσονται μὲν, οὐ μὴν ἔτι καὶ τὴν εὐκλεᾶ διαβιώσονται ζωὴν, ἀμέτοχοι δὲ μένουσι καὶ δόξης· Ps. i. 5. ἀναστήσονται γὰρ οὐκ "ἐν κρίσει οὔτε μὴν ἐν βουλῇ "δικαίων," ἀλλ' ἐπὶ ποινῇ καὶ δίκῃ, κατοιχήσονται γὰρ εἰς τὸ σκότος τὸ ἐξώτερον· πῶς γὰρ ἐν δόξῃ τὸ κολαζόμενον; προσεπάγει δέ τι καὶ ἕτερον, οὐκ ἀνικάνως ἔχον ἀναπεῖσαι μισεῖν τὴν ἐπάρατον τοῦ σώματος ἡδονήν.

Ἐπειδὴ καὶ ὁ φονεύων καὶ ἀτιμάζων καὶ λοιδορῶν, εἰ καὶ σώματι ποιεῖ τὴν ἁμαρτίαν, ἀλλ' ὅμως εἰς ἑτέρους αὐτὸ πράττει, τούτων τῶν τρόπων λέγεται Πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματος, ὁ δὲ πορνεύων αὐτὸ τὸ ἴδιον ἀδικεῖ σῶμα· τὰ σώματα Cf. supra. ἡμῶν δι' ἁγνείας μένουσι μέλη Χριστοῦ, καὶ μεταλαμβάνουσι τῆς παρ' αὐτοῦ ζωῆς καὶ δόξης· ἐὰν δὲ μολυνθῇ, στερεῖται τῆς τοιαύτης δόξης.

19 Οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματος.

Rom. viii. 15. Κατῴκηκε γὰρ ἐν ἡμῖν τὸ τῆς "υἱοθεσίας Πνεῦμα," τουτέστι τὸ Ἅγιον, "ἐν ᾧ κράζομεν Ἀββᾶ ὁ πατήρ·" ἠγοράσμεθα δὲ καὶ τιμῆς, τεθεικότος ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχὴν

1–7. τὰ μέλη—νοητήν exhibuit et Mai. 1. μὲν assumptum ex H. 3–5. μετασχηματίσει—αὐτοῦ om. H. 3. μετασχήματι εἰ (sic) A. Voluitne μετασχηματιεῖ? 5. δὴ om. A. 10. ἐκτόπως edidi. ἐκτόπων H. 15. ἀνικάνως ἔχον edidi. ἂν ἱκανῶς ἔχων Cod. 17. Hoc scholion nobis suppeditat H. 26. Hoc scholion exhibet et H. ὑμῖν (sic) A.

τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἐσμὲν οὖν ἄρα ναοὶ [57 M.] Θεοῦ ζῶντος, ἐναυλίζεται γὰρ ἡμῖν δι' Ἁγίου Πνεύματος [2 Cor. vi. 16.] Χριστὸς, ἔχων ἐν ἰδίᾳ φύσει καὶ τὸν ἐξ οὗ πέφηνεν οὐσιωδῶς Πατέρα καὶ Θεόν· ἔφη γὰρ αὐτός "Ἐάν τις ἀγαπᾷ με, [S. Joan. xiv. 23.] "τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐ"τὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ "ποιησόμεθα." ἀπέστω δὴ οὖν τῶν ἡμετέρων διανοιῶν ὡς ἀπὸ ναοῦ Θεοῦ ἡ κάκοσμος ἡδονὴ, ἀναφοιτάτω δὲ μᾶλλον καθάπερ ἐν τάξει θυμιαμάτων τῆς ἐγκρατείας ἡ εὐοσμία, καὶ παραστήσωμεν "τὰ σώματα ἡμῶν θυσίαν ζῶσαν, ἁγίαν, [Rom. xii. 1.] "εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν" ἡμῶν· ἠγοράσθημεν γὰρ "οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τιμίῳ [1 S. Pet. i. 18, 19.] "αἵματι," κατὰ τὸ γεγραμμένον· οὐκοῦν τῷ πριαμένῳ δουλεύσωμεν, αὐτῷ παραστήσωμεν ἑαυτοὺς εἰς ὑπακοὴν, "καὶ [Rom. vi. 13.] "τὰ μέλη ἡμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ·" γέγραπται γὰρ ὅτι "Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ [Supra ver. 13.] "Κύριος τῷ σώματι." ὅταν τοίνυν τηρῶμεν τὰ μέλη τοῦ σώματος, τὸν ἐκ τῆς φιλοσαρκίας οὐκ ἔχοντα μολυσμὸν, τότε καὶ ὁ Κύριος ἔσται τῷ σώματι· κατοικεῖ γὰρ ἐν ἁγίοις ἅγιος ὢν κατὰ φύσιν ὡς Θεός.

Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ. [Κεφ. ζ'. 8]

Ἐλαφροὶ καὶ εὐπάροιστοι κατεφωρῶντο λίαν εἰς πᾶν ὁτιοῦν τῶν σφίσι καθ' ἡδονὴν οἱ ἐξ Ἰσραήλ· ταύτῃτοι δικαίως τὸ χρῆναι γνωμοδοτεῖν παρῄρηντο νόμῳ· ἐπ' αὐτῶν [Deut. iv. 2.] γὰρ, φησὶν, οὐκ ἔστιν προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν· οἱ δέ γε τῶν εὐαγγελικῶν θεσπισμάτων εἰσηγηταὶ βεβηκότα τὸν νοῦν ἔχοντες εἰς τὸ ἀγαθὸν, καὶ αὐτὸν ἐν ἑαυτοῖς ἐσχηκότες λαλοῦντα Χριστὸν, ἐθαρσήθησαν εἰκότως

1. ἐσμὲν—ζῶντος om. H. Statim ἐνοικεῖ οὖν ἐν ἡμῖν ὁ χριστὸς διὰ τοῦ ἁγίου πνεύματος pro ἐναυλίζεται—Χριστὸς H. 4. Πατέρα] Pergit πρέπει οὖν τῷ θείῳ ναῷ λιτὰς καὶ δοξολογίας καὶ θυσίας διηνεκεῖς σώματος καθαροῦ καὶ ψυχῆς· ἀπέστω οὖν (7) H. 7. ὡς ἀπὸ ναοῦ Θεοῦ om. H. 8. δὲ H. Migne. δὴ Mai. Cr. 9. εὐοσμία desinit H.

[57 M.] ἐπ' ἐξουσίας ποιεῖσθαι πολλῆς τοὺς τῆς ὑφηγήσεως λόγους,
κἂν εἰ μή τι κέοιτο τῶν πρακτέων παρά γε τοῖς ἱεροῖς γράμ-
μασιν· τοιοῦτός τις ὑπάρχων καὶ ὁ θεσπέσιος Παῦλος Λέγω
δέ φησι τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνω-
σιν ὡς κἀγὼ, καὶ τὰ ἑξῆς· ἔνθα μὲν γὰρ οὐ θεῖος ἡμῖν νόμος
τό Λέγω τέθεικεν ἀναγκαίως· οὗ δὲ Χριστὸς ὁ προστάττων
ver. 10. ἦν, τό Παραγγέλλω φησὶ, προσεπάγων εὐθὺς τό Οὐκ ἐγὼ,
ἀλλ' ὁ Κύριος· τί δὲ ἄρα παρῶπται τῶν ἀναγκαίων νομοθε-
τοῦντι Χριστῷ; ἐπινοοῦσι δὲ τί τὸ ἄμεινον οἱ μυσταγωγοί;
καίτοι πῶς οὐκ ἀμαθὲς καὶ ἀπόπληκτον παντελῶς τὸ μὴ
ἀρτίως ἔχειν οἴεσθαι τὰ παρὰ Χριστοῦ; τί οὖν ἐροῦμεν;
οὐκ ἀπέφησεν τὸν γάμον τὸ εὐαγγελικὸν καὶ θεσπέσιον
58 M. κήρυγμα, ἐπιμετροῦντος οἶμαί που τοῦ Θεοῦ τῇ ἀνθρώπου
φύσει τὴν ἐντολήν· ἔφη γὰρ τοῖς πειράζουσι φαρισαίοις ὁ
S. Matth. xix. 3. Κύριος ἐρωτήσασιν αὐτόν "Εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυ-
Ib. 9. "ναῖκα αὐτοῦ" μὴ ἐπὶ πορνείᾳ, ὅτι ὁ ἀπολύων "τὴν γυναῖκα
"αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι."
Ib. 10. πρὸς ταῦτα λέγουσιν αὐτῷ οἱ μαθηταί "Εἰ οὕτως ἐστὶ τοῦ
"ἀνθρώπου ἡ αἰτία μετὰ τῆς γυναικὸς, οὐ συμφέρει γαμῆ-
Ib. 12. "σαί· ὁ δὲ εἶπεν αὐτοῖς Εἰσὶν εὐνοῦχοι οἵτινες ἐκ κοιλίας
"μητρὸς ἐγεννήθησαν οὕτως, καί εἰσιν εὐνοῦχοι οἵτινες εὐ-
"νουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καί εἰσιν εὐνοῦχοι οἵ-
"τινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν·
"ὁ δυνάμενος χωρεῖν χωρείτω." προὔθηκε γὰρ τοῖς ἐθέλουσι
κατορθοῦν, οὐ μὴν ὑπήγαγε νόμῳ, ὅτι μὴ πάντας ἠπίστατο
τῶν τῆς σαρκὸς κινημάτων κατευμεγεθεῖν δύνασθαι.

4. Inc. H. Ἄγαμαι τὸν μυσταγωγὸν καὶ κατατέθηπα λίαν τῆς ἐνούσης αὐτῷ σοφίας τὸ κάλλος, τῆς συνέσεως τὴν ὑπερβολὴν, τῆς μυσταγωγίας τὸ ἀκριβές· ἔνθα οὐ θεῖος ἦν νόμος (5) H. 6. ἀναγκαίως assumptum ex H. ὅπου pro οὗ H. 7. τὸ alt. om. H. 8. Κύριος] Pergit aliquanto diverse H. ὡς ἀδελφὸς μὲν οὖν ὑπάρχων καὶ ὁμόδουλος, συμβουλεύει, οὐ μὴν ὡς ἀτελῶς ἐχόντων τῶν εὐαγγελικῶν νόμων προστίθησι τὰ παρ' ἑαυτοῦ ὁ παῦλος. ὁ μὲν γὰρ εὐαγγελικὸς λόγος, εἰ καὶ τὰ μάλιστα λοιπὸν οὐκέτι τῆς παιδοποιΐας χρεία διὰ τὸ συνεσταλμένον καὶ ἐπ' ἐσχάτοις τοῦ παρόντος αἰῶνος ὡς δύσοιστον τὸ τῆς ἐγκρατείας παρῆκεν, ἵνα μὴ δόξῃ ὁ ζυγὸς αὐτοῦ καὶ τὸ φορτίον βαρύ· εἰ δὲ καὶ μὴ φανερῶς τοῦτο ἐπέταξεν, ἀλλὰ μακαρίσας τοὺς εὐνουχίσαντας ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἔδωκεν ἡμῖν νοεῖν ὅτι εἰ καὶ μὴ ἀνεῖλε τὸν τῆς παιδοποιΐας νόμον, ἀλλ' ἀποδέχεται τοὺς εὐνουχίσαντας ἑαυτοὺς διὰ τὴν βασιλείαν· οὐ μὴν καὶ ἐνομοθέτησεν τοῦτο, εἴασεν δὲ τοῖς ἐθέλουσι τοῦτο ποιεῖν, ὅτι (25) H. 26. Post δύνασθαι pergit ἐπήγαγε

[58 M.]

Καὶ τοῦτο εἰς ἅπαν ἔχει τι τοιοῦτον καὶ ἡ κατὰ νόμον σκιά· προστέταχε μὲν γὰρ τοὺς τῶν θυσιῶν ποιεῖσθαι τρόπους εἰς δόξαν Θεοῦ, τοῦτο μὲν ὑπὲρ ἁμαρτίας καὶ ἀγνοημάτων, τοῦτο δὲ εἰς καθαρισμὸν καὶ ἀπόῤῥιψιν ῥύπου, καὶ μὴν καὶ τὰς ἐν σαββάτῳ τὰς κατὰ νουμηνίαν, τὰς ἐν ταῖς ἑορταῖς· ἠφίει γεμὴν πρὸς τούτοις καὶ ἑκουσιάζεσθαί τινας, τουτέστι προσκομίζειν Θεῷ· τὰ ἑκούσια δὲ ταῦτα ἦσαν· τὰ ὑπὲρ τὸν νόμον, ὡς ἐξ ἀγαθῆς καὶ φιλοθέου φιλοτιμίας καρποί· ἀλλ' ἦν μὲν οὐ θέμις τῶν ἐν νόμῳ διατεταγμένων ῥᾳθυμῆσαι θυσιῶν· ἐπαίνου γεμὴν ἀξίους ἡγεῖτο Θεὸς τοὺς προστιθέντας ἐκείνοις τὰ οἴκοθέν τε καὶ ἀπὸ γνώμης ἰδίας. τοῦτό τι καὶ νῦν ἐξῳκονομῆσθαί φαμεν· οὐκ ἀπέφησε μὲν γὰρ ὁ Χριστὸς τὸ εἴπερ τις ἕλοιτο καὶ τῆς κατὰ νόμον ἅπτεσθαι κοινωνίας· κατορθοῦν δὲ τὸ μεῖζον ἡμᾶς ἀπείρξειεν ἂν οὐδὲν, εἰ τῆς εἰς λῆξιν εὐκλείας μεταποιεῖσθαι σπουδάζομεν. ἄριστα οὖν ὁ Παῦλος λέγει μὲν τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγὼ ἀλλ' ὁ Κύριος, καὶ τὰ ἑξῆς· παρακομίζει δὲ εἰς ὑποτύπωσιν τῆς ἐξειλεγμένης καὶ ἀπερισπάστου ζωῆς τὰ καθ' ἑαυτὸν, πάντως που τὴν ἀγαμίαν τοῦ ἑτέρου προθείς. οὐκοῦν εἰ καὶ ἀπεδύσατό τις τὸν τοῦ νόμου ζυγὸν, μενέτω φησὶν ἐν ἐγκρατείᾳ· κληρονομήσει γὰρ οὕτω τὴν τῶν οὐρανῶν βασιλείαν. καὶ πιστώσεται λέγων ὁ τῶν στεφάνων διανομεὺς "Τάδε λέγει Κύριος τοῖς εὐνούχοις Es. lvi. 4 5.

γοῦν Ὁ δυνάμενος χωρεῖν χωρείτω· ὅπερ εἰδὼς ὁ παῦλος τοῖς βουλομένοις τὴν τελειοτέραν πολιτείαν ψηλαφῆσαι παραγγέλλει τοῦτο, ὡς μὴ κωλυθὲν ἀπὸ Χριστοῦ, ἀλλ' ἐν τῇ τῶν βουλομένων γνώμῃ τεθέν. καὶ παράγει εἰς εἰκόνα τῆς ἐξειλεγμένης ζωῆς τὰ καθ' ἑαυτὸν τὴν ἀγαμίαν ὁ τιμῶν τοῦ γάμου καὶ τὴν μετὰ γάμον τὴν ἐγκράτειαν (sic)· καὶ συμβουλεύειν ταῖς χήραις μένειν καθαρὰ (sic) καὶ αὐτὸς ἅγιος καὶ καθαρὸς ταῖς τῆς σαρκὸς ἡδοναῖς οὐχ ἡττώμενος, δείξας ἀξιοπιστότερον τῆς ἐγκρατείας τὸν μισθόν. εἰ δὲ ἀσθενεῖ τις εἰς ἐγκράτειαν, ἐπιτρέπει τὸν ἐν Κυρίῳ γάμον, κρεῖσσον εἶναι λέγων τὸ γαμεῖν ἢ πυροῦσθαι. εἰ γὰρ μέλλοιέν τινες τῇ τῶν ἡδονῶν φλογὶ ἑαυτοὺς ἐκδοῦναι καὶ εἰς ἀσέβειαν ἐμπίπτειν διὰ τὸ μὴ δύνασθαι κατορθοῦν, βέλτιον ἐπικουρεῖσθαι τῷ νόμῳ καὶ ἀνεπίπληκτον ἔχειν τῆς ἀσθενείας τὸ φάρμακον, ἤγουν ὑποπλάττεσθαι μὲν τὴν ἐγκράτειαν, μὴ μὴν ἔτι καὶ δύνασθαι κατορθοῦν αὐτήν· Θεὸς γὰρ οὐ μυκτηρίζεται. ὀρθοπόδησον οὖν εὐσθενῶς εἰς ἐγκράτειαν ἤγουν ἐρυθριάσας οὐδὲν, ὁμολόγει διὰ τοῦ γάμου τὸ ἀσθενές· ἀποδέχομαι γὰρ νόσον συγγνώμης ἀξιουμένην ἢ ἀνδρείας δόκησιν πῦρ ἐχούσης τὸ τέλος. H. 12. τι A. τοι Ed.

[58 M.] "Ὅσοι ἂν φυλάξωνται τὰ σάββατά μου καὶ ἐκλέξωνται ἃ "ἐγὼ θέλω καὶ ἀντέχωνται τῆς διαθήκης μου, δώσω αὐτοῖς
59 M. "ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, "κρεῖσσον υἱῶν καὶ θυγατέρων ὄνομα αἰώνιον δώσω αὐτοῖς "καὶ οὐκ ἐκλείψει."

Οὐκοῦν τῆς ἐγκρατείας ἀξιόληπτος ὁ μισθός· τοῖς γεμὴν ἤδη τῷ γάμῳ κατειλημμένοις, ἀποφοιτᾶν οὐκ ἀφίησι τῆς ἅπαξ συνῳκισμένης, ἵνα μὴ θορύβων ἔμπλεων τὴν ὑπ' οὐρανὸν τὸ σωτήριον ἀποφήνῃ κήρυγμα· οὐκ ἐπαινοῦντος τὸ χρῆμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, εἰ καὶ ὁ νόμος
S. Matth. xix. 8. οἰκονομικῶς ἐφῆκε τοῖς ἀρχαιοτέροις τοῦτο ποιεῖν διὰ "τὴν "σκληροκαρδίαν αὐτῶν," καθά φησιν αὐτὸς ὁ Σωτήρ.

Ὅτι δὲ ἀσφαλέστεροί τε καὶ ἀλκιμώτεροι τῶν ἀρχαιοτέρων οἱ ἐν Χριστῷ, κἀντεῦθεν ἰδεῖν τοῖς ἐθέλουσι ῥᾷον· ὁ μὲν γὰρ νόμος τοῖς ἐξ Ἰσραὴλ ἀπέφησε τὸ δεῖν ἀλλοφύλοις συνιέναι τε καὶ γαμικῶς ἀναπλέκεσθαι· ἡμῖν δὲ ὁ
ver. 12. Παῦλος Εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον, καὶ τὰ ἑξῆς. ἐκείνοις μὲν γὰρ ὁ νοῦς ἦν σαθρὸς καὶ σεσαλευμένος, ἡμεῖς δὲ οὐχ οὕτως· κεχρίσμεθα γὰρ εἰς υἱοθεσίαν τῷ Ἁγίῳ Πνεύματι καὶ κατῴκηκεν ἐν ἡμῖν ὁ Χριστός· βεβηκότες δὴ οὖν οὕτως πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν, δεδίαμεν κατ' οὐδένα τρόπον τὸ συνεῖναί τινι τῶν ἀπίστων ἔτι· τεθαῤῥήκαμεν δὲ μᾶλλον ὅτι σαγηνεύσομεν εἰς εὐσέβειαν, καὶ οὐχ ἡμεῖς τῆς ἐνούσης ἐκείνοις ἀμαθίας ἐσόμεθα θήραμα· καὶ εὐλογοῦμεν μᾶλλον τοὺς οὔπω πιστεύσαντας ἢ μολυνόμεθα παρ' αὐτῶν·
ver. 14. ἡγίασται γάρ φησιν ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί· οὕτως

4. κρείσσων A. (Alex.) [κρείττω (Vat.) sed κρεῖσσον S. Cyr. in S. Joan. 960 d]. 6. Inc. Τοῖς γεγαμηκόσιν οὐ συγχωρεῖ ἀποφοιτᾶν τῆς—θορύβου αἴτιον τοῖς ἀνθρώποις ἀποφήνῃ τὸ κήρυγμα οὔτε λύειν τὰ συνοικέσια· τὰ γὰρ βιβλία τῆς ἀποστασίας τὰ ὄντα καταρχὰς ὡς ἀσθενέσι τοῖς ἰουδαίοις συνεχώρησε διὰ μωσέως ὁ Θεός· οὐ μὴν ἡμῖν τοῖς ἐῤῥωμένοις ἐν πίστει θεοσεβείας. H. 10. ἡμῶν assumptum ex A. 11. τὸ pro τοῦτο A. 18 sqq. Paullo aliter H. Ὥσπερ διὰ τὸ ἐῤῥωμένον τῶν πιστῶν οὐκ ἐπιτρέπει λύειν τὸν γάμον καὶ ἄλλαις συνεῖναι, οὔτε ἀπίστοις συνοικεῖν κωλύει ὡς ὁ παλαιὸς νόμος διὰ τὸ ἀδρανὲς τοῦ νοῦ τῶν ἰουδαίων, οὕτω καὶ νῦν συγχωρεῖ τοῖς πιστοῖς συνεῖναι τοῖς (sic) ἀπίστοις γαμεταῖς, ὡς θαῤῥοῦσιν ὅτι μᾶλλον αὐτοὶ τὰς ἀπίστους μεταπείσουσι γυναῖκας, οὐ μὴν ὅτι μετατραπήσονται ἐπὶ τὸ χεῖρον καὶ ὅτι εὐλογοῦσι μᾶλλον τὰς συνούσας, οὐ μὴν μολύνονται παρ' αὐτῶν. 26–p. 271, 3. οὕτως—ῥύπον partim exhibet et H.

[59 M.]

εἰσὶν ἅγια καὶ τὰ τέκνα ὑμῶν, νικῶντος πάντως που τοῦ ἐν τοῖς πιστεύουσιν ἁγιασμοῦ τῶν οὔπω πεπιστευκότων τὸν ῥύπον. εἰ δὲ ὁ ἄπιστος χωρίζεταί φησιν, χωριζέσθω· οὐ δεδού- ver. 15.
λωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· οἰχέσθω γὰρ, εἰ δοκεῖ, τοῦ ἁγιάζοντος ὁ μεμολυσμένος, γνώμης ἰδίας ὀψώνιον ἔχων τὴν ἔν γε τούτῳ ζημίαν· ἀνυπαίτιος δὲ παντελῶς ὁ ταῖς θείαις ἑπόμενος ἐντολαῖς· εὐλογηθήσεται γὰρ ὡς εὐήνιος παρὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ.

Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τις 18
ἐκλήθη; μὴ περιτεμνέσθω.

Τινὲς ὡς εἰκὸς τῶν ἐκ περιτομῆς διελογίζοντο καθ' ἑαυτούς Πῶς ἐσόμεθα δεκτοὶ καὶ τὴν ἐν Χριστῷ ζωὴν τιμήσομεν, ἔχοντες ἤδη τὴν περιτομήν; δεήσει τάχα που καὶ

1. ἡμῶν A. πάντος Mai. πάντως correxi ex A et ita Migne. πάντως που om. H. Statim τοῦ ἁγιασμοῦ τῶν πιστῶν H. 4. Inc. Οἰχέσθω καὶ ἀπαλλαττέσθω τοῦ ἁγιάζ. H. 8. Θεοῦ pro τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ desinens H. 9. SS. Scripturae textum exhibui ex H. δοῦλος ἐκλήθης; μή σοι μελέτω Ed. Praemittit τοῦτο θεοδωρίτου καὶ κυρίλλου Cramer., sed errore: quum sub fine scholii praecedentis τοῦτο καὶ θεοδωρίτου exhibet A: deinde τινὲς ὡς εἰκὸς, κυρίλλου nomine in mg. ponens. Aliter H., qui tamen cum Editis contactus punctus habet. Λαλεῖ λοιπὸν ὡς πνευματικὸς ὁ ἀπόστολος, οὐκέτι τῶν τύπων ἀνεχόμενος μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν τουτέστι Χριστὸν, καὶ ὠφελεῖ Ἕλληνάς τε καὶ Ἰουδαίους, οὔτε τούτους ἀναγκάζων περιτέμνεσθαι, οὔτε τοὺς ἐν περιτόμους (sic) εἰς ἀκροβυστίαν τὴν τῆς σαρκὸς καταβιάζεσθαι φύσιν [ut p. 272, 2] παυομένης τῆς ἐν τύπῳ περιτομῆς, τῆς δὲ ἐν πνεύματι καὶ νοητῶς διὰ Χριστοῦ τελουμένης. ὅτι [legendumne τί] γὰρ ὄφελος περιτομῆς τῷ ἀσεβῶς ζῶντι, ὑποκείσθω τις ἀκρόβυστος ἀνὴρ, εἶτα τοῖς τῆς ἐπιεικείας ἐμπρέπων αὐχήμασιν· ἔστω δέ τις καὶ ἕτερος ἑβραῖος ἐξ ἑβραίων περιτετμημένος σαρκικῶς, ἀνόσιος δὲ τοὺς τρόπους καὶ ἀρρωστήσας πολὺ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων δυσκλεᾶ καταφοίτησιν· τίς οὖν ἐν ἀμφοῖν ὁ θαυμάζεσθαι πρέπων; ἀλλ' οἶμαί που φαῖεν ἂν τιμᾶσθαι προσήκειν οὐ περιτομὴν ἀσχήμονα μᾶλλον, ἀλλ' ἐνούσης ἀρέτης τὴν ἀκροβυστίαν. ἀληθεύει οὖν ὁ μυσταγωγὸς εἰ λέγοι Ἡ περιτομὴ οὐδέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν. δεῖ οὖν τὸν κεκλημένον ἐν τῇ κλήσει μένειν ᾗ κέκληται, τουτέστιν, ὅπως ἀνέχοι σχήματος [ut p. 272, 13], εἴτε ἀκρόβυστος εἴτε περιτετμημένος. εἶτα ἐπειδή τινες [ut p. 273, not. 5] ἀκούοντες ὅτι ἡ πίστις ἐλευθεροῖ καὶ υἱοθεσίας ἀξίωμα χαρίζεται, ἀπεπήδων τῶν τῆς δουλείας ζυγὸν, παραγγέλλει ὁ παῦλος μὴ τοῦτο ποιεῖν, ἀλλὰ μᾶλλον ἐμμένειν τῇ κατὰ σάρκα δουλείᾳ· εἰ καὶ διὰ τῆς πίστεως ἐκλήθης, φησὶν, εἰς ἐλευθερίαν [legas ἐλευθέραν] υἱότητα κἂν εἰ θείας φύσεως γέγονας κοινωνὸς [ut p. 273, 13]· οὐ γὰρ ἄμισθος ὁ ἐπὶ τῇ δουλείᾳ πόνος· ὁ μὲν γὰρ Δημιουργὸς ἐλευθέραν οἶδε καὶ πεποίηκε τὴν φύσιν [ut p. 273, 15] παρεισδῦσα δὲ πλεονεξία τὴν ἐλευθερίαν ἐλυμήνατο· ὅμως δεῖ ὡς ἐπωφελῆ καὶ ἔμμισθον στέργειν αὐτήν, ὅπου γε παρὰ τῷ Θεῷ τὸ ἐλεύθερον ἐφ' ἅπασι σώζεται. ἄλλως τε οὔτε ἐνδέχεται φυγεῖν ἡμᾶς τοὺς ἀνθρώπους τὸ δοῦλον· δοῦλον γὰρ ἅπαν ἐστι τὸ πεποιημένον [ut p. 274, 17]· οὐκοῦν κἂν εἰ δύναιό φησιν ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· καὶ γάρ ἐστιν οὐκ ἀκερδὴς ὁ ζυγὸς τοῖς ἀγαθῇ κεχρημένοις εὐνοίᾳ, οὐδὲν ἀδικεῖ πρὸς ἀρετὴν ἡ κατὰ σάρκα δουλεία.

[59 M.] ἐπισπᾶσθαι, τουτέστι παλινδρομεῖν εἰς ἀκροβυστίαν, καὶ
τὴν τῆς σαρκὸς καταβιάζεσθαι φύσιν· οἱ γε μὴν ἐξ ἑλληνικῆς
ἐρχόμενοι πλάνης, παρὰ τῶν ἔτι τὴν ἐν νόμῳ τιμώντων
σκιὰν τάχα που μανθάνοντες, ὡς ἔστι χρῆμα τίμιον ἡ περι-
60 M. τομὴ, καὶ πᾶσιν ἁγίοις τετηρημένον, καίτοι τὴν πίστιν ἔσθ'
ὅτε παραδεξάμενοι, ἐπετελοῦντο σαρκὶ, καθάπερ ἀμέλει καὶ
τῶν ἐν Γαλατίᾳ τινὲς, οἷς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιπλήτ-
Gal. iii. 3. τει λέγων "Ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖσθε;"
ἔδει τοίνυν σαφεῖ καὶ ἐναργεστάτῳ κηρύγματι τῆς ἀληθείας
αὐτοῖς ἀνευρῦναι τὴν ὁδὸν, καὶ ὡς ἡ περιτομὴ οὐδέν ἐστι τῶν
ἄλλων ἐντολῶν τοῦ Θεοῦ ἐστερημένη· ὁμοίως δὲ καὶ ἡ ἀκρο-
βυστία οὐδέν ἐστι μὴ εὐαγγελικῷ βίῳ κεκοσμημένη.

Προσήκει τοίνυν τὸν κεκλημένον ἐν τῇ κλήσει μένειν ὅπως ἂν ἔχοι σχήματος· μέτεισι δὲ ἀναγκαίως ἐπὶ τὸ χρῆναι πάλιν δυσφημίαν ἑτέραν μονονουχὶ ἀποσοβεῖν τοῦ θείου κηρύγματος· πνεῦμα μὲν γὰρ δουλείας ἦν ἐν τοῖς ὑπὸ νόμον· τὸ δὲ θέσπισμα τὸ εὐαγγελικὸν, τῆς υἱοθεσίας τὸ πνεῦμα τοῖς πιστεύειν ἐθέλουσιν ἐνίεσθαί φησιν, καὶ οὐκ ἔτι καλοῦν εἰς δουλείαν, ἀλλ' εἰς ἐλεύθερον ἀξίωμα.

16. τὸ δὲ θέσπισμα τὸ εὐαγγελικὸν τῆς edidi ex A. τί δὲ θέσπισμα τὸ εὐαγγελικόν; τῆς Ed. 18. καὶ assumptum ex A.

ΤΟΥ ΑΥΤΟΥ

ΕΚ ΤΟΥ Δ ΤΟΜΟΥ ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΚΥΡΙΛΛΟΥ.

Δοῦλος ἐκλήθης; μή σοι μελέτω. 21

'ΕΠΕΙΔΗ *τινες τῆς τοῦ Ἁγίου Πνεύματος ἀξιούμενοι χάριτος, τὸν τῆς κατὰ σάρκα δουλείας ἀπεσείοντο ζυγὸν, ἐπιστέλλει μὲν καὶ δι' ἑτέρων "Μόνον μὴ τὴν ἐλευθερίαν εἰς "ἀφορμὴν τῇ σαρκὶ," καταγοητεύει δὲ ὥσπερ καὶ διὰ τούτων αὐτοὺς ἀστειότατα λέγων Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι κἂν εἰς τὸν τῆς δουλείας τῆς κατὰ σάρκα ζυγὸν ἐπηρτημένον ἔχων ἐκλήθης διὰ τῆς πίστεως εἰς ἐλευθέραν υἱότητα, κἂν εἰ τῆς θείας φύσεως γέγονας κοινωνὸς, ἄμεινον ἔσο μικροψυχίας, οὐκ ἄμισθον εὑρήσεις τὸν ἐπὶ τῇ δουλείᾳ πόνον· οἶδεν μὲν γὰρ ἐλευθέραν τὴν φύσιν ὁ δημιουργός· πεποίηται γὰρ οὕτως παρ' αὐτοῦ· πλεονεξία δέ τις παρεισδραμοῦσά πως κατὰ καιροὺς τῷ τῆς ἐλευθερίας κάλλει διελυμήνατο. δεῖ δὲ δὴ πάντως τοὺς πεπονθότας, ἀποφορτί-*

Gal. v. 13.

1–3. Ita emendavi ex H qui *α' τόμου* exhibet; *α'* pro *δ'* ut vid. scribente. 4. Haec exhibui ex Ed., qui ad scholion praecedens apponit. 5 sqq. Haec exhibeo ex H, qui hic paullo plenior quam Catena e qua pulcherrima edidit Maius esse videtur. Inc. Ed. *οὐκοῦν κεκλημένοι διὰ τῆς πίστεως εἰς ἐλευθερίαν τινὲς τὴν πνευματικὴν τῆς κατὰ σάρκα δουλείας ἀποφοιτᾶν ἐπεχείρουν οἷς καὶ δι' ἑτέρων ἐπιστέλλων, φησι.* 8, 9. *καταγοητεύει—ἀστειότατα*] *παραμυθεῖται δὲ αὐτοὺς καὶ διὰ τούτων αὐτῶν* Ed. 9, 10. *μὴ—χρῆσαι* retinui ex Ed. *καὶ τὰ ἑξῆς* H. 11. *εἰ* emendavit recte ut vid. Migne. *εἰς* H. Ed. *τῆς* alt. om. H. 13. *τῆς* om. H. 15–18. *οἶδεν—διελυμήνατο* accesserunt ex H. 18. *δὲ δὴ* H. *γὰρ* Ed. *πεπονθότας*] + *ἔκ τινος πλεονεξίας τὴν δουλείαν* Ed.

[60 M.] σασθαι τὸ κακὸν, μεταστοιχειοῦντος ἅπαντα πρὸς τὸ ἐν
2 Cor. v. 17. ἀρχαῖς τοῦ Χριστοῦ· καινὴ γὰρ κτίσις τὰ ἐν αὐτῷ καὶ οὔτε
Col. iii. 11. δοῦλος οὔτε "ἐλεύθερος ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσιν" αὐτός. καὶ γοῦν ὁ Ἡσαΐας τοῦ προσδοκωμένου καὶ τοῦ μέλλοντος ἔσεσθαι βίου τὴν κατάστασιν καὶ τὴν ἰσότητα τὴν
Es. xxiv. 2. παρὰ Θεῷ προανακέκραγεν λέγων "Καὶ ἔσται ὁ λαὸς ὡς "ὁ ἱερεὺς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ "κυρία." οὐκοῦν κἂν εἰ δύναιό φησιν ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· καὶ γάρ ἐστιν, ὡς ἔφην, οὐκ ἀκερδὴς ὁ ζυγὸς τοῖς ἀγαθῇ κεχρημένοις εὐνοίᾳ καὶ ὀρθῶς ἐν αὐτῷ διαγεγονόσιν· ἀδικήσει δὲ τὸ σύμπαν οὐδὲν τὸ νῦν ἐκ πλεονεξίας ἐπεῤῥίφθαι τισὶ τὴν κατὰ σάρκα δουλείαν, ἔσται ἂν ἅπασιν ἐν ἴσῳ τρόπῳ καὶ λόγῳ σώζηται τὸ ἐλεύθερον παρά γε τῷ τὰ δίκαια κρίνοντι καὶ τὰ καθ' ἡμᾶς ὁσίως ταλαντεύοντι Θεῷ. ἄλλως τε, φησὶν, οὐκ ἂν εἴη τῶν ἐνδεχομένων ἀνθρώπους ὄντας ἡμᾶς τὸ τῆς δουλείας ὄνομα φυγεῖν· δοῦλον γὰρ ἅπαν ἐστὶ τὸ πεποιημένον καὶ τοῖς θείοις ὑποφέρεται σκήπτροις πᾶν ὅπερ ἐστὶ κεκλημένον εἰς γένεσιν· ὥστε καὶ ὁ
ver. 22. δοῦλος ἀπελεύθερός ἐστι Χριστοῦ, δοῦλος δὲ πάντως καὶ ὁ
Ps. cxviii. 91. κεκλημένος εἰς ἐλευθερίαν, καθά φησιν ὁ ψαλμός "ὅτι τὰ "σύμπαντα δοῦλα σά."

61 M. Ἀποφαίνει γεμὴν ὁ μυσταγωγὸς καὶ καθ' ἕτερον τρόπον ὠφελουμένους Χριστῷ τοὺς δι' αὐτὸν σεσωσμένους· ταύτη
ver. 23. τοί φησι Τιμῆς ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· ἠγοράσμεθα μὲν γὰρ τιμῆς ὁμολογουμένως τεθεικότος ὑπὲρ

1. ἅπαντα] + κατὰ τὸν αἰῶνα τὸν μέλλοντα Ed. 2. Χριστοῦ H. κυρίου Ed. 2–6. Haec καινὴ—λέγων accesserunt ex H. ἐλευθέραν γὰρ τὴν φύσιν ὁ δημιουργὸς πεποίηται· καὶ οὕτως ἔσται ὡς ἔφην κατὰ τὸν αἰῶνα τὸν μέλλοντα Ed. 8. κυρία] + κατὰ τὴν Ἡσαΐου προφητείαν Ed. 11–15. Haec ἀδικήσει—Θεῷ nobis suppeditat H. 12. ἔσται ἂν Cod. Legendum ut vid. ἔστ' ἄν. 17, 18. Haec καὶ τοῖς—εἰς γένεσιν accesserunt ex H. 19. ὁ recte Ed. οὐ H. 20. ἐλευθερίαν desinit H. Verba ultima retinui ex Ed. 22. Scholion quod sequitur ex Ed. 25. Paullo aliter H. ἠγοράσθημεν τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ, καὶ ἐξῃρήμεθα τῆς τοῦ διαβόλου καὶ τῶν κοσμοκρατόρων πλεονεξίας, ἀπονιψάμενοι τὸν τῆς ἐκείνων σκαιότητος ῥύπον, καὶ κληθέντες εἰς ἐλευθερίαν διὰ Χριστοῦ. ὡς τῷ οὖν ἀγοράσαντι τὴν ἑαυτῶν ὀφείλοντες ζωὴν, μὴ γίνεσθε, φησὶ, δοῦλοι ἀνθρώπων· οὐ τοῦτο λέγων, μὴ δουλεύετε σαρκικὴν δουλείαν, ἀλλὰ μὴ δουλεύετε ταῖς νομικαῖς παρατηρήσεσιν, ἐπαινούσαις περιτομὴν καὶ τὸ τινῶν ἀπέχεσθαι βρωμάτων, ἀλλὰ τῷ ἀγοράσαντι ἡμᾶς οὐ φθαρτοῖς, τιμίῳ δὲ μᾶλλον αἵματι καὶ τοῖς αὐτοῦ νόμοις ὑποταττόμεθα (sic).

[61 M.]

ἡμῶν τὸ ἴδιον αἷμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἐξῃρήμεθα δὲ τῆς τοῦ διαβόλου πλεονεξίας, τῆς τῶν δαιμονίων ὠμότητος, κεκλήμεθα δὲ πρὸς ἐλευθερίαν διὰ Χριστοῦ. οὐκοῦν ὡς ἠγορασμένοι καὶ τῷ πριαμένῳ τὴν ἑαυτῶν ὀφείλοντες ζωὴν, μὴ γίνεσθέ φησι δοῦλοι ἀνθρώπων. καὶ οὔτι φαμὲν ὡς τῆς κατὰ σάρκα δουλείας ἀποπηδᾶν ἀναπείθει, διδάσκει δὲ μᾶλλον ἐκεῖνο καὶ μάλα ὀρθῶς μὴ δουλεύειν τοῖς ἀποφέρειν τοὺς πεπιστευκότας ἐπιχειροῦσιν εἰς νομικὴν παρατήρησιν, καὶ τῆς ἀρχαίας ἀπάτης ἐκχέουσι τὸν ἰὸν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς, καὶ ἡμέρας καὶ μῆνας ἐπιτηρεῖν ἀναπεί- Gal. iv. 10.
θουσι, καὶ τὴν καλουμένην ἐθελοθρησκείαν ἐπιτηδεύουσι, καὶ Col. ii. 23.
ἑτέροις ἑλέσθαι πληροῦν συμβουλεύουσιν. ἐπειδὴ τοίνυν, φησὶ, τιμῆς ἠγοράσθητε, καὶ "οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ 1 S. Pet. i. 18, 19.
"ἐλυτρώθητε, τιμίῳ δὲ μᾶλλον αἵματι ὡς ἀμνοῦ ἀμώμου "καὶ ἀσπίλου Χριστοῦ," τοῖς αὐτοῦ μᾶλλον ὑποταττώμεθα νόμοις.

Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. Κεφ. η΄.

Ἐπειδὴ οἱ πιστοὶ τῶν ἐν Κορίνθῳ ἦσαν πεπεισμένοι ὅτι Θεὸς κατὰ φύσιν εἷς καὶ μόνος, καὶ ὅτι τὰ εἴδωλα οὐ θεοὶ, καὶ κατεγέλων τῶν θυόντων αὐτοῖς λέγοντες οὐδὲν ὅλως εἶναι τὸ ἱερόθυτον, καὶ ἤσθιον ἀδιακρίτως ταῦτα οὐδένα μολυσμὸν ἐκ τούτου λογιζόμενοι· ἐσκανδάλιζον δὲ τοὺς ἀσθενεῖς τοὺς νομίζοντας μὴ προσκρούειν Θεῷ εἰ τὰς τῶν εἰδώλων τιμήσειαν ἑορτάς· τούτου χάριν ἀνακόπτει ταύτας ὁ Παῦλος, μονοτρόπους εἶναι θέλων τοὺς πιστοὺς μόνῳ τῷ παναγίῳ λατρεύοντας Θεῷ.

8. *παρατήρησιν* emendat Migne e notis Maii. *ἐπιτήρησιν* Ed. 14. *ἀμνοῦ* om. Cramer. sed habet A. 16. Hic addit *φησὶ τοὺς ἀγγέλους θεοὺς κατὰ χάριν κεκλῆσθαι ὥσπερ γὰρ εἴρηνται ἀρχαὶ καὶ ἐξουσίαι κυριότητες θρόνοι οὕτω καὶ θεοί* Migne e Maio sub calce Epistolae hujus p. 82, qui ex Oecumenio dat. Sed codices nostri praemittunt *ἐν ἀρχῇ τοῦ ἐνάτου λόγου τῶν κατὰ ἰουλιανοῦ*. 17. Septem quae sequuntur scholia nobis suppeditant H. S. Cyrilli expositionum tamen summa quaedam magis esse videntur quam verba ipsa.

4 sqq. Οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ.

Τοῖς ὅλως οὐκ εἰδόσι τὰ εἴδωλα, ἢ καὶ εἰδόσιν ἀκριβῶς ὅτι ξύλα εἰσὶ καὶ λίθοι ψιλὰ, *οὐδὲν εἴδωλον ἐν κόσμῳ*, οὐδὲ γὰρ ὅλως ἀξιοῦσι ταῦτα λόγου τινὸς, ἀλλ' οὕτω φρονοῦντες,
ver. 6. εἰς ἕνα πιστεύουσι Θεὸν καὶ Πατέρα *ἐξ οὗ τὰ πάντα*, καὶ εἰς ἕνα *Κύριον Ἰησοῦν Χριστὸν δι' οὗ τὰ πάντα*. ἔχοντος τὴν τῆς κυριότητος δόξαν τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τοῦ τεχθέντος ἐξ αὐτοῦ τὴν ὑπεροχὴν τοῦ τεκόντος αὐτὸν, ὡς ἐν ἰδίᾳ φύσει ὑπάρχοντός τε καὶ νοουμένου Θεοῦ, οὐ κατὰ μέθεξιν τὴν ἐν Πνεύματι *θεοὶ καὶ κύριοι* κέκληνται πολλοὶ, ἥνπερ γνῶσιν ὀλίγοι ἔχουσιν.

5 Ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί.

Κατὰ τὸ ἀξιωθῆναι τῆς τοῦ Ἁγίου Πνεύματος μετοχῆς, *θεοὶ καὶ κύριοι* κέκληνται πολλοί· καὶ τὴν μυστικὴν ταύτην γνῶσιν ὀλίγοι ἔχουσιν. οἱ μὲν γὰρ ἄπιστοι πολλοὺς ἔτι νομίζουσι θεοὺς, τινὲς δὲ καὶ τῶν εἰς Χριστὸν πιστευσάντων ὁλοτρόπως οὐκ ἀφίστανται τῶν τῆς εἰδωλολατρείας ἐθῶν.

7 Τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται.

Τῶν εἰς Χριστὸν πιστευσάντων τινὲς ὁλοτρόπως οὐκ ἀποστάντες τῆς εἰδωλολατρείας, *ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται*. ἀπὸ γὰρ ἀσθενοῦς ψυχῆς, ἴσως καὶ νομίζουσιν ὠφελεῖν αὐτοὺς τῷ μετασχεῖν ἱερῶν θυσιῶν ἀγγεύσασθαι καὶ βρῶσιν ποιεῖσθαι τὸ ἱερόθυτον. ἀναγκαῖον δὲ τοὺς ἀσθενεῖς πνευματικαῖς διδασκαλίαις ψυχαγωγεῖν, οὐ μὴν τὸ ἀδιαφόρως ἐσθίειν καὶ τοῖς ἀπίστοις συγκατακεῖσθαι.

3. ψιλὰ] Ita Cod. 9. οὐ] Ita Cod. legendum (ut videtur) οὗ.
23. ἀγγεύσασθαι] Ita Cod. estne pro ἀναγεύσασθαι?

Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται 9
τοῖς ἀσθενοῦσιν.

Ἀδιαφοροῦντες περὶ τὸ ἐσθίειν τὰ ἱερόθυτα καὶ συνανακεῖσθαι τοῖς ἀπίστοις ἐν τοῖς ἱεροῖς, σκανδάλου πρόφασιν ἐποιοῦντό τισι τῆς ἑαυτῶν ἑδραιότητος τὴν ἐπίδειξιν. δεῖ γὰρ οὐκ ἐφ' ἅπασιν οὔτε ἔξω καιροῦ καὶ ἀδιακρίτως τῇ τῆς πίστεως ἐξουσίᾳ κατακεχρῆσθαι, πάντα δὲ μᾶλλον εὐσχημόνως πρέποι ἂν γίνεσθαι πρὸς ἡμῶν.

Οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν 12
τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

Σκανδαλίζοντες ἀδελφοὺς, εἰς αὐτὸν πλημμελήσομεν τὸν ὑπὲρ τῆς ἁπάντων ἡμῶν σωτηρίας τεθνεῶτα Χριστὸν, οὗ τί ἂν γένοιτο τὸ ἰσοστατοῦν ἀδίκημα; ἀπόλλυται γὰρ ὁ ἀσθενῶν ἐν τῇ σῇ γνώσει, (ver. 11.) καὶ γέγονεν ἡμῶν ἁμαρτία τὸ ἀγαθὸν, καὶ σκάνδαλον ἀδελφοῖς ἡ τῆς πίστεως ἑδραιότης, καὶ βόθρος ἡ γνῶσις.

Παγχάλεπον τὸ πρᾶγμα· μόνον γὰρ οὐχὶ ταῖς τῶν ἀδελφῶν ἀσθενείαις ἐνάλλεσθαι καὶ οὐχὶ μᾶλλον ἐν σπουδῇ ποιεῖσθαι τὸ ἀσθενὲς αὐτῶν συνειδὸς ἐπιῤῥῶσαι· δεῖ γὰρ "μὴ (Rom. xiv. 13.) "τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον," ἐννοοῦντας τὸ γεγραμμένον "Μὴ καταφρονεῖτε ἑνὸς τῶν μικρῶν τούτων, (S. Matth. xviii. 10.) "ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον "τοῦ Πατρός." εἶτα πῶς οὐ παγχάλεπον καὶ πρὸς αὐτῶν ἡμᾶς κατηγορεῖσθαι τῶν ἁγίων ἀγγέλων, ὡς ταῖς ἀδελφῶν ἀσθενείαις μονονουχὶ καὶ ἐναλλομένους, καὶ οὐχὶ δὴ μᾶλλον ποιουμένους ἐν σπουδῇ τὸ ἀσθενὲς αὐτῶν ἐπιῤῥῶσαι συνειδός;

ΤΟΜΟΣ Δ ΛΟΓΟΣ Γ.

Κεφ. ι'. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν.

Παραγγείλας ὁ Παῦλος μὴ ἐσθίειν ἱερόθυτα τοῖς δῆθεν τελείαν ἔχουσι γνῶσιν, πειρᾶται λοιπὸν ἀναπείθειν ἐκ τῶν τοῖς ἀρχαιοτέροις συμβάντων, ὅτι τὸ χρῆμα οὐκ ἔστιν ἐπωφελες, ἀλλὰ μᾶλλον ἐπισφαλές, καὶ ὅτι τοῖς ἀδικεῖν εἰωθόσιν ἐπιπηδᾶν οὐκ ἀζήμιον· ἀποκομίζει γὰρ εἰς τὸ δρᾶν ἃ μὴ θέμις, καταδονουμένης εὐκόλως τῆς ἀνθρώπου διανοίας ἐφ' ἃ μὴ προσῆκε κατὰ βραχύ. δέχεται τοίνυν οὐκ ἀκαλλῆ τοῦ πράγματος εἰκόνα, μᾶλλον δὲ καὶ λίαν ἐμφερεστάτην, τὰ τοῖς ἐξ αἵματος Ἰσραὴλ συμβεβηκότα κατὰ τὴν ἔρημον· ἀποδεικνύοι δὲ καὶ μάλα γοργῶς, ὅτι τὸ συζῆν ἐθέλειν ἀπίστοις οὐδ' ἂν αὐτοῖς γένοιτο τοῖς ἐρηρεισμένοις ἀζήμιον. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐτελειοῦντο διὰ τῆς νεφέλης ἐν τῇ θαλάσσῃ, μέσης ἐπηρτημένης αὐτοῖς τῆς νεφέλης, μεσιτεύοντος Μωσέως, οἱ τῆς δουλείας ἀπηλλαγμένοι· ἔφαγον τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ, ἔπιον τὸ πόμα τὸ ζωοποιόν· πεπότικε γὰρ αὐτοὺς ὁ Χριστὸς αὐτὸς ὢν ἡ πέτρα· καὶ γάρ ἐστιν ἄθραυστος ὡς Θεὸς κἂν εἰ πέπονθεν ἑκὼν τοῦ θανάτου τὴν ἔφοδον. πνευματικοῦ δὲ πράγματος προανατυπώσεις εἶναί φαμεν τὰ τοιαῦτα· καὶ τί μετὰ τοῦτο τοῖς ἀρχαιοτέροις συνέβη; προσκεκρούκασι δὲ τίνα τρόπον; ἐβεβηλώθησαν ἐν Σαττὶ, λελατρεύκασιν εἰδώλοις, ἐτελέσθησαν τῷ Βεελφεγώρ. ἄθρει δὴ οὖν ὅπως οἱ ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ βεβαπτισμένοι, καίτοι φάγοντες τὸν ἄρτον τὸν ἐξ οὐρανοῦ καὶ πόμα πίοντες τὸ πνευματικὸν συνεπλάκησαν μὲν τοῖς εἰδω-

Num. xxv. 1–3.

1–3. Ita H. 4. In hoc scholio ordinem H. sequutus sum. Inc. *Προανατυπώσεις εἶναί φαμεν τὰ τοιάδε τῶν κατορθωμάτων*, et pergit *καὶ—ἔφοδον* [p. 279, 10–280, 3 et not.] *καὶ τί—γνωσθήσεται* [22–p. 279, 9] Ed., praeterea 4–19 nobis suppeditat H. 23. *ἐν σαττὶ* om. H. retinui ex Ed. 24. *βεελφεγώρ*] + *ἐπειδὴ γὰρ* Ed. 25–27. *ἄθρει—πνευματικὸν* accesserunt ex H. Statim *ἐνεπλάκησαν* H. 27. *μὲν* assumptum ex H.

[61 M.]

λολάτραις· ἐπειδὴ δὲ συνέστιοί τε ἦσαν αὐτοῖς, καὶ τραπέζης ἥπτοντο τῆς εἰδωλικῆς, εὐπαράφοροί τε ἦσαν εὐθὺς καὶ παρώλισθον εἰς ἀπόστασιν, καὶ συνεχόρευον γυναιξὶν "Καὶ Hos. iv. 14. "ὁ λαὸς συνιὼν συνεπλέκετο μετὰ πόρνης," κατὰ τὴν τοῦ προφήτου φωνήν· τοῦτο γάρ ἐστι τό καὶ ἀνέστησαν παίζειν· ἐπισφαλὲς οὖν ἄρα τὸ συνδιαιτᾶσθαι πονηροῖς καὶ ἀπίστοις· καὶ γοῦν ἔφη που Σολομῶν "Ὁ συμπορευόμενος σοφοῖς Prov. xiii. 20. "σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθή-"σεται."

Καὶ ἡμεῖς γὰρ πρὸ τῆς εἰς Χριστὸν πίστεως, ταῖς τῶν δαιμονίων πλεονεξίαις ὑπεζευγμένοι δεδουλεύκαμεν τῷ νοητῷ Φαραῷ, τουτέστι τῷ ἀρχεκάκῳ σατανᾷ· ἐπονοῦμεν αὐτῷ μάτην οἷα πηλῷ καὶ πλινθείᾳ τοῖς τῆς σαρκὸς ἔργοις ἐμβεβηκότες· ἐξείλετο δὲ καὶ ἡμᾶς ὁ "μεσίτης Θεοῦ καὶ ἀνθρώ- 1 Tim. ii. 5, 6. "πων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον "ὑπὲρ πάντων" διεβίβασε καὶ ἡμᾶς οἷά τινα θάλασσαν τοῦ παρόντος βίου τὸν κλύδωνα, τετελείωκε διὰ τοῦ ἁγίου βαπτίσματος· αὐτὸς γάρ ἐστιν ἡ ἄνωθέν τε καὶ νοητὴ νεφέλη, ἡ τοῦ ζῶντος ὕδατος τοῖς ἀγαπῶσιν αὐτὴν ποιουμένη τὴν χορηγίαν· ὕδωρ δὲ ζῶν τὸ Πνεῦμά ἐστιν· καὶ γοῦν ἔφη ὁ Χριστός "Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ S. Joan. vii. 38. "γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος "ζῶντος," διατρανῶν δὲ τὸ εἰρημένον ὁ θεσπέσιος εὐαγγελιστὴς, προσεπήγαγεν εὐθὺς τοῖς περὶ τούτου λόγοις "Τοῦτο δὲ εἶπεν περὶ τοῦ Πνεύματος οὗ ἤμελλον λαμβάνειν Ib. 39. "οἱ πιστεύοντες εἰς αὐτόν·" ἐφάγομεν καὶ ἡμεῖς ἄρτον ἀληθῶς τὸν ζωοποιὸν, ἐπίομεν πόμα τὸ πνευματικὸν, καθά- **62 M.** περ ἀμέλει κἀκεῖνοι τὸ ὕδωρ ἐκ πέτρας· ἡ πέτρα δὲ ἦν ὁ ver. 4.

1. ἐπειδὴ δὲ assumptum ex H. 2. εὐπαράφοροί—καὶ assumpta ex H. 3–5. καὶ συνεχόρευον—παίζειν retinui ex Ed. καὶ λελατρεύκασι τῷ βεελφεγὼρ H. 6. ἄρα assumptum ex H. 7–9. καὶ γοῦν—γνωσθήσεται desunt in H. 10–16. καὶ—καὶ retinui ex Ed. καὶ γὰρ ὄντας ἡμᾶς ὑπὸ τὸν νοητὸν φαραὼ ἀπήλλαξεν ὁ Χριστὸς καὶ διεβίβασεν H. 12. τῷ om. A. 18. τε om. H. 19–26. ἡ—καὶ ἡμεῖς] ἡ τὸ ζῶν ὕδωρ χορηγοῦσα ὅ ἐστι τὸ πνεῦμα. ἐφάγομεν H. 27. ἀληθῶς τὸν ζωοποιὸν] τὸν ζωοποιὸν τὸν ἐξ οὐρανοῦ H. τὸ assumptum ex H. ὡς pro καθάπερ ἀμέλει H. 28. ἐκ πέτρας ὕδωρ et δὲ πέτρα inverso ordine H.

[62 M.] Χριστὸς, ὃς καὶ ἡμῖν αὐτοῖς ἐκ τῆς ἰδίας πλευρᾶς ὕδατι συμμιγὲς τὸ ἴδιον συνανέβλυσε αἷμα, διανυττόντων αὐτὸν τῇ λόγχῃ τῶν τοῦ Πιλάτου στρατιωτῶν.

Πᾶσαν τὴν ἱστορίαν παράγει τὴν ἐν τοῖς ἀριθμοῖς διδάσ-
ver. 2. κων ὅτι ἐν τῇ νεφέλῃ καὶ τῇ θαλάσσῃ βεβαπτισμένοι, καὶ τῶν τροφῶν τῶν πνευματικῶν ἀξιωθέντες, ἐπειδὴ συνέφαγον τοῖς εἰδωλολάτραις, ὠλίσθησαν. τὸ δέ ἀνέστησαν παίζειν, ἀντὶ τοῦ πορνεύειν μετὰ τῶν μαδιανιτῶν γυναικῶν.

29 Συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ ἀλλὰ τὴν τοῦ ἑτέρου.

Διὰ τὴν συνείδησιν οὖν ἀφεκτέον ὧν ἀφεκτέον. συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ· γνωστικὴ γάρ· ἀλλὰ τὴν τοῦ ἑτέρου, ἵνα μὴ κακῶς οἰκοδομηθῇ ἀμαθίαν μιμούμενος ὃ μὴ γινώκῃ καταφρονητὴς ἀντὶ μεγαλόφρονος γινόμενος.

ΤΟΜΟΣ Δ ΛΟΓΟΣ Δ.

Κεφ. ια'. 3 Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν.

Ἐπειδή τινες τῶν ἐν Κορίνθῳ νεοπαγεῖς τὸν τῆς προσευχῆς ἀγνοοῦντες τρόπον εἰσοικισάμενοι μὲν τὴν πίστιν, οὐ μὴν ἔτι καὶ ἠκριβωκότες τίνα χρὴ τρόπον εἰς οἶκον ἰέναι Θεοῦ· προσῄεσαν μὲν προσευξόμενοι τῷ Θεῷ καὶ τὰς ὑπέρ γε σφῶν αὐτῶν προσκομίσαντες λιτὰς, εἶτα τοῦτο εὑρὼν ἐν ἀκαλλεστάτῳ σχήματι· ἄνδρες γὰρ τῶν ἐξ ἔθους περιβλημάτων οὐκ ἀπογυμνοῦντες τὰς κεφαλὰς ἐποιοῦντο τὴν πρόσοδον, γύναια δὲ ὁμοίως ἀκατασκίαστόν τε καὶ ἀναμφίε-

1. αὐτοῖς om. H. ὕδατι—αἷμα] ἀνέβλυσε τὸ ἴδιον αἷμα συμμιγὲς ὕδατι H. 3. στρατιωτῶν] + πέτρα δὲ λέγεται, ἐπειδή ἐστιν ἄθραυστος ὡς θεὸς κἂν εἰ πέπονθεν ἑκὼν τοῦ θανάτου τὴν ἔφοδον Ed. cf. supra p. 278, 20. 4. Hoc et sequens scholion nobis suppeditat H. 12. ὃ μὴ γινώκῃ ita Cod. 14. Ita H. 17–p. 281, 9. Ἐπειδή—ποίησιν suppeditat H.

[62 M.]

στον ἔχοντα τὴν τρίχα προσήεσαν τῷ Θεῷ, μονονουχὶ καταβοώσης ἀμφοῖν τῆς φύσεως· δεδώρηται γὰρ ἀνδρὶ μὲν τὴν παῤῥησίαν, αἰδοῖ δὲ τὸ γύναιον συστέλλει πρὸς εὐκοσμίαν. ἐπειδὴ δὲ ἦν ἀκόλουθον λογισμοῖς αὐτοὺς ἀναγκαίοις ἐκδυσωπεῖν εἴς γε τὸ δεῖν ἑλέσθαι φρονεῖν ἃ χρὴ, καὶ οἱονεί τινα βραβευτὴν τοῦ ἑκατέρῳ πρέποντος τὸν τῆς φύσεως ποιεῖσθαι νόμον, πειρᾶται ὁ Παῦλος ἐκ τοῦ φυσικοῦ νόμου πεῖσαι φρονεῖν ἃ χρὴ, καὶ ἄνεισιν ἐπὶ τὴν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου ποίησιν. κεφαλὴν ἐνθάδε φησὶ τὸ ἀρχέτυπον κάλλος, οὗ τὴν εἰκόνα καταπλουτούντων ὠνομασμένων ἕκαστον νοοῖτ' ἂν εἰκότως, καὶ οὐσιώδη πως τὸν τῆς εὐγενείας, εἴτ' οὖν ἑτέρως ὁμοφυΐας, διακληρώσασθαι τρόπον. γέγονε μὲν γὰρ ὁ πρῶτος ἄνθρωπος, τουτέστιν Ἀδὰμ, κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ· οὕτως γάρ που φησὶν ὁ τῶν ὅλων δημιουργός "Ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον." οὐκοῦν ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστὸς, ἀρχέτυπος μὲν ὡς Θεὸς, φύσεως δὲ νόμῳ τῆς καθ' ἡμᾶς καὶ ὁμοειδὴς ὅτε πέφηνεν ἄνθρωπος, καίτοι Θεὸς ὢν ὁ Λόγος, καὶ γοῦν υἱὸν ἑαυτὸν ἀνθρώπου κατονομάζεται πανταχοῦ καίτοι τὴν ἐκ Θεοῦ Πατρὸς γέννησιν ἀπόῤῥητον ἔχων· γέγονε λοιπὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν ἀνθρώπου τουτέστιν Ἀδὰμ ἡ γυνὴ, ἔκφυλος δὲ οὐδαμῶς, ὁμοφυὴς δὲ μᾶλλον καὶ ὁμοειδὴς αὐτῷ· καὶ τοῦτο αὐτὸς διωμολόγηκεν ἐναργῶς ὁ προπάτωρ Ἀδὰμ φήσας "Τοῦτο νῦν "ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου," καὶ τὰ ἑξῆς.

Cf. infra p. 282, 25 sq.

Gen. ix. 6.

Ib. ii. 23.

Ἐπειδὴ δέ τινες γενητὸν λέγουσι τὸν Υἱὸν, ὡς καὶ τὰ λοιπὰ κτίσματα, ὧν, φησὶν, ἐστὶ κεφαλὴ ὁ Χριστός· κεφαλὴ γὰρ παντὸς ἀνδρὸς ὁ Χριστός· διενθυμεῖσθαι δεῖ καὶ πρό γε

9. ἐνθάδε—ἀρχέτυπον] δὲ ὧδε τὸ ἀρχέτυπον λέγει H. 10–13. οὗ—Ἀδὰμ] οὗ καθ' ὁμοίωσιν γεγένηταί τινα. γέγονε μὲν οὖν ὁ Ἀδὰμ H. 10. καταπλουτούντων A. Mai. legendum ut vid. καταπλουτεῖν τῶν. 14. οὕτως—ἄνθρωπον om. H. 17. καὶ ὁμοειδὴς om. H. 18. ὁ assumptum ex A. deest in H. γοῦν—καίτοι assumpta ex H. 19. Πατρὸς om. H. 20. λοιπὸν assumptum ex H. καὶ—τουτέστιν] τοῦ H. 21. ἔκφυλος—αὐτῷ] ὁμοφυὴς καὶ ὁμοειδὴς αὐτῷ ἔκφυλος δὲ οὐδαμῶς H. Statim καὶ τοῦτο—ἑξῆς om. H. qui haec οὕτω κεφαλὴ γυναικὸς ὁ ἀνὴρ, ἀνδρὸς δὲ ὁ Χριστὸς, τοῦ δὲ Χριστοῦ ὁ Θεός eorum loco exhibet. 26–p. 282, 4. Ἐπειδὴ—ἐρῶ accesserunt ex H.

[62 M.] τῶν ἄλλων αὐτοὺς ὅτι τῆς βλασφημίας ἡ δύναμις, οὐ τῆς ἐφ' Υἱῷ θεωρίας ἅψεται μόνης, διελάσει δὲ ὥσπερ ἀσχέτῳ διάττουσα δρόμῳ καὶ εἰς αὐτὸν τὸν Πατέρα· καὶ τίνα τρόπον, ἐρῶ. εἰ γὰρ εἶναι γενητόν φασιν, καὶ τοῖς κτίσμασιν ἐναρίθμιον ἡγεῖσθαι πρέπειν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἐπείπερ ἐστὶ κεφαλὴ παντὸς ἀνδρὸς, πῶς οὐκ ἂν νοοῖτο κατὰ τὸν ἴσον τρόπον κτιστὸς καὶ πεποιημένος ὑπάρχειν καὶ αὐτὸς ὁ Πατὴρ, εἴπερ ἐστὶ κεφαλὴ τοῦ Υἱοῦ σχέσιν ἔχοντος οὐσιώδη τὴν
63 M. πρὸς ἡμᾶς, ἤτοι πρὸς κτίσματα; ὡς γὰρ αὐτοί φασι, πάντη τε καὶ πάντως ἡ κεφαλὴ τῷ λοιπῷ σώματι φυσικοῖς εἰς ταυτότητα συνδεῖται νόμοις· οὐκοῦν ὡς διὰ μέσου τοῦ Υἱοῦ, καὶ εἰς αὐτὸν ἥξει τὸν Θεὸν καὶ Πατέρα τὸ πρὸς πάντα ἄνδρα συγγενές· πῶς οὖν ἔτι τὴν τῶν γεγονότων ὑπερνήχεται φύσιν; ἢ τίνα ζητήσωμεν τὸν ὅλων Δημιουργόν; ἀλλ' οὐ ταῖς ἐκείνων ἀβελτερίαις ἑψόμεθα· πόθεν; ἀγένητον δὲ εἶναι πιστεύομεν ὡς ἐξ ἀγενήτου Πατρὸς τὸν ἐξ αὐτοῦ φύντα Λόγον· κεφαλὴν δὲ ὠνομάσθαι φαμὲν παντὸς ἀνδρὸς ὡς ἀρχέτυπον μὲν, ὡς ἔφην, ἐπειδὴ δὲ πέφηνεν ἄνθρωπος ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ ὡς ἀνθρώποις ὁμόφυλα
Eph. i. 22, 23. κατά γε τὸ ἀνθρώπινον εἰς "κεφαλὴν τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ
Col. i. 18. "τὸ σῶμα αὐτοῦ·" πρωτεύει γὰρ αὐτὸς ἐν πᾶσι κατὰ τὴν τοῦ Παύλου φωνήν.

4 sqq. Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ *κ.τ.λ.*

Ὁρᾷς ὅπως τοῦ ἑκατέρῳ πρέποντος βραβευτὴν ποιεῖται

4. γὰρ H. δὲ Ed. φασὶ γεννητὸν (sic) H. 10. φυσικοῖς assumptum ex H. 13, 14. πῶς—Δημιουργόν accesserunt ex H. Statim pergit partim se repetens, ἀνάγκη αὐτοὺς καὶ τὸν Πατέρα γενητὸν εἰπεῖν, ἐπείπερ εἴρηται κεφαλὴ τοῦ Χριστοῦ τοῦ ἔχοντος ὡς φασὶν σχέσιν πρὸς ἡμᾶς τὰ κτίσματα οὐσιώδη, καὶ διὰ μέσου τρόπον τινὰ τοῦ Υἱοῦ καὶ εἰς αὐτὸν ἥξει τὸν Θεὸν καὶ Πατέρα τὸ πρὸς πάντα ἄνδρα συγγενὲς καὶ ἀνάγκη λοιπὸν ἕτερον δημιουργὸν ζητεῖν παρ' ἐκεῖνον. διὸ ἵνα μὴ εἰς τὰς ἀτόπους ταύτας ἐκβῶμεν εἰκαιομυθίας, νοητέον ἀγένητον τὸν Υἱὸν ὡς (16). 14. ζητήσωμεν (sic) H. 16. Πατρός· κεφαλὴν δὲ ὡς ἀρχέτυπον παντὸς ἀνδρὸς ὠνομᾶσθαι καθ' ὃ φύει Θεός· ἐπειδὴ δὲ καὶ γέγονεν ἄνθρωπος καὶ εἰς κεφαλὴν τέθειται τῇ ἐκκλησίᾳ ἥτις H. 19. ὁμόφυλα ita ut vid. et A. 20. τῇ ἐκκλησίᾳ edidi ex H. τῆς ἐκκλησίας Ed. 21. πᾶσι, νοεῖται καὶ κατὰ τοῦτον τὸν τρόπον τῶν ἄλλων ἡ κεφαλή des. H.

[63 M.]

καὶ ὁριστὴν τὸν τῆς φύσεως νόμον; ἀνδράσι μὲν γὰρ ἡ
παῤῥησία πρεπωδεστάτη, γυναικὶ γεμὴν τὸ ἐγκαλύπτεσθαι
κόσμος· οὐκοῦν ὕβρις εἰς τὸ ἀρχέτυπον εἴη ἂν καὶ μάλα
εἰκότως, τῆς εἰκόνος τὸ ἀκαλλές· εἰ γάρ ἐστιν ἀνὴρ εἰκὼν καὶ ver. 7.
δόξα Θεοῦ, πεποίηται γὰρ κατὰ τὰς γραφὰς οὕτως, σωζέτω
Θεῷ τὴν πρέπουσαν παῤῥησίαν, ἀκατακάλυπτον ἔχων τὴν
κεφαλὴν, καὶ οὐκ ἐπιτιμώσης αὐτῷ τῆς φύσεως εἴς γε τὸ
ἐκκαλύπτεσθαι δεῖν· ἐλεύθερον γὰρ τὸ θεῖον καὶ πέρα μώμου
παντὸς, ἰδίᾳ τε δόξῃ καταπλουτοῦν καὶ τεθαυμασμένον. καὶ
εἴπερ ἐστὶν ἡ γυνὴ καθ᾽ ὁμοίωσιν ἀνδρὸς, καὶ εἰκὼν εἰκόνος,
καὶ δόξης δόξα, νομοθετεῖ δὲ αὐτῇ καὶ τὸ κομᾶν ἡ φύσις, τί
τὸ πρῶτον φιλονεικεῖ τὸ ὑστερίζον ἐν χάριτι; κατ᾽ εἰκόνα
μὲν γὰρ καὶ αὕτη καὶ ὁμοίωσιν Θεοῦ, πλὴν ὡς διὰ μέσου τοῦ
ἀνδρὸς, ὥστε κατά τι παραλλάττοι βραχὺ τὴν φύσιν· οὐ
γράψομαι αἰδοῖ περιστέλλουσαν, ὡς ἔνι, τὸ ζῷον καὶ στεφα-
νοῦσαν τῇ κόμῃ· τὸ γάρ τοι παῤῥησιάζεσθαι, γυναιξὶν οὐκ
ἀζήμιον. οὐκοῦν κατακαλυπτέσθω φησὶ διὰ τοὺς ἀγγέλους, ver. 10.
δῆλον δὲ ὅτι τοὺς ταῖς ἐκκλησίαις ἐνιδρυμένους παρὰ Θεοῦ.
οὐχ ὅτι πάσχουσί τι ἐν τῷ ὁρᾶν γυναῖκας· ἄνθρωποι μὲν
γὰρ τὸ παχὺ δὴ τοῦτο καὶ ἀπὸ γῆς ἔχοντες σῶμα, καὶ ταῖς
ἐμφύτοις ἡδοναῖς πρὸς τὰ αἰσχίω κατωθούμενοι, πάθοιεν ἂν
τὸ βλάβος, ταῖς γυναίων ὥραις ἐφ᾽ ἃ μὴ πρόσηκεν ἐρεθιζό-
μενοι· περὶ δέ γε τῶν ἁγίων ἀγγέλων, τί ἄν τις ἔχοι τοιοῦ-
τον ἢ νοεῖν ἢ φράσαι; ἅγιοι γάρ εἰσι καὶ ῥύπου παντὸς
ἀμείνους ὅτι καὶ ἔξω σαρκὸς λεπτοῖς τε καὶ νοητοῖς καὶ τοῖς
ὑπὲρ νοῦν τὸν ἀνθρώπινον κεχρημένοι σώμασιν· ἀλλ᾽ ὅτι
δυσφοροῦσι λίαν εἰ ἀμελοῖτο πρός τινος ὁ τοῦ πρέποντος
νόμος. πρέποι δὲ γυναιξὶ τὸ κατακαλύπτεσθαι· καὶ τούτου
μάρτυς ἡ φύσις· ἡ γὰρ κόμη φησὶν ἀντὶ περιβολαίου δέδοται ver. 15.

3. ἂν om. A. 17. Inc. κυρίλλου περὶ ἀγγέλων praemittens, κατακαλυπτέσθω διὰ H. 18. δῆλον δὲ ὅτι om. H. 19–26. οὐχ ὅτι—σώμασιν nobis suppeditat H. 26. τὸν ἀνθρώπινον emendavi. τῶν ἀνθρωπίνων H. ἀλλ᾽ ὅτι δυσφοροῦσι H. δυσφοροῦσι γὰρ Ed. 27. λίαν—νόμος] ὅταν ὁ τοῦ πρέποντος ἀμελοῖτο νόμος H. 28–p. 284, 1. πρέποι—πρέπον accesserunt ex H.

[63 M.] αὐτῇ. τηρείσθω τοίνυν καὶ ἐπ᾽ αὐτῷ τὸ πρέπον διὰ τοὺς εἰδότας ὑπὲρ ἡμᾶς τὴν τοῦ δημιουργήσαντος βούλησιν.

Χρῆται γεμὴν ὁ θεσπέσιος Παῦλος εὐτεχνίᾳ πάλιν ἑτέρᾳ· ἔφη μὲν γὰρ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ πεποιῆσθαι τὸν ἄνδρα· κατόπιν δὲ τῆς αὐτοῦ τιμῆς τε καὶ δόξης οἷον ἐῤῥί-
ver. 7. φθαι τὸ θῆλυ, διισχυρίσατο σαφῶς ἐπάγων τὸ ἑξῆς Ἡ γυνὴ
64 M. γάρ φησι δόξα ἀνδρός ἐστιν· οὐ γὰρ ἐκτίσθη ἀνὴρ διὰ τὴν
ver. 9. γυναῖκα ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα· εἶτα περιστέλλων εὖ μάλα
ἐφ᾽ οἷς ἦν εἰκὸς λυπεῖσθαι τὸ θῆλυ, προσεπάγει καί φησι
ver. 11. Πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρὸς οὔτε ἀνὴρ χωρὶς γυναικός. γέγονε
μὲν γὰρ ὁμολογουμένως ἐξ ἀνδρὸς ἡ γυνὴ, καὶ τοῦτό ἐστιν ἀληθές· εὕρηται γεμὴν εἰς ἀνδρὸς γένεσιν οὐκ ἀσυντελής· συνενεγκοῦσα δὲ ἄμφω πρὸς ἓν ἡ φύσις, ἀλλήλων ἐν χρείᾳ κατεστήσατο οἰκονομικῶς συνείρουσα πρὸς ἀγάπην· Θεὸς δὲ ὅτι τῶν ὅλων ἐστὶν ὁ δημιουργὸς, προσεμπεδοῖ λέγων
ver. 12. Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ, παρῆκται γὰρ εἰς τὸ εἶναι τὰ πάντα
διὰ Χριστοῦ.

1. διὰ τοὺς εἰδότας H. ὡς καὶ εἰδότες Ed. 2. βούλησιν] Hic desinit H. 9. Inc. Ἐπειδήπερ ἐκ τῶν προλεχθέντων πολὺ τοῦ ἄῤῥενος εἶπεν ἀπολείπεσθαι τὸ θῆλυ, ἵνα μὴ δυσφορῇ πρὸς ταῦτα τὸ θῆλυ, θεραπεύει αὐτὴν διὰ τοῦ εἰπεῖν Πλὴν H. 11. καὶ τοῦτό ἐστιν ἀληθὲς om. H qui pergit εὕρηται δὲ καὶ ἡ γυνὴ ἡ χρήσιμος εἰς ἀνδρὸς γένεσιν· ἡ γὰρ φύσις ἄπρακτον λοιπὸν οἶδεν τὸ ἕν, καὶ οἰκονομικῶς ἐν χρείᾳ κατέστησεν ἀλλήλων ἀμφοτέρους ἐν τούτῳ πρὸς ἀγάπην συνάγουσα· Θεὸς δὲ ὁ τῶν ὅλων ἐστὶν δημιουργός H.

ΤΟΜΟΣ Ε.

ΛΟΓΟΣ Α.

Οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν λέγει Ἀνάθεμα Ἰησοῦν κ.τ.λ. Κεφ. ιβ'. 3 sqq.

Ὁ ΚΥΡΙΟΣ ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπηγγέλλετο μὲν ἀπελθὼν πέμψειν ἡμῖν τὸν παράκλητον· προσετίθει δὲ τούτοις τό "Ἐκεῖνος ἐμὲ δοξάσει." συνίεμεν δὲ ἡμεῖς καὶ μάλα ὀρθῶς ὅτι δοξάζει Χριστὸν τὸ Πνεῦμα αὐτοῦ, καὶ σοφοὺς ἀποτελοῦν τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ αὐτὸν τοῖς ἁγίοις ἐνοικίζον δι' ἑαυτοῦ· ἔστι γὰρ ἐν ἡμῖν διὰ τοῦ Ἁγίου Πνεύματος· δοξάζει δὲ καὶ ἑτέρως, ἐνεργεῖ γὰρ τὰ εἰς δόξαν αὐτοῦ διὰ χειρὸς ἁγίων· εἰ δὲ δοξάζει τὸν Υἱὸν τὸ Πνεῦμα αὐτοῦ, πῶς ἂν εἰς αὐτὸν δυσφημήσειέν τις λαλῶν ἐν Πνεύματι; ἐρεῖ γὰρ μᾶλλον ὅτι Κύριος Ἰησοῦς. οὐκοῦν οἱ τῇ κτίσει συντάττοντες τὸν δι' οὗ τὰ πάντα παρῆκται πρὸς γένεσιν, ἀμέτοχοι παντελῶς εἶεν ἂν τοῦ Ἁγίου Πνεύματος· λέγουσι γὰρ ἐναργῶς Ἀνάθεμα Ἰησοῦς· οἱ δὲ ὁμολογοῦντες ὅτι Θεὸς καὶ Κύριος Ἰησοῦς, εὐσεβῶς ἐξ αὐτοῦ μαρτυρηθήσονται τοῦ πράγματος, ὅτι τῆς ἐπ' αὐτῷ θεοπτίας τὴν γνῶσιν μεμυσταγώγηνται διὰ Πνεύματος· "τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, "καὶ τὰ βάθη τοῦ Θεοῦ." εἰδὼς δὲ τὸ Πνεῦμα τὰ ἐν Θεῷ κεκρυμμένα, ταῖς τῶν ἁγίων αὐτὰ διαπορθμεύει ψυχαῖς, καὶ ἀπλανῆ καὶ ἀμώμητον αὐταῖς ἐνίησι γνῶσιν. καὶ τούτου

S. Joan. xvi. 14.

Supra ii. 10.

1, 2. Ita H. 4–11. ὁ—ἁγίων] Paulo aliter Ἐπειδήπερ ὁ κύριος ἐπαγγειλόμενος πέμπειν τοῖς ἁγίοις ἀποστόλοις τὸν Παράκλητον, ἐπήγαγεν Ἐκεῖνος ἐμὲ δοξάσει, οὕτω νοητέον τοῦτο, ὅτι ἡνίκα σοφοὺς ἀποτελεῖ ἐκείνους ἐν οἷς ἂν γένοιτο ἐνοικίζων δι' ἑαυτοῦ τὸν Χριστὸν ἐν ἐκείνοις, τότε δοξάζει τὸν Χριστὸν, δοξάζει δὲ καὶ οὗτος αὐτὸν ὅταν ἐνεργῇ διὰ τῶν ἁγίων τὰ εἰς δόξαν τοῦ Υἱοῦ. εἰ H. 11. αὐτοῦ om. H. 12. δυσφημήσῃ H. ἐρεῖ H. ἐρεῖς (sic) A. Ed. 14. δι' οὗ H. διὰ τοῦ Ed. πρὸς γένεσιν om. H. 15. πάντως εἰσὶν pro παντελῶς εἶεν ἂν τοῦ H. πνεύματος ἁγίου H. λέγουσι γὰρ—Ἰησοῦς assumpta ex H. 16. ὁμολογοῦντες ὅτι Θεὸς καὶ Κύριος hoc ordine H. ὁμολογοῦντες post Κύριος transponit Ed. Statim Ἰησοῦς accessit ex H. 17. Post αὐτοῦ pergit τοῦ πράγματος δηλονότι ἐξ αὐτοῦ τοῦ Πνεύματος μεμυσταγώγηνται τῆς ἐπ' αὐτῷ θεοπτίας τὴν γνῶσιν ita desinens H. 18. αὐτῷ edidi ex H. αὐτοὺς Ed. 20. τὰ prius om. A.

[64 M.] μάρτυς αὐτὸς ὁ θεσπέσιος Παῦλος προστιθείς τε καὶ λέγων ver. 4, 5. Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαι- ver. 6. ρέσεις διακονιῶν εἰσιν, καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ὥσπερ γὰρ οἱ τῶν ἐπὶ γῆς κρατοῦντες πραγμάτων, καὶ τοῖς τῆς βασιλείας ἐμπρέποντες θρόνοις, διαφόροις τιμαῖς τοὺς τῶν ἰδίων ὑπασπιστῶν στεφανοῦσι γνησιωτέρους, οὕτως ἡ ἁγία τε καὶ ὁμοούσιος Τριὰς τοῖς ἐξ ὑγιοῦς καρδίας καὶ φρενὸς ὁλοτελοῦς ἀγαπῶσιν αὐτὴν, ἀμφιλαφῆ διανέμει τῶν **65 M.** ἄνωθεν ἀγαθῶν τὴν κτῆσιν, δι' ἑνὸς τοῦ Πνεύματος ὡς διὰ Χριστοῦ παρὰ τοῦ Πατρός· πάντα γὰρ παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι.

7 sqq. Ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας *κ.τ.λ.*

Οἶδεν γὰρ οἶδεν καιροὺς τοὺς ἑκάστῳ πρέποντας τῶν Col. ii. 3. παρ' αὐτοῦ δρωμένων, "ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς "σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι," κατὰ τὸ γεγραμμένον· ποῖα γεμὴν χαρίσματα καὶ ποῖαί τινες αἱ διανομαὶ, καὶ μὴν καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα, διαλευκαίνει ver. 8. λέγων Ὧι μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· Eph. vi. 19. σοφίας δὲ λόγος, κατά γε τὸ αὐτῷ μοι δοκοῦν, ὁ "ἐν ἀνοίξει "τοῦ στόματος," ὁ πρόχειρός τε καὶ εὔρους καὶ ὡς ἀπὸ γλώσσης ἰὼν τῆς ἄγαν εὐτροχωτάτης. ἄλλῳ δὲ λόγος γνώσεως· εἰσὶ γὰρ τῶν ἐν ἡμῖν τινες, οἱ τὸ πρόχειρον μὲν εἰς λόγους οὐκ ἔχοντες, καὶ τοῦ φράζειν εὐκόλως δύνασθαι τὴν παῤῥησίαν οὐ κεκτημένοι, βαθεῖς γεμὴν ἄγαν εἰς σύνεσιν, νουνεχέστατά τε καὶ λίαν ἴσχνως τοῖς ἱεροῖς προσβάλλοντες λόγοις, καὶ μυσταγωγεῖν ἑτέρους οἷοί τε καὶ τὰ τῶν θεωρημά-

10. *κτίσιν* A. Inc. Ἡ *ἁγία Τριὰς πλουσίως καὶ ποικίλως χαρίζεται τὰς δωρεὰς δι'* H. 11. *τοῦ* utrumque om. H. 15–17. Partim citat et H qui exhibet *Οἶδεν γὰρ τοὺς πρέποντας καιροὺς τῶν γινομένων παρ' αὐτοῦ ὁ ἐν ᾧ—σοφίας.* 21. Inc. *Λόγος σοφίας ὁ κατά γε* H. 22. *ὁ* om. H. *καὶ ὡς—εὐτροχωτάτης* assumpta ex H. 24. *γὰρ* om. H. *μὲν* assumptum ex H. 25. *τὸ* pro *τοῦ* H. 27. *καὶ λίαν ἴσχνως* assumpta ex H. 28–p. 286, 6. *καὶ μυσταγωγεῖν—κἀκεῖνο* H. *καὶ οὗτος μέντοι ὁ λόγος κἀκεῖνος* Ed.

[65 M.] των ἀντικαταψιλοῦντες εὐκόλως. ἀλλὰ καὶ τῆς σοφίας ὁ λόγος καὶ μέντοι τῆς γνώσεως δι' ἑνὸς τοῦ Πνεύματος τοῖς ἑλεῖν ἀξίοις χορηγεῖται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ· λόγος γνώσεώς ἐστιν ὅταν τις οἶδε τὸν νοῦν τῶν θείων λογίων καὶ ἱκανὸς ἀναπτῦξαι νοήματα, εὐφραδῶς δὲ ταῦτα διδάξαι οὐ δυνάμενος. καὶ τοῦτο δὲ κἀκεῖνο δι' ἑνὸς τοῦ Πνεύματος τοῖς ἀξίοις χορηγεῖται παρὰ Πατρὸς δι' Υἱοῦ, ὃς διαιρεῖν λέγεται ver. 4. τὰς διακονίας· οὓς μὲν γὰρ τῶν ἁγίων ἀποστόλων διακηρύττειν ἐκέλευσε τοῖς ἐξ αἵματος Ἰσραὴλ τὸν τῆς πίστεως λόγον· ἑτέρους δ' αὖ ταῖς τῶν ἐθνῶν ἀπονενέμηκε χώραις. ἐνήργηκε δὲ καὶ τοῦτο διὰ τοῦ Ἁγίου Πνεύματος· καὶ γοῦν ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων γεγραμμένον εὑρήσομεν ὅτι "Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευ- Acta SS. Ap. xiii. 2. "όντων εἶπεν τὸ Πνεῦμα τὸ Ἅγιον Ἀφορίσατε δή μοι τὸν "Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι "αὐτούς·" τέθειται δὲ ὁ θεσπέσιος Παῦλος εἰς ἀποστολὴν ἐθνῶν, καὶ ταύτην ἔλαχεν τὴν διακονίαν· καὶ πιστώσεται γράφων αὐτός "Ἐφ' ὅσον μὲν οὖν ἐγὼ ἐθνῶν εἰμι ἀπόστολος, Rom. xi. 13. "τὴν διακονίαν μου δοξάζω." οὐκοῦν διανέμει μὲν ὁ Υἱὸς τὰς διακονίας, ἐνεργεῖ δὲ τὸ χρῆμα τὸ Πνεῦμα τὸ Ἅγιον μετ' ἐξουσίας· Πνεῦμα γάρ ἐστι τοῦ Υἱοῦ. ἀλλὰ καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα, τουτέστι τὰς διὰ τῶν ἁγίων θεοσημίας, ver. 10. ὁ αὐτὸς ἡμῖν ἀποπεραίνει Θεός· πάντα γάρ, ὡς ἔφην, παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι, καὶ ἐφ' ἅπασι τοῖς κατορθουμένοις ἡ ἁγία καὶ ὁμοούσιος Τριὰς δοξάζεται. ἄθρει γὰρ **66 M.**

6. τοῖς] + ἑλεῖν (cf. 3 supra) Ed. 7. παρὰ] + τοῦ Ed. 8. οὓς μὲν] τινας H. ἁγίων om. H. 8–10. διακηρύττειν—χώραις] τῷ Ἰσραὴλ κατὰ σάρκα, τινὰς δὲ τοῖς ἔθνεσι διακηρύττειν ἐκέλευσε τὸν τῆς πίστεως λόγον H. 11. καὶ prius assumptum ex H. 11–14. καὶ γοῦν—ἅγιον] λέγοντος H. 14. τὸν] + τε H. 15. τὸν om. H. 15–21. εἰς—υἱοῦ om. H. 22. τουτέστι om. H. 23. ὁ—Θεός] αὐτὸς ὁ Θεὸς ποιεῖ H. ὡς ἔφην om. H. 25. ἡ ἁγία H. ἡγίασται A. Ed. δοξάζεται] pergit aliquantulum diverse H: πίστιν δὲ ἐνταῦθα λέγει οὐ τὴν ψιλὴν γνῶσιν ἣν καὶ τὰ ἀκάθαρτα πνεύματα ἔχουσι πιστεύοντες ὅτι ἔστιν Θεὸς, ἀλλὰ πίστιν ὧδε νοητέον, οὐ μόνον τὸ πιστεῦσαι εἰς τὸν Θεὸν, ἀλλὰ καὶ τῷ ποιεῖν πάντα τὰ ἀρεστὰ αὐτῷ καὶ γνησίως αὐτὸν ἀγαπᾶν καὶ ἐρηρεῖσθαι κατὰ ψυχὴν καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ. εἰ γὰρ ἐν μόνῳ τῷ πιστεύειν ὅτι ἔστιν Θεὸς ἡ πίστις νοεῖται καὶ τοῦτο ἐν τάξει τῶν θείων λελόγισται χαρισμάτων, τί μὴ καὶ ἡμεῖς οἱ πεπιστευκότες τοῖς ὄρεσιν ἐπιτάττομεν μετακινεῖσθαι;

[66 M.] ὅπως ἄρχεται μὲν ἀπὸ τοῦ Πνεύματος ὡς ὄντος ἐν ἡμῖν καὶ τὴν τῶν θείων χαρισμάτων ἐνεργοῦντος διανομήν· ἀναβιβάσας δὲ τὸν λόγον ἐπὶ τὸν Υἱὸν, ὅς ἐστιν Υἱὸς κατὰ φύσιν, ἄνεισιν οὕτω λοιπὸν ἐπὶ τὸν Πατέρα, τὴν διὰ τοῦ Πνεύματος ἐνέργειαν διὰ μέσου τοῦ Υἱοῦ προσνέμων αὐτῷ.

9 sq. Ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι.

Πίστις ἐν τούτοις εἴη ἂν, καθάπερ ἐγῷμαι, ἡ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἑδραιότης καὶ ὧν ἂν βούλοιτο Θεός·
Heb. iii. 2. φαμὲν γὰρ οὕτω γενέσθαι πιστὸν "ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ" τὸν ἱεροφάντην Μωσέα· οὐ γὰρ τὸ χρῆναι πιστεῦσαι μόνον ὅτι φύσει καὶ ἀληθῶς εἷς ἐστι τῶν ὅλων Θεὸς, πίστις ἂν
Mic. vi. 8. νοοῖτο καὶ λέγοιτο, ἀλλὰ τὸ εὖ βεβηκέναι κατὰ ψυχὴν, "καὶ "ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ" κατὰ τὴν τοῦ προφήτου φωνήν· καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ
S. Luc. xvii. 5. προσῄεσάν ποτε τῷ Χριστῷ λέγοντες ἐναργῶς "Πρόσθες "ἡμῖν πίστιν." δίδοται δὲ πρὸς τούτῳ καὶ *χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι.* καί μοι πάλιν ἐπιτήρει λεπτῶς· τοῦ γὰρ Πνεύματος διανέμειν λεγομένου τὰ τῶν ἰαμάτων χαρίσματα, Χριστός ἐστιν ὁ διδούς· δέδωκε γὰρ τοῖς ἁγίοις
S. Matth. x. 1. ἀποστόλοις "ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε
Ib. 8. "ἐκβάλλειν αὐτά·" καὶ δὴ καὶ ἔφασκεν "Ἀσθενοῦντας θερα- "πεύετε, καὶ νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, καὶ δαι- "μόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε." αὐτοῦ δὲ
ver. 10. δὴ πάντως καὶ *τὰ τῶν δυνάμεων ἐνεργήματα, πλὴν ἐν Πνεύματι τῷ ἑνί·* οἷον ἔῤῥιψεν ὁ Μωσῆς τὴν ῥάβδον εἰς γῆν καὶ γέγονεν ὄφις, μετεσκεύασεν εἰς αἷμα τοὺς ποταμοὺς, ἐξήγαγεν ὕδωρ ἐκ πέτρας· τετελέκασι δὲ πλεῖστα ὅσα καὶ πέρα

χαρίσματα ἰαμάτων αἱ τῶν νόσων θεραπεῖαι, ἃς ὁ Χριστὸς διὰ τοῦ Πνεύματος ποιεῖ· δυνάμεων δὲ ἐνεργήματα, εἰσὶν αἱ θαυματουργίαι καὶ αἱ προφητεῖαι δὲ διὰ τοῦ Πνεύματος. διακρίσεις δὲ πνευμάτων εἰσὶν τὸ δύνασθαι διαγινώσκειν ποῖαι διδασκαλίαι εἰσιν αἱρετικῶν καὶ πλάνων, καὶ ποῖαι τῶν ὄρθως πιστευόντων. χαρίσματα (sic) δὲ τὸ λαλεῖν γλώσσαις ἴδικον (sic) καὶ ἐν καιρῷ καὶ χρείᾳ τισὶν οἰκονομικῶς (ut p. 289, 8) κεχορηγημένον. ἄλλοι δὲ οὐκ ἐλάλουν ἀλλ' ἑρμήνευον τὰ ἑτέραις λαλούμενα γλώσσαις· ἐνεργεῖ δὲ διαφόρως ἐν ἑκάστῳ τὸ Πνεῦμα τὴν τῶν χαρισμάτων διανομήν. et ita desinit H.

[66 M.]

λόγου καὶ θαύματος οἱ μακάριοι προφῆται· ταῦτα δὲ εἶναί φαμεν τὰ τῶν δυνάμεων ἐνεργήματα δι' ἑνὸς τοῦ Πνεύματος· ἀλλὰ καὶ προφητεύει τις ἕτερος, πλὴν οὐ δίχα τοῦ Πνεύματος· ἔχει δέ τις καὶ διακρίσεις πνευμάτων, πλὴν ἐν αὐτῷ τῷ Πνεύματι· ποίων δὲ πνευμάτων, εἴρηται πρότερον· διδόναι γεμὴν καὶ ἑτέροις ἰσχυρίζεται τὸ εἰδέναι γένη γλωσσῶν, καὶ μέντοι καὶ ἑρμηνείας· χάρισμα δὲ τοῦτό φαμεν ἴδιον καὶ ἐν καιρῷ καὶ χρείᾳ τισὶν οἰκονομικῶς κεχορηγημένον.

Ἀλλ' οἱ μὲν ταῖς γλώσσαις ἐλάλουν, καίτοι πρὶν οὐκ εἰδότες αὐτὰς, οἱ δὲ συνῆσαν διερμηνεύοντες καίτοι πάλαι τὸ οὖς οὐκ ἐντριβῆ τε καὶ ἐν ἔθει τῶν τοιούτων ἐχόντων τινῶν· δεδόσθαι γεμὴν ὁ θεσπέσιος Παῦλος τοῖς τὸ τηνικάδε διισχυρίζεται τὸ γλώσσαις λαλεῖν, οὐχ ὡς ἐν μοίρᾳ χαρίσματος, 67 M. ἀλλ' ὡς ἐν τάξει σημείου τοῖς πιστοῖς· καὶ δὴ καὶ προφητικὸν παρετίθει λόγιον οὕτως ἔχον "Ὅτι ἐν ἑτερογλώσσοις Infra xiv. 21. "καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' "ὡς πιστεύσουσιν." ἐνεργεῖ δὲ διαφόρως ἐν ἑκάστῳ τὸ Πνεῦμα τὴν τῶν χαρισμάτων διανομήν. ἵνα ὥσπερ, φησὶ, τὸ παχὺ δὴ τοῦτο καὶ ἀπὸ γῆς σῶμα συνέστηκεν ἐκ μορίων, οὕτω καὶ ὁ Χριστὸς ἤτοι τὸ σῶμα αὐτοῦ, τουτέστιν ἡ Ἐκκλησία, διὰ πολλῆς ἁγίων πληθύος εἰς ἑνότητα τὴν νοητὴν τελεωτάτην ἔχει τὴν σύστασιν. ταύτῃτοι καὶ ὁ θεσπέσιος Δαυεὶδ περιεστάλθαι φησὶν αὐτὴν "ἐν ἱματισμῷ διαχρύσῳ" Ps. xliv. 10. περιπεποικιλμένῳ, τὸ τῶν χαρισμάτων οἶμαι πολυειδὲς καὶ τίμιον ὡς ἔν γε τούτῳ σημαίνων.

Ὅτι τοίνυν ἔμελλον οἱ τῆς ὑφ' ἡλίῳ μυσταγωγοὶ γλώσσῃ

9–22. Haec citat et Catena in Praxapostolum Cramero edita e Cod. Coisl xxv. fol. 11 v [quem c signavi] et cod. Collegii Novi lviii apud Oxonienses [quem d signavi]. Titulus Τοῦ ἁγίου κυρίλλου ἐκ τῆς ἑρμηνείας τῆς πρὸς κορινθίους α' ἐπιστολῆς τόμου Β' [sic] c. 10. οἱ δὲ c.d. καὶ A. Ed. Haec τὸ οὖς et ἐντριβῆ τε καὶ accesserunt ex c.d. 11. ἐχόντων τινῶν c.d. ὄντες φωνῶν A. Ed. 12. τὸ τηνικάδε] τότε τὴν χάριν d. το τὴν plus dimidia linea lacuna c. 14. πιστοῖς habent A.c.d. δὴ c.d. τοι Ed. προφητικὸν] προτρεπτικὸν c.d. 16. ἑτεροχείλεσιν pro ἐν χ. ἑτ. c.d. 17. ὡς πιστεύσουσιν] οὕτως πιστεύσωσιν c. 18. ἵν' c. 22. τελειοτάτην c.d. ἔχει c.d. ἔχοι Ed. σύστασιν des.c.d. 24. περιπεποικιλμένῳ emendavi post Migne. περιεποικιλμένῳ A. Mai. 26–p. 290, 19. Haec nobis suppeditant c.d. καὶ μετ' ὀλίγα praemittente d. 26. ὅτι c. ὅτε d.

[67 M.]

τε ἁπάσῃ καὶ ἔθνει παντὶ προσλαλεῖν τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κήρυγμα, σημεῖον ἐδίδου τὰς γλώσσας αὐτοῖς· ἄνδρες ὄντες Γαλιλαῖοι καὶ τεθραμμένοι κατὰ τὴν Ἰουδαίαν, Ἑβραῖοί τε καὶ ἐξ Ἑβραίων, Μήδοις τε καὶ Πάρθοις, καὶ μέντοι καὶ Ἐλαμίταις, καὶ τοῖς ἐκ μέσης οἰκούσης ποταμῶν, Καππαδόκαις τε καὶ Αἰγυπτίοις, ταῖς αὐτῶν προσελάλουν γλώσσαις. καὶ διεπεραίνετο μὲν τὸ χρῆμα αὐτοῖς τῇ τοῦ Πνεύματος ἐνεργείᾳ καὶ χάριτι· γέγραπται γὰρ

Acta SS. Ap. ii. 3. ὅτι "ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς" καὶ τὰ ἑξῆς· ἀλλὰ τρόπος μὲν οἰκονομίας τὸ δρώμενον ἦν, συνίεσαν δὲ οὐ πάντες. ἐπειδὴ δὲ ἅπαξ ταῖς ἑτέρων γλώσσαις ἐλάλουν, ἐπίδειξιν ὥσπερ τινὰ τὴν διὰ τοῦ Πνεύματος ποιούμενοι χάριν, καὶ φιλοκομπίας ἀφορμὴν δεχόμενοι τὸ σημεῖον, ῥᾴθυμοι μὲν ἦσαν τὸ δεῖν τοῖς ὄχλοις τὰ ἐκ τῶν ἁγίων προφητῶν διαλέγεσθαι, καὶ τοῖς εὐαγγελικοῖς συναγορεύειν δόγμασιν, ὡς ἄνωθέν τε καὶ ἐκ πολλοῦ προκεκηρυγμένου· ἀποσεμνυνόμενοι δὲ ὡς ἐπὶ μόνῳ τῷ δύνασθαι γλώσσαις λαλεῖν, τούτου τε καὶ μόνου μεταποιεῖσθαι δεῖν ᾤοντο· καὶ τὸ πρᾶγμα ἦν ἐν σπουδαῖς ταῖς προυργιαιτάταις.

12 Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλὰ κ.τ.λ.

Ἡνώμεθα γὰρ ἀλλήλοις, σύσσωμοί τε γεγόναμεν ἐν Χριστῷ, συνεγείραντος ἡμᾶς καὶ μονονουχὶ συνδέοντος διὰ τοῦ ἑνὸς καὶ ἐν πᾶσιν Ἁγίου Πνεύματος, ὃ καὶ ἐν πόματος τάξει ζωοποιοῦ πεποτίσμεθα. καὶ γοῦν ἔφη Χριστὸς ὅτε πρὸς τὸ γύναιον ἐποιεῖτο τοὺς λόγους τὸ ἐπὶ τῇ πηγῇ τοῦ

S. Joan. iv. 13, 14. Ἰακὼβ "Ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς "δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται "ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον." ἔφη

Ib. vii. 38, 39. δέ που καὶ πρὸς Ἰουδαίους "Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς "εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν

16. τε d. τι c. 19. προυργιαιτάτοις c. 22. συνεγείραντος legere cod. suum adnotat Maius.

[67 M.]

“ὕδατος ζῶντος· τοῦτο δὲ εἶπεν, φησὶ, περὶ τοῦ Πνεύματος “οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.” καὶ μὴ θαυμάσῃς· εἰ γάρ ἐστιν αὐτὸς “ὁ ποταμὸς τοῦ Θεοῦ,” Ps. lxiv. 10. κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν, ὁ πλήρης ὑδάτων, ὁ χειμάῤ- Ib. xxxv. 9. ῥους τῆς τρυφῆς, ὃν ποτίζειν λέγεται τοὺς ἀγαπῶντας αὐτὸν ὁ Θεὸς καὶ Πατὴρ, πῶς οὐκ ἔδει τὸ Πνεῦμα αὐτοῦ πόμα τε καὶ ὕδωρ νοεῖσθαι τὸ ζωοποιόν; οὐκοῦν εἰς ἑνότητα κεκλημένοι διὰ τοῦ Πνεύματος, σύσσωμοί τε γεγονότες Χριστῷ, τῆς ἀγάπης τὸν σύνδεσμον τηρήσωμεν ἀῤῥαγῆ.

ΤΟΜΟΣ Ε ΛΟΓΟΣ Β.

Ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ *κ.τ.λ.* Κεφ. ιδʹ. 2 sqq.

Ἐξίστησιν αὐτοὺς τοῦ χρῆναι νομίζειν ὥς ἐστι δὴ μᾶλλον πρὸς εὐκλείας αὐτῆς τοῦ διερμηνεύειν τὰ προφητῶν, τὸ γλώσσαις λαλεῖν· προϋποκειμένων γὰρ ἐν ἡμῖν καὶ προτιμωμένων πίστεώς τε καὶ ἐλπίδος καὶ μὴν καὶ ἀγάπης τῆς εἰς Θεόν τε καὶ ἀδελφοὺς, ἥτις καὶ παντὸς τοῦ νόμου τὴν πλήρωσιν ἔχει, προσεπαγέσθω τὰ ἕτερα· τότε γὰρ τότε καὶ λίαν ἐπὶ καιροῦ καὶ αὐτῶν ἐσόμεθα τῶν παρὰ Θεοῦ χαρισμά- 68 M. των μεμεστωμένοι, καὶ τὰς διὰ τοῦ Πνεύματος καταπλουτήσομεν δωρεάς· τὸ προφητεύειν δύνασθαί φημι, τουτέστι τὸ διερμηνεύειν τὰ προφητῶν. ἐνηνθρωπηκότος γὰρ ἅπαξ τοῦ Μονογενοῦς, παθόντος τε καὶ ἐγηγερμένου, καὶ τῆς καθ’

10. Ita H. 12. Inc. Ἐπειδὴ μέγα ἐφρόνουν οἱ τὰ χαρίσματα τῶν γλωσσῶν λαβόντες καὶ τοῦτο μᾶλλον ἐχρῆντο φιλοκομπίας ἀφορμὴν δεχόμενοι τὸ σημεῖον, παρημέλουν δὲ τοῦ εὐαγγελικοῦ κηρύγματος· ἀποσεμνυνόμενοι δὲ ὡς ἔφην ἐπὶ μόνῳ τῷ δύνασθαι γλώσσαις λαλεῖν, τούτου τε καὶ μόνου μετὰ τὸ ποιεῖσθαι δεῖ (sic) ᾤοντο, διδάσκει ὁ Παῦλος ὅτι κρεῖσσον τοῦ λαλεῖν γλώσσαις τὸ δεῖν τοῖς ὄχλοις τὰ ἐκ τῶν ἁγίων προφητῶν διαλέγεσθαι καὶ τοῖς εὐαγγελικοῖς συναγορεύειν δόγμασι. προυποκειμένων (14) H. 14. καὶ προτιμωμένων assumpta ex H. 15. μὴν καὶ om. H. 16. τις assumptum ex H. 17. πλήρωσιν] παράκλησιν (sic) H. προσεπαγέσθω τὰ ἕτερα et γὰρ τότε—μεμεστωμένοι om. H. 19. καταπλήττομεν H. 20. φημι et τὸ alt. om. H. 21. ἐνηνθρωπηκότος—Μονογενοῦς] τοῦ γὰρ Μονογενοῦς ἐνηνθρωπηκότος H. 22. ἐγηγερμένου] ἀναστάντος H.

[68 M.] ἡμᾶς οἰκονομίας ἐκπεπερασμένης, ποίας ἦν ἔτι προφητείας
καιρὸς, ἢ ποίων ἔτι πραγμάτων ἡ προαγόρευσις; οὐκοῦν τὸ
προφητεύειν ἐν τούτοις εἴη ἂν ἕτερον οὐδὲν, πλὴν ὅτι καὶ
μόνον τὸ διερμηνεύειν δύνασθαι προφητείας· καὶ τοῖς ἀκροω-
μένοις ὡς ἔνι καταλευκαίνοντες, εἶτα πρὸς ἀλήθειαν τὸν
οἰκεῖον ἐξ αὐτῶν ἐμπεδοῦντες λόγον, ὀρθοί τε καὶ ἀπλανεῖς
ἐσόμεθα τῶν καλλίστων ἐξηγηταί. ὁ τοίνυν φησὶ γλώσσῃ
λαλῶν οὐκ ἀνθρώποις μᾶλλον ἀλλὰ τῷ Θεῷ προσλαλεῖ· πῶς
δὲ ἢ τινὰ τρόπον; οὐδεὶς γὰρ ἀκούει, φησίν· εἰ γὰρ δέδοται
τυχὸν τῷ μὲν δεῖνι τῶν μαθητῶν τὸ γλώσσῃ τῇ Μήδων
δύνασθαι λαλεῖν, ἑτέρῳ δὲ αὖ τῇ Ἐλαμιτῶν, εἶτα ταῖς
Ἰουδαίων προσδιαλέγοιντο συναγωγαῖς οἱ περὶ ὧν ὁ λόγος
ἤγουν ταῖς ἑλλήνων ἀγέλαις, τίς ὁ ἀκουσόμενος, ἢ ποία τῶν
λόγων ἡ ὄνησις ἔσται; συνήσει γὰρ οὐδεὶς, πλὴν μόνου τοῦ
πάντα εἰδότος Θεοῦ· τῷ γὰρ πνεύματι, φησὶ, λαλεῖ μυστήρια.
ἄθρει δὲ ὅπως ὁ Θεῷ λαλῶν πνεύματι λαλεῖ· Θεὸς οὖν ἄρα
τὸ Πνεῦμα. οὐκοῦν ὁ γλώσσῃ λαλῶν Θεῷ μᾶλλον, φησὶ, καὶ
ver. 3. οὐκ ἀνθρώποις λαλεῖ· ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκο-
δομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. συνιεὶς οὖν ὅτι τὸ
προφητεύειν ἐν τούτοις, τὸ διερμηνεύειν ἐστὶ τὰ τῶν προφη-
τῶν, δι' ὧν ὁ τῆς παρακλήσεως πιστοῦται λόγος καὶ ὁ τῶν
μυσταγωγουμένων χειραγωγεῖται νοῦς εἰς ἀλήθειαν τὴν ἐπὶ
Χριστῷ, προαποδείκνυσι καὶ ἑτέρως ἀσυγκρίτως ὃν ἐν ἀμεί-
νοσι τοῦ γλώσσῃ λαλεῖν, τὸ διερμηνεύειν τὰ προφητῶν·
ver. 4. ἑαυτὸν μὲν γὰρ οἰκοδομεῖ φησιν ὁ γλώσσῃ λαλῶν· συνίησι
γὰρ αὐτὸς, ἕτερος δὲ ὅλως οὐδείς· ὁ δὲ ταῖς τῶν ἁγίων προ-
φητῶν φωναῖς καὶ προῤῥήσεσιν εἰς μαρτυρίαν χρώμενος,

1. ἐκπεπληρωμένης H. ἐστὶν pro ἦν ἔτι H. 2. ἔτι H. ἔσται Ed. 4. καὶ] ἃς καὶ H. 5. εἶτα—λόγον om. H. 7. ἐξηγηταί desinit H. 9. Inc. Εἴ τινι τυχὼν (=τυχὸν) τῶν μαθητῶν ἐδόθη τὸ λαλεῖν λόγου χάριν γλώσσῃ τῇ Μήδων, ἑτέρῳ (11) H. 11–13. εἶτα—ἀγέλαις] εἶτα λαλοῦσιν μεταξὺ ἑλλήνων ἢ ἰουδαίων H. 14. ὄνησις] ὠφέλεια H. Statim ἔσται om. H. συνήσει] νοεῖ H. 15. φησι om. H. 16. ἄθρει δὲ ὅπως] εἰ οὖν H. οὖν om. H. 17. Πνεῦμα] pergit ἑαυτὸν οὖν μόνον οἰκοδομεῖ ὁ γλώσσῃ λαλῶν, συνιεὶς ἃ λαλεῖ [cf. infra] ὁ δὲ τὰ τῶν προφητῶν ἐξηγούμενος καὶ ταῖς προδιαγορεύσεσιν αὐτῶν εἰς (27) H. 23. Legendumne προσαποδείκνυσι? ὃν] ὃν ἂν (sic) A.

[68 M.]

ἐκκλησίαν οἰκοδομεῖ. μεῖζον οὖν ἄρα καὶ ἐν ὑπερτάτοις αὐχήμασι τὸ προφητεύειν ἐστὶν καὶ ἐν ἐλπίσι λαμπραῖς· εἴπερ ἐστὶν ἄμεινον ὁμολογουμένως τὸ ἐκκλησίαν οἰκοδομεῖν, τοῦ ἑαυτῷ τε καὶ μόνῳ προσδιαλέγεσθαι γλώσσῃ.

Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα 5
προφητεύητε *κ.τ.λ.*

Ἐπειδὴ παράδοξον ἦν καὶ θεόσδοτον ἀληθῶς τὸ δύνασθαι γλώσσαις ταῖς ἑτέρων λαλεῖν ἄνδρας ὄντας Ἑβραίους, ἵνα μή τις οἴηται τὸν ἀπόστολον καθορίζειν ἀβούλως τοῦ γεγο- 69 M. *νότος τὸ εἰκαῖον εἶναι λέγειν τὸ διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας δεδωρημένον, δέδοται γὰρ εἰς σημεῖον τοῖς πιστοῖς·* Cf. supra 289, 14. *ἀποδέχεται τὸ χρῆμα καί φησι Θέλω δὲ πάντας λαλεῖν γλώσσαις. ἀποκείρει δὲ παραχρῆμα σαφῶς τὴν ἔν γε τούτῳ σπουδὴν, καὶ μεθίστησι πρὸς τὸ ἄμεινον ἐπενεγκὼν εὐθύς Μᾶλλον δὲ ἵνα προφητεύητε, μείζονά τε τὸν προφητεύοντα τοῦ γλώσσῃ λαλοῦντος ἐναργέστατα λέγων· καταδείκνυσι δὲ οὐδὲ παντελῶς ἀνόνητον ἐκεῖνο τοῖς ἔχουσι καὶ τοῖς ἀκροωμένοις, ἐπιφέρων Ἐκτὸς εἰ μὴ διερμηνεύῃ, τουτέστιν εἰ μὴ ἔχοι τινὰ τὸν ἀεὶ προσεδρεύοντα καὶ τοῖς μυσταγωγουμένοις διερμηνεύοντα.*

ΤΟΜΟΣ Ε ΛΟΓΟΣ Γ.

Καὶ οὐδὲν αὐτῶν ἄφωνον. 10 sq.

Εἰσεφοίτων ἐν ταῖς ἐκκλησίαις τινὲς τῇ τοῦ Πνεύματος ἐνεργείᾳ πεπλουτηκότες τὸ δύνασθαι γλώσσαις λαλεῖν· εἶτα

1. *μεῖζον—λαμπραῖς*] *οὐκοῦν μείζων τὸ προφητεύειν* H. 3. *ὁμολογουμένως* om. H. 9. *οἰηθῇ* H. *ἀπόστολον—εἶναι*] *παῦλον τὸ τῶν γλώσσων ἐξουθενεῖν χάρισμα καὶ ἵκανον* (sic) *εἶναι* H. 10. *τὸ* prius] legendumne *καὶ*? cf. H. 11. *δέδοται—τοῖς πιστοῖς* et *τὸ χρῆμα* assumpta ex H. 12. *ἐπήγαγεν* pro *φησι* H. 13–18. *ἀποκείρει—εἰ μὴ* alt.] *ὅμως ἄμεινον λέγει τοῦ γλώσσῃ λαλεῖν τὸ προφητεύειν, πλὴν οὔτε τὸ τῶν γλώσσων εἰ καὶ ἀλλαχοῦ χρήσιμον τοῖς ἀκροαταῖς· ὅταν* H. 19. *διερμηνεύοντα*] + *καθὼς ἴσασιν λαλῆσαι καὶ ἀκοῦσαι οἱ μυσταγωγούμενοι* H. 20. Ita emendavi ex H., qui *τόμος γ λόγος ε* exhibet. 22–p. 294, 9. Haec nobis suppeditat H.

[69 M.] δέον τὰς ἐν αὐταῖς ποιεῖσθαι προσευχὰς, καὶ πρό γε τούτων λιτὰς ἤγουν ψαλμῳδίας, τῇ τῶν παρόντων γλώσσῃ κεχρῆσθαι δυναμένους, τοῦτο μὲν οὐκ ἔδρων, ἐναβρυνόμενοι δὲ τῷ τῶν γλωσσῶν χαρίσματι μόνῳ, οὔτε προσευχὰς ἢ ψαλμῳδίας ἐποιοῦντο· τοῦτο διδάσκει ὁ Παῦλος ὅτι ἐὰν μή εἰσιν οἱ ἀκούοντες ἐπιστήμονες τῆς γλώσσης, ᾗ διαλέγοιτο ὁ τὸ χάρισμα ἔχων, οὐδὲν ὄφελος ἐκ τοῦ πράγματος· μύρια γάρ εἰσιν ἔθνη καὶ πολλαὶ γλῶσσαι τῶν ἀνθρώπων· ἄφωνον δὲ οὐδὲν τῶν ἅπαξ τελούντων ἐν λογικοῖς ἢ ἐν ἀνθρώποις.

Ἄφωνον λέγει παντελῶς οὐδὲν τῶν τελούντων ἐν λογικοῖς ἤγουν ἐν ἀνθρώποις· ἀλλὰ τῆς ἑκάστου φωνῆς τὴν δύναμιν εἰ μή τις εἰδείη τυχὸν, μήτε μὴν ἐκεῖνοι τῆς αὐτοῦ γλώσσης
ver. 11. εἶεν ἐπιστήμονες, ἀλλήλοις ἔσονται βάρβαροι, καίτοι λαλοῦντες ὀρθῶς κατά γε τὴν ἰδίαν ἑκάστου φωνήν. δεῖ δὴ οὖν ἄρα τοὺς διδάσκειν ἑτέρους ἐθέλοντας, τὸν συνήθη τοῖς ἀκροωμένοις ἐρεύγεσθαι λόγον· εἰ δὲ ἄσημός τε ὁ φθόγγος ἦν καὶ ἀσυνήθης ἡ φωνὴ, πεποίηκε μάτην εἰκαίῳ τινὶ κτύπῳ προσαράξας μόνον τὴν τοῦ μανθάνοντος ἀκοήν.

Δεῖ, φησὶ, τοὺς διδάσκειν ἐθέλοντας, συνήθη τοῖς ἀκροωμένοις λαλεῖν λόγον, ἐπεὶ εἰς μάτην πονεῖ· οὐ γὰρ τὸ ἐν μόναις γλώσσαις λαλεῖν ἐκκλησίαν οἰκοδομεῖ.

14 Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται.

Πνεῦμα ἐν τούτοις τὴν διὰ τοῦ Πνεύματος ὀνομάζει χάριν, τουτέστι τὸ δύνασθαι γλώσσαις λαλεῖν. ἐὰν οὖν, φησὶ, τὰς ἐν ταῖς ἐκκλησίαις εὐχὰς προσεύξωμαι πνεύματι, τουτέστιν

6. ᾗ emendavi. ἢ Cod. 10. Ἄφωνον—ἀνθρώποις] Haec retinui ex Ed. cf. autem scholii praecedentis finem. 11. ἐν assumptum ex A. τῆς] inc. H. 12. μὴν om. H. τοῦ λαλοῦντος pro αὐτοῦ H. 14. ἕκαστος H. δὴ A.H. δὲ Ed. Statim οὖν om. H. 16–18. εἰ δὲ—ἀκοήν assumpta ex H. 16. ἦν emendavi. εἴν (sic) Cod. 17. πεποίηκε] legendumne πεπόνηκε? cf. 20. 19–21. Haec quanquam recapitulatio sunt quaedam, edidi tamen ex H. 23. Haec aliter in H qui exhibet Διὸ ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ. ὡς ἔν γε δὴ μόνῳ τῷ γλώσσῃ λαλεῖν, οὐκ ἂν ἐσομένου τοῦ δύνασθαί τινας ἐκκλησίαν οἰκοδομὴν (=οἰκοδομεῖν)· πνεῦμα δὲ ὧδε, τὴν διὰ—λαλεῖν. δυσχερείας γεμὴν οὐκ ἀπήλλακται τῶν προκειμένων ὁ νοῦς. πλὴν ὡς ἐν ἰδίᾳ τρανοῦν (=ὡς ἔνι διατρανοῦν) πειράσομαι· δεῖ με τοίνυν φησιν (ut schol. seq.) H.

[69 M.]

ἀποκεχρημένος τῇ γλώσσῃ τῇ διὰ τοῦ πνεύματος, ἔξω ἄκαρπον τὸν νοῦν· δεῖ γὰρ ἐν προσευχαῖς συντείνεσθαι, καὶ τὰ τελοῦντα πρὸς σωτηρίαν παρὰ Θεοῦ ζητεῖν, οὐκ ἐναβρύνεσθαι γλώσσῃ καὶ γίνεσθαι ἁπλῶς τοῦ γλώσσῃ λαλεῖν· ἐπεὶ ὁ νοῦς ἄκαρπος γίνεται, μηδεμίαν ἐκ τῆς τοιαύτης φιλοτιμίας ἀποφερόμενος ὄνησιν.

Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ. 15

Δεῖ με τοίνυν, φησὶν, εἴπερ ἑλοίμην προσεύχεσθαι γλώσσῃ τουτέστιν εὐδοκιμεῖν ἐν τῷ λαλεῖν γλώσσῃ, πειρᾶσθαι σπουδαίως μὴ ἄκαρπον ἔχειν τὸν νοῦν, μηδὲ μόνου γενέσθαι τῇ γλώσσῃ λαλεῖν ἀλλὰ διεγείρειν ἐν ἐμαυτῷ τὸν νοῦν. καὶ εἰ ψάλοιμι τυχὸν ἐν γλώσσῃ ψάλλειν οὐδὲν ἧττον καὶ τῷ νοΐ ἐν τῷ νοεῖν τῆς ψαλμῳδίας καὶ τῆς προφητείας τὴν δύναμιν, καὶ μὴ ἀζητήτους ἐᾶν τοὺς τοιούτους λόγους. εἰ γὰρ εἰκαίας λέγοιμι φωνὰς, "γέγονα χαλκὸς "ἠχῶν." (Supra xiii. 1.) διὸ ἄμεινον τὸ προφητεύειν ἤτοι διερμηνεύειν τὰς θείας γραφὰς ἐν ἐκκλησίᾳ ἢ γλώσσαις ἁπλῶς κατακεχρῆσθαι φιλεῖν. τί οὖν ἔσται τὸ ἄμεινον; Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ. πνεύματι δὲ πάλιν ἐνθάδε, τῷ διὰ τοῦ Πνεύματος χαρίσματι λέγει. ἐπειδὴ δὲ σκοπὸς αὐτῷ διὰ πλείστων ὅσων καὶ ἀναγκαίων ἐννοιῶν ἀνόνητον ἀποφῆναι τὸ γλώσσῃ λαλεῖν, οὐχ ἑπομένου τοῦ δύνασθαι διατρανοῦν ἑτέροις τὰ προφητῶν, προσεπάγει καὶ ἕτερα δι' ὧν ἄν τις εἴδοι λέγοντα σαφῶς.

8–24. Haec edidi ex H. Paullo diverse Ed. *Δεῖ, φησὶν, εἴπερ ἑλοίμην εὐδοκιμεῖν, καὶ γλώσσῃ τυχὸν κεχρῆσθαι τῇ διὰ τοῦ πνεύματος, καὶ μὴ πειρᾶσθαι σπουδαίως ἄκαρπον ἔχειν τὸν νοῦν, συναγείρειν δὲ ὥσπερ ἐν ἐμαυτῷ τὸν νοῦν· καὶ εἰ ψάλλοιμι τυχὸν ἐν γλώσσῃ, ψάλλειν οὐδὲν ἧττον καὶ τῷ νοΐ, τουτέστι συνιέναι λεπτῶς τῆς ψαλμῳδίας τὴν δύναμιν, καὶ τῆς προφητείας τοὺς λόγους μὴ ἀζητήτους ἐᾶν· οὐκοῦν ἄμεινον τὸ προφητεύειν ἤτοι διερμηνεύειν ἐν ἐκκλησίᾳ τὰ ἐκ τῶν ἱερῶν γραμμάτων, ἢ γλώσσαις ἁπλῶς κατακεχρῆσθαι φιλεῖν.* 12. *τυχὸν ἐν* om. H. retinui ex Ed. 14. *ἐᾶν τοὺς* edidi. *ἑαυτους* (sic) H. 18. *φιλεῖν* om. H. retinui ex Ed. 24. *εἴδοι*] legendumne *ἴδοι*?

70 M.

16, 17 Ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμήν;

Ὅταν, φησὶν, αὐτὸς μὲν γλώσσῃ λαλῇς, ὁ γεμὴν ἐν τάξει τῇ τοῦ λαϊκοῦ κείμενος, εἰ τὴν σὴν οὐκ εἰδείη φωνὴν, πῶς προσυπακούσεται τό Ἀμὴν ἐν ταῖς ἰδίαις εὐχαριστίαις ἤτοι προσευχαῖς; ὅτι γὰρ ταῖς τῶν ἡγουμένων εὐχαῖς τὰς τῶν ὑπὸ χεῖρα συγκαταλήγειν ἔθος ἐν ἐκκλησίαις παντί τῳ σαφές. προσυπακούουσι γὰρ τό Ἀμὴν ταῖς ἑαυτῶν πρὸς τὸν Θεὸν ἱκετείαις τὸ πέρας ἐπάγοντες τῇ τοῦ ἱερέως φωνῇ, ἵνα τῇ τῶν ἱερέων τελειότητι τὸ δοκοῦν ἐλλείπειν, τοῖς τῶν λαῶν
Ps. cxiii. 21. *ἀναπληρῷτο μέτροις, καὶ οἱονεὶ "τοὺς μικροὺς μετὰ τῶν "μεγάλων" ὡς ἐν ἑνότητι πνεύματος παραδέχοιτο Θεός. ταῖς γὰρ τῶν ἱερέων εὐχαῖς τὰς ἑαυτῶν παραζευγνύντες οἱ ὑπὸ χεῖρα λαοὶ, δεκτὰς ἔσεσθαι πεπιστεύκασιν· τούτῳ τῷ σκοπῷ καὶ πενιχρὰς θυσίας ὁ Θεὸς πρὸς τὸ θυσιαστήριον ἐκέλευσε προσάγεσθαι τῶν ὁλοκαυτωμάτων, ἵνα τὸ βραχὺ τῷ τελείῳ συμμιγὲν, δεκτὸν γένηται τῷ Θεῷ· ἓν γὰρ οἱ πάντες ἐσμὲν ἐν Κυρίῳ. ὅταν τοίνυν, φησὶ, σὺ μὲν γλώσσῃ λαλῇς· τοῦτο γάρ ἐστιν τὸ εὐλογεῖν πνεύματι· ὁ μὴ εἰδὼς ὃ φῄς, πῶς ἐρεῖ τό Ἀμὴν ἐπὶ τῇ ἰδίᾳ εὐχαριστίᾳ; δράσεις μὲν*
ver. 17. *γὰρ ὀρθῶς αὐτὸς, κατά γε τὸν ἐνόντα σοι νοῦν, πλὴν ὁ ἕτερος οὐκ οἰκοδομεῖται. δεῖ δὲ δὴ πάντα πράττεσθαι πρὸς ἡμῶν εἰς οἰκοδομὴν καὶ εἰς ὄνησιν ἀδελφῶν.*

3. Inc. *ὅταν μὲν γάρ φησιν* H. *λαλεῖς* (*η* superscr.) A. 4. *τῇ* om. H. *εἰ—φωνὴν*] *ἀγνοῇ τὴν σὴν φωνὴν* H. 5. *ἐν* om. H. 6–9. *ὅτι—φωνῇ* assumpta ex H. 10. *τὸ δοκοῦν ἐλλείπειν* ante *τῇ τῶν* transponit H. 11. *οἱονεὶ* H. *οἷον* Ed. 12. *ἐν* assumptum ex H. qui *παραδέχοιτο Θεὸς ὡς ἐν ἑνότητι πνεύματος* inverso ordine exhibet. 13–23. *ταῖς γὰρ—ἀδελφῶν* assumpta ex H. 23. *ἀδελφῶν*] Post haec partim (ut solet) repetit *σὺ μὲν γὰρ ὁ γλώσσῃ λαλῶν τουτέστιν ὁ εὐλογῶν πνεύματι ὀρθῶς ποιεῖς κατὰ τὸν σὸν νοῦν, ὁ δὲ ἕτερος οὐκ οἰκοδομεῖται. δεῖ δὲ πάντα πράττεσθαι εἰς ὄνησιν καὶ οἰκοδομὴν τῶν ἀδελφῶν* H.

ΤΟΜΟΣ Ε ΛΟΓΟΣ Δ.

Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν. Κεφ. ιε'.

Ἐπὶ καιροῦ δὴ λίαν καὶ σοφῶς εὐαγγέλιον ἀποκαλεῖ τὸ περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως κήρυγμα, καὶ αὐτοῦ δὲ πάντως που Χριστοῦ· καὶ γάρ ἐστιν ἀληθῶς ἀγαθοῦ παντὸς ἀπαγγελία τοῖς τὴν πίστιν εἰσδεδεγμένοις· ἐν αὐτῷ δέ φησιν αὐτοὺς ἑστάναι τε καὶ σώζεσθαι. τοῦ μὲν ἑστάναι κατασημαίνοντος τὸ ἐν ἑδραιότητι τῆς ἐλπίδος καὶ τὸ ἐν καλῷ τῆς δόξης γενέσθαι τοὺς πεπιστευκότας· τοῦ δέ γε σώζεσθαι, τὸ καὶ αὐτῆς ἀναπεφάνθαι τῆς ἁμαρτίας ἀμείνους, καὶ τῶν τοῦ θανάτου βρόχων ἐπέκεινα δραμεῖν.

Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον. 3 sqq.

Παραδεδωκέναι φησὶν αὐτοῖς οὐ τὸ εἰς νοῦν ἧκον ἁπλῶς καὶ ἀβασανίστως εἰσδεδεγμένον, ἀλλ' εὐαγγέλιον ὃ παρέλαβεν, ἐνιέντος αὐτῷ τὴν γνῶσιν τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος· ἔφη γὰρ πάλιν ὁ αὐτὸς διὰ τοῦ εὐαγγελίου "Οὐδὲ "γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδὲ ἐδιδάχθην, "ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ." Gal. i. 12. εἴπερ οὖν ἐστι θεοδίδακτος ὁ παραδιδοὺς, πῶς οὐκ ἀληθὲς τὸ δι' αὐτοῦ κηρυσσόμενον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφὰς, δηλονότι τῆς τε παλαιᾶς καὶ νέας; πολ-

1. Ita edidi ex H qui τομος λογος δ exhibet. 3. Abbreviat H. εὐκαίρως εὐαγγέλιον καλεῖ τὸ περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως κήρυγμα καὶ αὐτοῦ τοῦ Χριστοῦ ὅπερ ἐστὶ παντὸς ἀγαθοῦ πρόξενος πιστοῖς· ἑστάναι δὲ αὐτοὺς ἐν αὐτῷ φησι τὸ ἐν ἑδραιότητι τῆς ἐλπίδος σημαίνων· σώζεσθαι δὲ τὸ ἀμείνους γενέσθαι καὶ αὐτῶν τῶν τοῦ θανάτου βρόχων· παραδεδωκέναι τοίνυν φησὶν οὐ τὸ εἰς νοῦν ἧκον ἁπλῶς καὶ ἀβασανίστως ἐνθυμηθὲν ἀλλ' εὐαγγέλιον ὃ παρ' αὐτοῦ παρέλαβε τοῦ Χριστοῦ τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος. Deinde postrema quasi repetens scholion novum exhibet παραδεδωκέναι φησὶν οὐ τὸ εἰς νοῦν ἧκον ἁπλῶς ἀλλ' εὐαγγέλιον ὃ παρέλαβεν ἐνιέντος αὐτῷ τὴν γνῶσιν τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος. H. 13. ὑμῖν pro αὐτοῖς A.

[70 M.] λοὶ γὰρ λίαν οἵ τε τοῦ θανάτου Χριστοῦ καὶ τῆς ἀναστάσεως
μάρτυρες· εἶναι λοιπὸν κατ' οὐδένα τρόπον ἐνδοίαστον τὸ
ἐκτεθνάναι μὲν ὑπὲρ ἡμῶν κατὰ σάρκα Χριστὸν Ἰησοῦν, ἵν'
ἐξέλῃ τοῦ κόσμου τὴν ἁμαρτίαν· ἐγηγέρθαι τε αὖ πατοῦντα
τὸν θάνατον, ἵνα καὶ ἡμεῖς τὸ χρῆμα κερδάνωμεν. ἀναγκαίως
δὲ εἰς τὸ παρὸν οὐ τεθνάναι μόνον, ἀλλὰ καὶ τετάφθαι φησὶν
αὐτόν· πιστούμενος γὰρ τὸ τεθνάναι κατὰ ἀλήθειαν ὁ Ἐμ-
μανουὴλ, τέθειται ἐν μνημείῳ· πλὴν ἀνεβίω, καθάπερ ἔφην
ἀρτίως· διὰ μὲν τοῦ τεθνάναι σαρκὶ πληροφορῶν ὅτι γέγονε
71 M. σὰρξ, καίτοι Θεὸς ὢν ὁ Λόγος· διὰ δὲ τοῦ πατῆσαι τὸν
θάνατον, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἐναργῶς ἀποφαίνων.
πλὴν οὐκ ἀλλότριον ζωοποιεῖ ναὸν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος,
οὐδὲ τό τινος ἁπλῶς, σῶμα δὲ μᾶλλον τὸ ἴδιον αὐτοῦ, δι' οὗ
καὶ ὑπὲρ ἡμῶν τεθνάναι λέγεται, ἵνα καὶ τὸ τῆς ἀναστάσεως
ἀγαθὸν ὑπὲρ ἡμῶν ἀληθῶς γεγονὸς εὑρεθῇ· ὅλη γὰρ ἦν ἡ
ἀνθρώπου φύσις ἐν αὐτῷ πατοῦσα τὸν θάνατον· οὕτω γὰρ
αὐτῷ συνταφῆναί τε καὶ συνεγηγέρθαι λεγόμεθα, συγκαθίσαι
Eph. ii. 6. τε καὶ "ἐν τοῖς ἐπουρανίοις." οὐκοῦν ἐγηγέρθαι μέν φησι
ver. 4, 5. κατὰ τὰς γραφὰς, ὦφθαι δὲ τοῖς ἁγίοις ἀποστόλοις, ἀνὰ
μέρος τε τισὶν ὡς ἐξειλεγμένοις, καὶ μὴν καὶ κατὰ πληθύν·
ver. 8. ὤφθη δὲ κἀμοὶ ὡσπερεὶ τῷ ἐκτρώματι τῶν ἀποστόλων. μετρι-
ver. 9. άζει δὲ σφόδρα, διῶξαί τε τὴν ἐκκλησίαν ἰσχυρίζεται, πλὴν
ἠλεῆσθαι παρὰ Χριστοῦ καὶ κεκλῆσθαι πρὸς ἀποστολήν·
ἀποφῆναι δὲ τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, οὔτε τοῖς
ἀρχαίοις ἁγίοις ἠγνοημένον· προείρηται γάρ· οὔτε μὴν τοῖς

2. Inc. Προκεχρησμώδηται γὰρ ὁ Χριστοῦ θάνατος διά τε τοῦ νόμου καὶ τῶν προφητῶν καὶ διὰ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν θεσπισμάτων. οὐκοῦν ἀνενδοίαστον ὅτι ἀπέθανεν ὑπὲρ H. 3. Χριστὸς ἵνα ἐξέληται H. 4. ἐγηγέρθαι τε αὖ πατοῦντα] καὶ ἠγέρθη πατήσας H. 5. κερδάνωμεν] pergit abbrevians διὰ οὖν τοῦ τεθνάναι σαρκὶ πιστοῦται ὅτι γέγονε σὰρξ καίτοι Θεὸς ὢν ἀπαθὴς καὶ διὰ τοῦ ἀνεστηκέναι ὡς Θεὸς ὢν φύσει. ὡς γὰρ ἀνθρώπινον τὸ παθεῖν, οὕτω καὶ θεικὸν τοῦ [τὸ?] νικῆσαι θάνατον· οὕτω (16) H. 11. χριστὸς pro θεὸς A. 17. συντετάφθαι H. Statim τε om. H. συγκαθίσαι τε] συγκαθῆσθαι δὲ H. 18. τῷ οὐρανῷ pro τοῖς ἐπουρανίοις desinens H. Iterum inc. Οὐκοῦν ἐγήγερται, ὤφθη δὲ τοῖς H. 20. δὲ τίθησιν pro τε τισιν (sic) H. ἐξηλεγμένοις des. H. καὶ alt. assumptum ex A. 21. Iterum inc. Μετριάζει σφόδρως, ἐδίωξέ τε (sic) H. 22. διισχυρίζεται H. 23. ἀποστολήν des. H.

[71 M.]

ἐξειλεγμένοις εἰς ἀποστολὴν οἳ καὶ "αὐτόπται καὶ ὑπηρέται "γεγόνασι τοῦ λόγου." S. Luc. i. 2.

Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί 12
τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;

Καταπλήττεται τῶν οὐκ οἶδ' ὅπως ἀναπεπεισμένων ταῖς ἱεραῖς τε καὶ θείαις ἀντιφέρεσθαι γραφαῖς, καὶ ἕτερόν τι παρὰ τοῦτο φρονεῖν ἀποτολμώντων· εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς οὐχ ἵνα μένῃ νεκρὸς, ἀλλ' ἵνα κρείττων θανάτου καὶ φθορᾶς εὑρεθεὶς, ὁδὸς ὥσπερ τις καὶ θύρα τῇ τοῦ ἀνθρώπου γένηται φύσει πρός τε τὸ δύνασθαι καταθλεῖν τῆς φθορᾶς καὶ παλινδρομῆσαι πρὸς ζωὴν, πῶς, ἐγηγερμένου τοῦ δι' ἡμᾶς ἐν νεκροῖς ἵνα καὶ ἡμεῖς σὺν αὐτῷ πρὸς ζωὴν, τοῖς τοῦ θανάτου βρόχοις καταδεσμοῦσιν ἔτι τοὺς δι' οὓς τεθνάναι καὶ ἀναβιῶναι λέγεται Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Ἐμμανουήλ; τί παραιροῦνται τὸ γένος τὸ ἀνθρώπινον τῶν ἐξ ἀναστάσεως ἀγαθῶν, καὶ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας συκοφαντοῦσι πέρας; εἰ γὰρ γέγονεν ὁ Χριστὸς ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἕψεταί που πάντως ἀπαρχῇ ἰδίᾳ τὸ λεῖπον αὐτῇ, καὶ τῷ πρωτοτόκῳ συμπαρομαρτήσειεν ἂν, καὶ μάλα εἰκότως, οἷόν περ ἂν νοοῖτο πρωτότοκος. καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ θεσπέσιος Παῦλος "Εἰ γὰρ "σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, "ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα." οὐκοῦν εἰ συναινοῦσί τινες ὡς ἐγήγερται μὲν ὁ Χριστὸς, οὐ προσίενται δὲ τῆς ἐκ Rom. vi. 5. 72 M.

5. Paullo abbreviat Καταπλήττεται τὸ θράσος τῶν ὅλαις ταῖς ἱεραῖς γραφαῖς ἀντιτάττεσθαι τολμώντων. εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς οὐχ ἵνα μείνῃ νεκρὸς ἀλλ' ἵνα κρείττω (sic) θανάτου καὶ φθορᾶς εὑρεθεὶς, ὧδε (pro ὁδὸς) γένηται τοῖς ἀνθρώποις εἰς τὸ παλινδρομῆσαι πρὸς ζωὴν καὶ καταθλεῖν τῆς φθορᾶς, πῶς ἐγηγερμένου Χριστοῦ τοῦ δι' ἡμᾶς ἀποθανόντος καίπερ ὄντως (sic) φύσει θεοῦ, ἵνα καὶ ἡμεῖς σὺν αὐτῷ ζωοποιηθῶμεν, ἀποστεροῦσί τινες τὸ ἀνθρώπινον γένος τῶν ἐξ ἀναστάσεως ἀγαθῶν καὶ τὸ πέρας τῆς ἐνσάρκου οἰκονομίας συκοφαντοῦσιν; H. 8. μένῃ habet A. 16. Inc. Τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας ἀθετοῦσιν τέλος οἱ λέγοντες μὴ ἐγηγέρθαι Χριστόν. εἰ δὲ ὁ Χριστὸς γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν πάντως ἀκολουθήσει τῇ ἀπαρχῇ τὸ λοιπὸν καὶ τῷ πρωτοτόκῳ ἐκεῖνοι ὧν νοεῖται πρωτότοκος εἶναι. εἰ οὖν συναινοῦσί τινες ὅτι ἠγέρθη ὁ (24) H. 24. προσίενται] καταδέχονται H. τὸ ante τῆς transponit H. τῶν pro ἐκ H.

[72 M.]
νεκρῶν ἀναστάσεως τὸ μυστήριον, ἠγνοήκασι παντελῶς τῆς
ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τὸν σκοπόν· γέγονε γὰρ ἄν-
Heb. xii. 2. θρωπος οὐ δι' ἑαυτὸν ὁ Θεὸς Λόγος, "ἀντὶ δὲ τῆς προκειμένης
"αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας"
διὰ ποίαν αἰτίαν, διδάξει λέγων αὐτὸς ὁ σοφώτατος Παῦλος
Ib. ii. 14, 15. "Ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς,
"καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ
"θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου,
"τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ
"θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας." οὐκοῦν
εἰ μὴ καταργηθῇ θάνατος, εἰκαῖον αὐτῷ τὸ σκέμμα, ἀνόνητον
δὲ καὶ ἡμῖν αὐτοῖς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον·
διημαρτήκαμεν δὲ καὶ τῆς εἰς ζωὴν ἐλπίδος· κεκλήμεθα δὲ πῶς
1 S. Joan. iii. 2. εἰς υἱοθεσίαν καί ἐσμεν τέκνα Θεοῦ, καθά φησιν Ἰωάννης
Rom. viii. 23. ὁ σοφός; εἴπερ ἐστὶν ἀληθὲς ὡς "υἱοθεσίαν ἀπεκδεχόμεθα
τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν," ποία δὲ ὅλως ἡ
ἀπολύτρωσις, εἰ μὴ θανάτου κρείττους ἡμᾶς ἀπέφηνεν ὁ
Phil. iii. 21. Χριστός; ἢ πῶς "μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώ-
"σεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ;"
ποῖος γὰρ ὅλως ὁ τοῦδε καιρὸς, εἰ μὴ ἀπρακτήσῃ θάνατος;
ἢ ποῖος ἔσται μετασχηματισμὸς, τοῖς ἐν ταυτότητι, μᾶλλον
δὲ καὶ ἐν χείροσιν ἐσομένοις;

Ἄθρει δὲ ὅπως περιίστησιν εὐτέχνως εἰς ἀναγκαίαν ὁμολογίαν τοῦ χρῆναι λέγειν ὡς ἀναβιώσονται κατὰ καιροὺς τὰ ἐκ γῆς ἡμῶν σώματα. εἰ γὰρ δὴ, φησὶ, διὰ πάσης τῆς θεοπνεύστου γραφῆς ἐγηγερμένος ἐκ νεκρῶν διακεκήρυκται Χριστὸς, πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; ἀπέθανεν γὰρ, ὡς ἤδη φθάσαντες εἴπομεν, οὐχ ἑαυτῷ μᾶλλον ἀλλ' ἡμῖν· ἵν' ἐπείπερ ἐστὶ ζωὴ κατὰ φύσιν ὡς Θεὸς, τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς καταργήσῃ θάνατον, ὡς

1. ἀγνοοῦσι H. Statim παντελῶς om. H. 3. τοῦ Θεοῦ pro Θεὸς H. Λόγος] pergit ἀλλ' ἵνα ἡμᾶς ἀπαλλάξῃ θανάτου. εἰ δὲ μὴ (11) H. 9. τούτους om. A. 11. κατήργηται H. 12. τῆς—μυστήριον om. H. 13. γὰρ pro δὲ prius H. ἐλπίδος] pergit εἶτα εἰπών Τινες μᾶλλον σαδδουκαίους αἰνίττεται τοὺς μὴ λέγοντας ἀνάστασιν (p. 301, 8) H. 25. τῆς om. Migne.

[72 M.]

ἑψομένης αὐτῷ τῆς ἀνθρώπου φύσεως· ἀνεβίω γὰρ καὶ γέγονεν ὥσπερ τις ἀνθρωπότητος ἀπαρχὴ μεταφοιτώσης εἰς ζωὴν καὶ ἀνακτιζομένης εἰς ἀφθαρσίαν καὶ νικώσης θάνατον· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ· λαβόντος τοῦ πράγματος τὴν ἀρχὴν, πῶς ἀπομενοῦμεν ἐν γῇ; ἢ πῶς ἐν ὑμῖν τινες ἀποτολμῶσι λέγειν οὐκ ἀναβιώσεσθαι τοὺς νεκρούς; Σαδδουκαῖοι δὲ οὗτοι, κατά γε τὸ εἰκός· ἔφασκον γὰρ αὐτοὶ "μὴ "εἶναι ἀνάστασιν μήτε ἄγγελον μήτε πνεῦμα·" σεσυκοφαντήκασι δὲ τῆς ἀναστάσεως τὸ μυστήριον καὶ Ὑμέναιος καὶ Ἀλέξανδρος "λέγοντες ἀνάστασιν ἤδη γεγονέναι·" πλὴν ἐναυάγησαν ἐκεῖνοι περὶ τὴν πίστιν, καὶ ὅσοι ταῖς ἐκείνων ἐξιτηλίαις ἕπεσθαι βούλονται.

Acta SS. Ap. xxiii. 8.
1 Tim. i. 20.
2 Tim. ii. 18.
73 M.
1 Tim. i. 19.

Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα καὶ τὸ κήρυγμα ἡμῶν. 14

Ἀκολουθεῖ γὰρ ὥσπερ τῷ πρώτῳ τὸ δεύτερον, καὶ τῷ δευτέρῳ συναναιρεῖται τὸ πρῶτον· οὗ δὴ γεγονότος, ἤγουν πρὸς ἡμῶν παραδεχθέντος εἰς πίστιν, *κενὸν καὶ* ἀδρανὲς ἔσται τῶν ἁγίων ἀποστόλων τὸ *κήρυγμα· κενὴ καὶ ἡ πίστις·* ἔχει γὰρ ὧδε τὸ ῥῆμα τῆς πίστεως τὸ διὰ τῶν ἁγίων μυσταγωγοῦν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν μεμυσταγωγημένοις· πῶς οὖν ἔτι πιστεύσομεν, εἰ μὴ ἀνεβίω κατά τινας; *εὑρισκόμεθα γάρ* φησι *καὶ ψευδομάρτυρες κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρεν τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν εἴπερ νεκροὶ οὐκ ἐγείρονται.* εἶτα τοσαύτη πληθὺς ἁγίων πῶς ἂν διαφύγοι συκοφαντίας γραφήν; οὐκοῦν εἶεν ἂν οὐδὲ ἅγιοι· πόθεν; οἷς ἂν εἴη τὸ πλημμέλημα συκοφαντία κατὰ τοῦ Θεοῦ· ἀλλ' οὐχ ὧδε ταῦτα ἔχει, ἀψευδεῖς γὰρ οἱ μυσταγωγοὶ Χριστὸν ἐγηγέρθαι λέγοντες.

ver. 15.

10. *λέγοντες ἀνάστασιν ἤδη γεγονέναι* om. H. 11. *πίστιν*] pergit *εἰ οὖν νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· ἀκολουθεῖ γὰρ τῷ πρώτῳ* (14) H. 15. *συνανερεῖ* H. *δὴ—ἡμῶν* om. H. 16. *προσδεχθέντος* H. *καὶ ἀδρανὲς* assumptum ex H. 17. *ἁγίων* om. H. *πίστις καὶ ψεύσται καὶ εἰκαιομύθοι κατηγορηθεῖεν οἱ ἀπόστολοι* ita desinens H. 21. *ψευδομάρτυρες κατὰ τοῦ Θεοῦ*] A Θεοῦ ad Θεοῦ transilit (ut vid.) Cod. Inc. *Εἰ τοῦτο εἶναί φαμεν ἀληθὲς καὶ εἰς ἑτέρας ἡμῖν ἀτοπίας ὁ λόγος περιενεχθήσεται· εὑρίσκονται γὰρ καὶ πολλὴ πληθὺς ἁγίων συκοφαντίας γραφὴν ὑποφέρουσα, εἰ μεμαρτυρήκασι κατὰ τοῦ Θεοῦ Χριστὸν οὐκ ἐγηγερκότος ἀλλ' οὔτε ἅγιοι κληθεῖεν οἷς ἡ ἁμαρτία συκοφαντία κατὰ τοῦ Θεοῦ καὶ ὑπεύθυνοι τιμωρίᾳ οἱ τοιοῦτοι καὶ ματαία ἡ πίστις· Χριστοῦ γὰρ μὴ* (p. 302, 4) H.

[73 M.]

17 Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν.

Ἀληθέστατα καὶ λίαν ὀρθῶς προσεπάγει τοῖς ἄλλοις καὶ
τοῦτο· δικαιοῖ μὲν γὰρ ἡ πίστις, ἀλλ' εἴ τις αὐτῇ καθαρίζει
τὸ μάταιον ὡς Χριστοῦ μὴ ἐγηγερμένου, τί τὸ διάφορόν
ἐστι λοιπόν; οὐκοῦν ἐνεσχήμεθα τοῖς ἀρχαίοις ἐγκλήμασιν,
ἀναπόνιπτον ἔχομεν τὴν ἁμαρτίαν· μάτην καὶ ὁ θεσπέσιος
Ps. lxxxiv. 2, 3. ἔφη μελῳδός "Εὐδόκησας κύριε τὴν γῆν σοῦ, ἀφῆκας τὰς
"ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας
Ib. xxxi. 1, 2. "αὐτῶν·" καὶ πάλιν "Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι,
"καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ
"μὴ λογίσηται Κύριος ἁμαρτίαν·" καίτοι τὸν ἔν γε τούτοις
Rom. iv. 9. μακαρισμὸν ἐπί τε τὴν περιτομὴν καὶ τοὺς ἐξ ἐθνῶν κατευ-
ρύνεσθαι, φησὶν ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους·
Ib. 25. δεδικαιώμεθα γὰρ ἐν Χριστῷ, "Ὃς παρεδόθη διὰ τὰ παρα-
"πτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν."

18 Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο.

Ἠπάτηνται γὰρ ὡς ἔοικεν καὶ ἀμισθὶ τεθείκασιν ὑπὲρ αὐ-
Sap. iii. 4. τοῦ τὴν ψυχὴν, εἴ γε μὴ ἐγήγερται Χριστός· εἰ μὴ ἀθανασίας
ἐστὶ πλήρης τῶν ἁγίων ἡ ἐλπὶς, εἰ μὴ προσδοκῶσι συμβα-
σιλεύειν αὐτῷ, ἀπολώλασι τάχα που, καὶ ἐπ' οὐδενὶ τῶν
χρησίμων καὶ αὐτὸν ἀνατλάντες τὸν θάνατον ζημίαν ἔχουσι
Es. xxvi. 19. πόνων· ἄπαγε τῆς οὕτω δεινῆς ἀμαθίας· "ἀναστήσονται
"γὰρ οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις," κατὰ
τὴν τοῦ προφήτου φωνὴν, καὶ ταλαντεύει ἑκάστῳ τὸ ὅτι

3. *καθαρίζει* exhibet et A. Legendumne *καθορίζει*? 4. *διάφορόν*] *δικαιοῦν* (sive recte sive pro interpretatione) H. 5. *ἐνησχήμεθα δὲ* pro *οὐκοῦν ἐνεσχήμεθα* H. 6. *ἀναπόνιπτον ἔχομεν τὴν ἁμαρτίαν*] *μὴ ἀπονιψάμενοι τῆς ἁμαρτίας τὸν ῥύπον* (ita desinens) H. 10. *ἐκαλύφθησαν* A.

11. *ἁμαρτίαν* edidi. *ἁμαρ* with superscript *τ* (ambigue) A. *ἁμαρτίας* Ed. 18. *ψυχὴν*] pergit *οἱ ἅγιοι μάρτυρες καὶ τῆς εἰς αὐτὸν γνησιότητος κατ' οὐδένα τρόπον αὐχοῦσιν τὴν δόξαν, καίτοι τῶν ἁγίων μαρτύρων ἀπαρχὴ γέγονεν ὁ μακάριος Στέφανος, Θεῷ τὸν οἰκεῖον εὐωδιάζων θάνατον, ἀλλ' εἰ μὴ* (18) H. 19. *ἡ* om. prima vice H. 20–22. *καὶ ἐπ'—πόνων* assumpta ex H. 21. *ἀνατλάντες* emendavi. *ἀνατλάνται* exhibet Cod. 23. *καὶ—φωνήν* om. H. Statim *καὶ ταλαντεύει—ὡς Θεός*

μάλιστα πρέπον αὐτῷ τῶν στεφάνων ὁ διανομεύς, ἐποίσει δὲ πάντως τοῖς δυσσεβοῦσιν τὴν κόλασιν· κρίτης γάρ ἐστιν τῶν ὅλων ὡς Θεός. [73 M.]

74 M.

Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο κ.τ.λ. 20 sqq.

Δέχεται λοιπὸν ὡς ὁμολογούμενον τὸ χρῆναι πιστεύειν, ὡς ἀνεβίω μὲν Χριστὸς, καὶ γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων, πρῶτος τῶν ἐπὶ τῆς γῆς πατήσας τὸν θάνατον· καθάπερ ἀμέλει καὶ ὁ προπάτωρ Ἀδὰμ πρῶτος εἰς αὐτὸν ἐμβέβηκεν, καὶ γέγονεν ἀπαρχὴ τῶν ὠλισθηκότων εἰς φθοράν· ἕψεται δὲ ὅτι τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει καὶ ἡ τῶν νεκρῶν, προσεπάγει λέγων Ὥσπερ γὰρ δι' ἀνθρώπου θάνατος καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ver. 21. ἄθρει δὲ ὅπως τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον θεοπρεποῦς ἀνάμεστον εὐτεχνίας ἀποφαίνει πάλιν· ἔδει γὰρ ἔδει, φησὶν, ἄνθρωπον ὑπὲρ ἡμῶν νικῆσαι τὸν θάνατον· ταύτης τε ἕνεκα τῆς αἰτίας ὁ ἐκ Θεοῦ πεφηνὼς Θεὸς Λόγος, οὐκ ἀγγέλων ἐπελάβετο, καθά φησιν αὐτὸς, ἀλλὰ σπέρματος Ἀβραὰμ, ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ· Heb. ii. 16, 17. ἔδει γὰρ, ὡς ἔφην, θεραπεύεσθαι τὸ ἠῤῥωστηκὸς, ἀναστῆναι τὸ πεπτωκός· ἔδει καταθλῆσαι θανάτου δι' ὑπακοῆς καὶ δικαιοσύνης τὸ ὑπ' αὐτῷ γεγονὸς διὰ παραβάσεως καὶ ἁμαρτίας· ταύτῃ γέγονεν ἄνθρωπος οὐκ εἰδὼς ἁμαρτίαν ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵν' ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες κατακεκρίμεθα, τῆς ἀνθρώπου φύσεως παθούσης τὸν θάνατον, οὕτω καὶ δικαιωθέντες ἐν Χριστῷ συναποδυσόμεθα τῇ ἁμαρτίᾳ τὸν ἐξ αὐτῆς ἀναφύντα θάνατον.

assumpta ex H qui pergit καὶ ἀπολώλασι τάχα που εἰ μὴ ἀθανασίας ἐστὶ πλήρης τῶν ἁγίων ἡ ἐλπὶς, εἰ μὴ προσδοκῶσιν συμβασιλεύειν αὐτῷ (repetens e supra) H. 6. Scholion breve Ἐπειδὴ ὁμολογημένως ἀνεβίω ὁ Χριστὸς καὶ γέγονεν ἀπαρχὴ τῶν κεκ. πρῶτος τῶν ἐπὶ γῆς π. τὸν θάνατον· ἕψεται πάντως τῇ τοῦ Σωτῆρος ἀναστάσει καὶ ἡ τῶν νεκρῶν exhibet H. 23. ἵνα A. ὥσπερ inc. H. 24. παθούσης H. πατούσης (sic) A et ita exhibere codicem suum testatur Maius. 25. θάνατον] ὄλισθον διὰ παρικοῆς H. δι' ὑπακοῆς pro καὶ H. συναποδυόμεθα H.

[74 M.]
Rom. v. 19. καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ θεσπέσιος Παῦλος "Ὥσπερ
"γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατ-
ver. 22. "εστάθησαν οἱ πολλοί." οὐκοῦν ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες
ἀποθνήσκουσι, καταδεδικασμένης ὡς ἔφην ἐν αὐτῷ τῆς φύσεως
διὰ τὴν παράβασιν, οὕτως ἐν τῷ Χριστῷ ζωοποιηθήσονται, πάλιν
εὐλογουμένης ἐν αὐτῷ τῆς φύσεως κατὰ τὸν ἴσον τρόπον
διὰ τὴν δικαίωσιν. λύσις οὖν ἄρα τῶν πρώτων τὰ δεύτερα·
Ib. iv. 25. "Παρεδόθη γὰρ διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ
"τὴν δικαίωσιν ἡμῶν·" ἐγηγερμένῳ δὴ οὖν συνεγηγέρμεθα
καὶ ἡμεῖς· ζωὴ γάρ ἐστι κατὰ φύσιν ὁ ἐκ Θεοῦ Λόγος· οὐχὶ
δήπου μόνῃ τῇ ἰδίᾳ σαρκὶ τὸ τῆς αὐτοῦ φύσεως ἀγαθὸν
δωρούμενος, φημὶ δὴ τὴν ζωὴν, ἀλλ' εἰς ὅλην αὐτὸ παρα-
πέμπων τὴν τοῦ ἀνθρώπου φύσιν. ἐγήγερται μὲν γὰρ ὁμολο-
Col. i. 18. γουμένως ὡς ἀπαρχὴ Χριστὸς, "ἵνα γένηται ἐν πᾶσιν αὐτὸς
"πρωτεύων," κατὰ τὸ γεγραμμένον· ἕψεται γεμὴν ἐν καιρῷ
τὸ ἀναβιῶναι τοὺς ἄλλους, πλὴν κατὰ τὸ εἰκὸς οὐ χύδην,
75 M. ἀλλ' ἐν κόσμῳ τε καὶ διακεκριμένως καὶ οἷον ἐν κελεύσματι.
1 Thess. iv. 16. μετὰ γάρ τοι τὴν ἀπαρχὴν, τουτέστι Χριστὸν, τοὺς αὐτοῦ
ver. 23. φησιν ἐγερθήσεσθαι· δῆλον δὲ ὅτι τοὺς ἐν καιρῷ τῆς ἐπιδη-
μίας, ἤγουν γεγονότας μετὰ τὴν ἐνανθρώπησιν, καὶ ὡς ἐν
πίστει κεκοιμημένους. ἦσαν μὲν γὰρ ὁμολογουμένως ἅγιοι
κατὰ καιροὺς ἐν τῷ Ἰσραὴλ, τῆς ἐν νόμῳ ζωῆς ἐπαινουμένης
τε καὶ κρατούσης ἔτι· πλὴν ἀμείνους οἱ ἐν Χριστῷ, δεδικαί-
ωνται γὰρ διὰ πίστεως, καὶ τῆς θείας φύσεως γεγόνασι
κοινωνοὶ, καὶ τὸ τῆς υἱοθεσίας ἐκπεπλουτήκασι πνεῦμα·
κέκληνται δὲ καὶ εἰς ἀδελφότητα κατὰ χάριν τοῦ κατὰ φύσιν
τε καὶ ἀληθῶς Υἱοῦ· καὶ ἦν μὲν πνεῦμα δουλείας ἐν τοῖς
Rom. viii. 15. ὑπὸ νόμον, κράζομεν δὲ ἡμεῖς "Ἀββᾶ ὁ πατήρ." οὐκοῦν

1–7. καὶ—δικαίωσιν om. H. 7. δεύτερα καὶ ἡ ἐν Χριστῷ νοουμένη δικαίωσις καὶ ὑπακοὴ ἀνατροπὴν ἐργάζεται τῶν ἐξ ἁμαρτίας τῇ φύσει συμβεβηκότων· ἐγηγερμένῳ οὖν Χριστῷ συνεγ. (9) H. 9–13. ἐγηγερμένῳ—φύσιν citat et Severus contra additamenta Jul. Halicarnassensis cap. 33. (Syriace in Brit. Mus. Cod. Add. 12158 fol. 26 v anno 588 exarato) tit. praemittens *tomo quinto interpretationis epistolae primae ad corinthios.* 10. ὢν pro ἐστι H. οὐχὶ δήπου μόνῃ] οὐ μόνον H. 11. ἑαυτοῦ H. 12. φημὶ δὴ τὴν ζωὴν ἐδωρήσατο H. αὐτῷ H. 13. τὴν τοῦ ἀνθρώπου παρέπεμψε φύσιν desinens H.

[75 M.]

ἀμείνους, ὡς ἔφην, τῶν ἀρχαιοτέρων οἱ ἐν Χριστῷ· τοιγάρτοι καὶ πρώτους αὐτοὺς ἀναβιώσεσθαί φησιν, οἷον ἰόντας κατ' ἴχνος τῇ πάντων ἀρχῇ, διά τοι τὸ εἶναι προσεχεστέρους αὐτῇ, καὶ προτετιμῆσθαι ταύτῃ τοι τῶν ἄλλων. ὑπεμφαίνει δέ τι τοιοῦτον καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν παραβολαῖς εὐαγγελικαῖς· ἔφη γὰρ ὅτι τοὺς ἐργάτας εἰς τὸν ἀμπελῶνα μισθούμενος· οἰκοδεσπότης δὲ οὗτος· "ὀψίας γε- S.Matth. xx. 8.
"γενημένης ἔφη τῷ ἐπιτρόπῳ αὐτοῦ Κάλεσον τοὺς ἐργάτας "καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων "ἕως τῶν πρώτων."

Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, 24
ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.

Παραδοθήσεσθαί φησιν τῷ Θεῷ καὶ Πατρὶ τὴν βασιλείαν παρὰ τοῦ Υἱοῦ, κατηργημένης ἀρχῆς ἁπάσης τῶν ἀκαθάρτων πνευμάτων καὶ αὐτοῦ τοῦ θανάτου λοιπὸν ἀπρακτοῦντος εἰσάπαν.

Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑπο- 28
ταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

Ἐπειδή τινες ἐξευτελίζειν πειρῶνται τό γε ἐφ' ἑαυτοῖς τὸν Υἱὸν λέγοντες παραδιδόναι τῷ Πατρὶ τὴν βασιλείαν καὶ ὑποτάττεσθαι ὡς μειζόνι, λεκτέον ὅτι ὁ Υἱὸς ὑπέμεινεν τὴν ἐθελούσιον κένωσιν γεγονὼς καθ' ἡμᾶς, καὶ οἷον ἐξ ὑψωμάτων ἑαυτὸν ταπεινώσας, σύμμορφος ὢν καὶ ἴσος τῷ Πατρί· καὶ κέκρυπται μὲν ἐν Θεῷ, ἀποκαλυφθήσεται γεμὴν ἐν δόξῃ κατὰ τὸν τῆς συντελείας τοῦ νῦν αἰῶνος καιρὸν, νῦν ἐν δεξιᾷ καθήμενος τοῦ Πατρός. εἰ δὲ καταβιβάζεται τῆς νῦν ἐνούσης αὐτῷ τιμῆς, δευτέραν ἆρα κένωσιν ὑφίσταται; εἰ δὲ καὶ τὴν βασιλείαν παραδίδωσι, πῶς ἔρχεται "μετὰ τῶν ἁγίων ἀγ- Ib. xvi. 27.
"γέλων ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ;" οὐκοῦν καὶ ἀνεθέ-

11. Haec duo quae sequuntur scholia nobis suppeditat H. 27. ἐνούσης Cod. 28. ἆρα] Ita Cod.

[75 M.]

Supra ver. 25. λητον τῷ Υἱῷ τὸ "ὑπὸ τοὺς πόδας αὐτοῦ τεθῆναι τοὺς "ἐχθροὺς αὐτοῦ," εἴ γε νῦν μὲν συμβασιλεύει τῷ Πατρὶ, τότε Cf. in S. Joan. 332 sqq. δὲ τῆς βασιλείας ἐκπίπτει. ὅμως κἂν ὑποτάσσεται ὁ Υἱὸς τῷ Πατρὶ οὐ κατὰ τοῦτο ἥττων ἐστὶ τοῦ Πατρός· τὸ γὰρ τῆς ὑποταγῆς χρῆμα, οὐ φύσεως καὶ οὐσίας ὅρος ἐστὶν, ἀλλὰ πράγματος ὑπεμφαίνει τρόπον. εἰ γένοιτο καὶ ἐφ' ἡμῶν οὐχ ἑτεροουσίους ὄντας ἀλλήλοις ἀποφαίνει· πόθεν; ὑποτάττεται γὰρ πατρὶ μὲν ὁ υἱὸς, δεσπότῃ δὲ δοῦλος, διδασκάλῳ δὲ μαθητὴς, ἡγουμένῳ δέ τις τῶν ὑπὸ χεῖρα καὶ ὑπεζευγμένων. ἀλλ' οὐδὲν ἐν τούτοις ὁ τῆς ὁμοουσιότητος ἀδικεῖται λόγος· εἰσὶ γὰρ ἀλλήλοις ὁμοειδεῖς, κἂν εἰ τοῦτον ἔχοιεν τὸν τρόπον, εἴκοντές τε ἀλλήλοις καὶ ὑποταττόμενοι καὶ τὸ μὴ οὐκ ἀτιμάζοντες διὰ τὸ σύμφερον. τὸ τοίνυν καὶ ἐφ' ἡμῶν ἀσθενοῦν πῶς ἐπὶ Θεοῦ κρατύνουσιν; εἰ γὰρ φύσεως ἰδιότης ἤτοι μέτρον καθά φασι τὸ ὑποτάττεσθαί ἐστι τῷ Υἱῷ, τὸ μὴ ὑποτάττεσθαι φύσεως ἑτέρας ἰδιότης ἐστὶν αὐτῷ, τάχα που τὸ ἄμεινον παρ' ἐκείνην ἐχούσης, εἴπερ ἐστὶν ἐν μείωσιν ἡ ὑποταγή· οἰκονομικῶς γὰρ ὑποτάττεται δι' ἡμᾶς. ὁ δὲ τῶν ῥητῶν οὕτως· ἐπειδὴ ὁ ἄνθρωπος ἁμαρτήσας γέγονεν ὑπὸ φθορὰν καὶ ὑπὸ τοῦ διαβόλου καὶ τῶν δαιμόνων ἀποστὰς τοῦ φύσει Θεοῦ, γέγονε δι' ἡμᾶς ἄνθρωπος ὁ Μονογενὴς καὶ κατήργηκε τοῦ θανάτου τὸ κράτος, ἐξῆρε καὶ τὴν S. Joan. xii. 31. τοῦ θανάτου ῥίζαν τὴν ἁμαρτίαν, ἐξέβαλε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. ταῦτα δὲ πάντα πεποιηκὼς καὶ τῆς ὅλης οἰκονομίας συμπεπερασμένης, παραδίδωσι τουτέστι προσκομίσει τῷ Πατρὶ τὴν βασιλείαν τὴν διηρπασμένην πάλαι καὶ ὑφ' ἑτέροις γεγενημένην, τὸ κατεξουσιάζειν πάντων τῶν ἐπὶ γῆς ἀποκαταστήσας αὐτῷ, κατηργημένου τοῦ θανάτου καὶ τοῦ τυραννήσαντος κατ' αὐτῶν σατανᾶ, ἕξει πάλιν ὁ Υἱὸς καὶ εἰς τὸν μέλλοντα αἰῶνα τῆς κατὰ πάντων ἐξουσίας τὴν ὑπεροχήν.

11. ὁμοειδῆς Cod. 13. καὶ τὸ μὴ οὐκ] Ita Cod. legendum ut videtur καὶ τὸ μεῖον οὐκ. 25. παραδίδωσι τουτέστι προσκομίσει] Ita Cod. 26. πάλαι emendavi. πάλιν Cod.

ΤΟΜΟΣ Ζ.

Ἀλλ' ἐρεῖ τις Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; κ.τ.λ. 35 sqq.

Ὁ ΠΡΟΦΗΤΗΣ Ἡσαΐας μετὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως τὸ μυστήριον ὡς ἔσται κατὰ καιροὺς Θεοῦ κατανεύοντος, καὶ ἀφάτῳ δυνάμει μεταπλάττοντος εἰς ζωὴν τὸ τῷ θανάτῳ κεκρατημένον, προανακεκράγει λέγων "Ἀναστήσονται οἱ (Es. xxvi. 19.) "νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα "αὐτοῖς ἐστιν·" δρόσον οἶμαι λέγων τροπικῶς τὴν ζωοποιὸν ἐνέργειαν τοῦ Θεοῦ, καθ' ἣν καὶ τὸ εἶναι τοῖς οὐκ οὖσι προσνέμει, καὶ τοῖς ἤδη παρενηνεγμένοις εἰς ὕπαρξιν τὸ εὖ εἶναι χαρίζεται· συνέστηκε γὰρ τὰ πάντα ἐν αὐτῷ, καθάπερ ἀμέλει καὶ δι' αὐτοῦ παρήχθη πρὸς γένεσιν· ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαυεὶδ περὶ τῶν ἐπὶ γῆς πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν "Ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμ- (Ps. ciii. 28–30.) "παντα πλησθήσεται χρηστότητος· ἀποστρέψαντος δέ σου "τὸ πρόσωπον, ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐ- "τῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψου- "σιν· ἐξαποστελεῖς τὸ πνεῦμα σου καὶ κτισθήσονται, καὶ "ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς." πέπονθε μὲν γὰρ ἡ (76 M.) ἀνθρώπου φύσις τοῦ θείου προσώπου τὴν ἀποστροφὴν ἐν Ἀδὰμ διὰ τὴν παράβασιν· τοιγάρτοι μονονουχὶ συγκέχυται καὶ τετάρακται, καὶ εἰς τὸν ἴδιον ὑπενόστησε χοῦν, κατεβιβάσθη τε καὶ εἰς θάνατον καὶ φθοράν. ἐπειδὴ δὲ γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ τὴν τοῦ Ἁγίου Πνεύματος πεπλουτήκαμεν μέθεξιν, ἀναμορφούμεθα πρὸς τὸ ἐν ἀρχαῖς καὶ οἷον ἀνεκτίσμεθα· κεκλήμεθα γὰρ εἰς καινότητα ζωῆς, τὸ τοῦ θανάτου διαδιδράσκοντες κράτος. καὶ

1. Ita edidi ex H qui *κυρίλλου ἐκ τοῦ ζ τόμου πρὸς κορινθίους α'* exhibet.

[76 M.] Rom. viii. 11. μαρτυρήσει λέγων ὁ σοφώτατος Παῦλος "Εἰ δὲ τὸ πνεῦμα "τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν "Χριστὸν Ἰησοῦν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν "διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν." ὅτε τοίνυν ἀνεβίω μὲν ὁ Χριστὸς πατήσας τοῦ θανάτου τὸ κράτος, καὶ γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων ὡς ἑψομένων πάντως τοῖς ἴχνεσιν αὐτοῦ, πῶς οὐκ ἀπόπληκτον κομιδῇ τὸ κατά τι γοῦν ὅλως ἐνδοιάζειν ἔτι περὶ τὸ τῆς ἀναστάσεως μυστήριον;

Εἴ τις ἕλοιτο τοῖς τῆς θεότητος ἔργοις περιεργότερον ἐνιεὶς τῆς ἑαυτοῦ διανοίας τὸν ὀφθαλμὸν πειρᾶσθαι περιαθρεῖν τῆς ἑκάστου παραγωγῆς τὸν τρόπον καὶ τῆς γενέσεως Cf. in S. Joan. 358 e. τὴν ἀρχὴν, καταλήξειεν ἂν οὐδαμῶς τό Πῶς δὴ τοῦτο ἀπόπληκτον λέγων. πῶς γὰρ γέγονεν ὁ οὐρανὸς, ἐκ ποίας ὕλης ἢ πόθεν; ποίαν ἔχει τὴν ἕδραν; γῆ δὲ πῶς ἢ πόθεν καὶ ὅποι ποτὲ διερήρεισται; παρήχθη δὲ ὅπως ὁ ἡλίου κύκλος, σελήνη καὶ ἄστρα καὶ τὰ ἕτερα τῶν κτισμάτων; πῶς δὲ ὁ Gen. ii. 7. τῶν ὅλων Δημιουργὸς χοῦν ἀπὸ γῆς λαβὼν ἔπλασε τὸν ἄνθρωπον; πῶς εἰς ὀστέα καὶ νεῦρα καὶ σάρκας ἡ γῆ μετεπλάττετο; εἰ δὲ εἴπερ οὐχ εὑρεθησόμεθα τὸν ἐφ' ἑκάστῳ τῶν πεποιημένων ἀποδοῦναι λόγον, ταύτῃ καὶ ἀναιρήσομεν ὅτι καὶ γεγόνασιν ὅλως, ὅποι ποτὲ λοιπὸν ἐκτελευτήσειεν ἂν ἡ τῶν ἐννοιῶν ἤτοι σκαιῶν ἐγχειρημάτων ἔκβασις;

Τὸ μετὰ τὴν Χριστοῦ ἀνάστασιν ἀμφιβάλλειν περὶ ἀναστάσεως, δυσβουλίας ἐστὶ καὶ ἀμαθίας καὶ ἀλαζονείας, τὸ λέγειν ἐπὶ τῶν τοῦ Θεοῦ ἔργων τὸ πῶς, ἀλλὰ μὴν καὶ τὸ λέγειν Ποίῳ σώματι ἐγείρονται οἱ νεκροὶ καὶ τοῦτο εὔηθες· εὔδηλον γὰρ ὅτι τῷ αὐτῷ. καὶ γὰρ καὶ ὁ Κύριος τὴν ἑαυτοῦ σάρκα ἀνέστησεν ὡς ἦν. ἐπειδὴ δέ τινες λέγουσι προϋπεῖναι τὴν ψυχὴν, τιμωρίας δὲ ἕνεκεν ἐνδεσμεῖσθαι τῷ σώματι, ἀθετοῦσιν οὐ μόνον τὸν τῆς δημιουργίας λόγον καθ' ὃν ἐπὶ

3. ζωοποιήσει emendavi post Migne. ζωποιήσει A. Ed. 10. Haec duo quae sequuntur scholia nobis suppeditat H. 22. ἐκτελευτήσειεν emendavi. ἐκτελευτης εἶεν Cod. 24. τοῦ αὐτοῦ κυρίλλου praemittit Cod.

[76 M.]

ἀφθαρσίᾳ γέγονεν ὁ ἄνθρωπος, ἀλλὰ καὶ τὸν τῆς ἀναστάσεως· οὐ γὰρ ἐπὶ τιμωρίᾳ ὁ Θεὸς ποιεῖ τὴν ἀνάστασιν, [Cf. in S. Joan. 81 dc.] ἀλλὰ διὰ τὴν ἑαυτοῦ εὐσπλαγχνίαν.

Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖς Ναὶ λέγεις ὀρθῶς· παρίημί τε λοιπὸν τὸ χρῆναι ζητεῖν Πῶς ἐγείρονται οἱ νεκροί· διειδέναι γεμὴν ἀναγκαῖον ποίῳ σώματι ἔρχονται· ἆρα γὰρ τὸ ἐκ γῆς δὴ τοῦτο καὶ τῇ φθορᾷ κάτοχον ἀναβιώσεται σῶμα, ἢ ἕτερόν τι παρ' αὐτὸ πλὴν ἐξ αὐτοῦ; φαίην δ' ἂν ἔγωγε πρὸς τοῦτο εὐθὺς, ὡς ὁ μὲν ὀρθὸς τῆς πίστεως λόγος περιίστησιν ἡμᾶς εἰς τήνδε τὴν σάρκα τὴν ἀνάστασιν· ἀνεβίω γὰρ οὕτω Χριστὸς ὁ πρωτότοκος ἐκ νεκρῶν, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων· ἐπειδὴ δὲ οὐ σφόδρα τισὶν ἀρέσκει τὸ δόγμα, φέρε παραθέντες ὃν εὖ ἔχειν οἴονται λόγον, τὰ εἰκότα λέγωμεν· (εἶτα παραθεὶς τῶν προϋπάρχειν λεγόντων τὰς ψυχὰς τὰς μυθολογίας φησίν) Εἶτα πῶς ἀποσεμνύνεται Θεὸς ἐπὶ τῇ τοῦ [Cf. ib. 84 fin.] ἀνθρώπου κατασκευῇ; φησὶ γάρ που πρὸς τὸν μακάριον Ἰώβ "Εἰ σὺ λαβὼν γῆς πηλὸν ἔπλασας ζῷον, καὶ λαλητὸν [Hiob xxxviii. 14.] "αὐτὸ ἔθου ἐπὶ τῆς γῆς;" πέρα γὰρ οἶμαι παντὸς ἂν ἴοι θαύματος τὸ λογικὸν ἐκ γῆς ἀποτελέσαι ζῷον· πῶς δὲ γεγονότα τὸν ἄνθρωπον εὐθὺς καὶ πεπλασμένον ἐκ γῆς εὐλόγησεν ὁ Δημιουργός "Αὐξάνεσθε καὶ πληθύνεσθε λέγων καὶ πλη- [Gen. i. 28.] "ρώσατε τὴν γῆν;" (καὶ πολλὰ ἕτερα πρὸς αὐτοὺς εἰπὼν, ἐπιφέρει) ἀρίστῳ χρῆται παραδείγματι ὁ θεσπέσιος Παῦλος, πίπτειν μὲν εἰς γῆν τὸ σῶμα λέγων οἷά τινα κόκκον, οὐχ [ver. 37.] οὕτως ἀναστησόμενον καθὰ καὶ ἐσπάρη γυμνὸν, ἀλλ' ὡς ἐν ἀμφιάσει καὶ περιστολῇ τῶν ἐξ ἔθους ἐμφυομένων αὐτῷ, [77 M.] καλάμης δὴ λέγω καὶ φυλλάδος· δίδωσι γάρ φησιν ὁ Θεὸς [ver. 38.] ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. ἐπειδὴ γὰρ οὐχ ἅπαντας τοὺς κεκοιμημένους ἀναβιώσεσθαί φησιν ἐν δόξῃ, κἂν εἰ πάντες ἐν ἀφθαρσίᾳ· οὐ γάρ που τοῖς ἀνεπιεικέσι καὶ τοῖς

23. Inc. Σοφῶς οὖν χρᾶται ὁ σοφώτατος παῦλος H. 24. πίπτει (sic) H. 25. καθὰ καὶ ἐσπάρη γυμνὸν om. H. γυμνὸς A. ὡς assumptum ex H. 26. ἀμφιάσει A.H. ἀμφιέσει Ed. στολῇ H. συμφυομένων H. αὐτῷ] pergit ἵνα διδάξῃ ὅτι ἐν τῇ ἀναστάσει περιστέλλεται τὸ σῶμα δόξῃ Θεοῦ καὶ πλουτεῖ τὴν ἀφθαρσίαν ita desinens H.

[77 M.] τῶν φαύλων ἐργάταις τὸ ἐν εὐκλείᾳ τῇ παρὰ Θεοῦ στεφανοῦσθαι πρέπει· ταύτητοι χρησίμως διαφόρων μέμνηται σπερμάτων, οἷς καὶ διανέμει Θεὸς, καθ' ὃν ἂν ἕλοι τρόπον αὐτὸς, τὸ ἐν τοιῷδε τυχὸν ἢ ἑτεροίῳ σχήματι διαφέρεσθαι· φησὶ γάρ Καὶ ὃ σπείρεις οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις.

40 Καὶ σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια.

Εἷς μὲν ὁ λόγος καθὸ σῶμα ἑκάστου καὶ ἔστι καὶ λέγεται, μερίζεται δὲ εἰς διάφορα καθ' ἕτερόν τινα λόγον· καὶ ἀναβιώσεται μὲν ἐν ἀφθαρσίᾳ τὰ πάντων σώματα, πλὴν ἔσται τις διαφορὰ περί γε τὴν δόξαν καὶ τὴν περιστολὴν ἣν ποιοῖτο Θεὸς, τὰ πρὸς ἀξίαν ἑκάστῳ διανέμων.

Ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων.

Ἰστέον ὅτι δυσὶν ἀρτίως παραδειγμάτοιν εἰς μέσον ἡμῖν παρενηνεγμένοιν τοῦ τε κατὰ τὸν κόκκον φημὶ, καὶ τοῦ διεκφαίνοντος τὴν τῶν οὐρανίων σωμάτων τὴν ὡς ἐν δόξῃ διαφορὰν, ἀποφέρει τέως πρὸς τὴν τοῦ πρώτου δύναμιν τῆς τῶν νεκρῶν ἀναστάσεως ἐμφέρειαν, καί φησι τὸ ἑξῆς·

42 sqq. Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ.

Ὅνπερ γὰρ τρόπον ὁ τοῦ σίτου κόκκος ἐγκαταβληθεὶς τῷ βώλῳ γυμνὸς καὶ νεκρὸς, ἐν περιστολῇ σώματος καὶ ἐν προσθήκῃ κάλλους ἀναφὺς θαυμάζεται, κατὰ τὸν αὐτὸν τουτονὶ τρόπον καὶ τὸ ἀνθρώπινον σῶμα σπείρεται μὲν ἐν φθορᾷ καὶ ἐν ἀσθενείᾳ τε καὶ ἐν ἀτιμίᾳ, πλὴν ἀναβιώσεται τιμῇ τε καὶ ἀφθαρσίᾳ καὶ μὴν καὶ δυνάμει κατημφιασμένον. ἄξιον δὲ θαυμάσαι τοῦ θεηγόρου τὴν νῆψιν· ἐρηρεισμένην γὰρ ἔχων τὴν πίστιν, καὶ ὅτι πάντη τε καὶ πάντως ἀναβιώσεται πεποιθὼς, σπορᾷ παρεικάζει τὴν τοῦ σώματος φθορὰν, εὐτέχνως

5. φησὶ—σπείρεις assumpta ex A. 6. Hoc scholion assumptum ex H. 24. ἐν alt. om. Migne.

[77 M.]

δὴ λίαν καὶ σοφῶς πανταχῇ τῷ παραδείγματι τὴν τοῦ πράγματος φύσιν ἐξομοιῶν. οὐκοῦν τῷ κόκκῳ παραπλησίως οὐ γυμνὸν ἀναβιώσεται τὸ σῶμα, φησὶν, ἀλλ' εὖ μάλα περιεσταλμένον τὴν ἀφθαρσίαν καὶ τὴν δόξαν, καὶ πρός γε τούτοις τὸ εὐσθενὲς, καὶ μὴν καὶ τοῦτο καταπλουτοῦν τὸ ἐν φρονήματι γενέσθαι πνευματικῷ, μεταπλαττούσης τρόπον τινὰ τῆς ἄνωθεν χάριτος, καὶ τῆς ἀσυγκρίτου δυνάμεως τοῦ πάντων Δημιουργοῦ πρὸς πᾶν τοὐναντίον τὰ ἐν αὐτῷ. ἐνυπάρχει μὲν γὰρ τῷ πεσόντι σώματι καὶ οἷον εἰς γῆν ἐσπαρμένῳ φθορὰ καὶ ἀσθενεία καὶ τὸ ἀκαλλὲς, φρόνημά τε τὸ ψυχικὸν, ὃ καὶ ταὐτὸν εἶναί φαμεν τῷ σαρκικῷ καὶ γεωδεστέρῳ· ἐπειδὴ δὲ παρήχθη πρὸς γένεσιν ἐν ἀρχαῖς, κατὰ φύσιν οὐχ ὧδε ἔχον· παρεισέδυσαν δὲ ταυτὶ διὰ τὴν παράβασιν καὶ τὴν ἐπὶ τῷ θανάτῳ δίκην, ἀναφωνούσης ἡμῖν τῆς 78 M.
φύσεως εἰς τὸ ἐν ἀρχαῖς· πράττεται μὲν ἀναγκαίως δυνάμει τε καὶ ἐνεργείᾳ Θεοῦ τῶν μεταξὺ παρεισβεβληκότων ἡ ἀπόθεσις, ἀντεισκρίνεται δὲ τῶν πρώτων καὶ ἐν ἀρχαῖς ἐνόντων ἡμῖν ἀγαθῶν ἡ μέθεξις· ἀνεκαινίσμεθα γὰρ ἐν Χριστῷ κατὰ τὰς γραφάς· ἔφη γὰρ προφήτης ἅγιος "Θάρσει Σιὼν, μὴ Soph. iii. 16, 17.
"παρείσθωσαν αἱ χεῖρές σου· Κύριος ὁ Θεός σου ἐν σοὶ, "δυνατὸς σῶσαί σε, καὶ ἀνακαινιεῖ σε ἐν τῇ ἀγαπήσει "αὐτοῦ." ὅτε γὰρ ἠγάπησεν ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ, τότε δὴ τότε καὶ ἀνεκαίνισεν ἐν Χριστῷ· καὶ γάρ ἐστιν ἀληθὲς ὡς πάντα τὰ ἐν αὐτῷ "καινὴ κτίσις· καὶ τὰ μὲν ἀρχαῖα 2 Cor. v. 17.
"παρῆλθε, γέγονε δὲ καινά." ποῖα δέ φησιν ἀρχαῖα; τὰ παριππεύσαντα· καὶ ποῖα καινά; τὰ εἰσκεκριμένα· παλαιὰ μὲν ἡ φθορὰ, καὶ μέντοι τὸ ἄναλκι, καὶ πρός γε τούτῳ τὸ δυσκλεὲς, καὶ τοῦ ψυχικοῦ φρονήματος τὰ ἐγκλήματα· καινὰ

2. Inc. Τῷ H. οὐ γυμνὸν post σῶμα transponit H. 3. φησιν et εὖ μάλα om. H. 4. καὶ prius assumptum ex H. deest in A. πρός γε τούτοις om. H. 5. τὸ prius assumptum ex A.H. κἀκεῖνο pro καὶ τοῦτο H. 6–8. μεταπλαττούσης—ἐν αὐτῷ om. H. 9. γὰρ om. H. πεσόντι—ἐσπαρμένῳ] εἰς γῆν ἐσπαρμένῳ σώματι H. 10. ἀκαλλὲς] pergit δυνάμει δὲ Θεοῦ ἀντεισάγεται τῶν πρώτων καὶ ἐνόντων ἡμῖν ἀγαθῶν τὸ κατ' ἀρχὰς ἡ μέθεξις, ἡ ἀφθαρσία, ἡ δόξα, ἡ δύναμις· τὸ γὰρ ἀνακαινιζόμενον οὐκ εἰς ἀρχὰς ἄνεισι τοῦ εἶναι τοιῶσδε τυχὸν, ἀλλ' εἰς ὅπερ ἦν ἐν ἀρχαῖς ita desinens H.

[78 M.] δὲ διὰ Χριστοῦ, δόξα τε καὶ ἀφθαρσία καὶ δύναμις καὶ τὸ
ver. 44. φρόνημα τὸ πνευματικόν· ἔσται γὰρ ἡμῶν τὸ σῶμα πνευματικόν.

Τί τὸ πνευματικὸν εἴη ἂν ὦ μυσταγωγέ; ἆρα γὰρ ἔσται σὰρξ μὲν οὐκέτι, συγκείσεται δὲ οὐδαμῶς, καθάπερ ἀμέλει καὶ νῦν ἐξ ὀστῶν τε καὶ νεύρων δι' ὧν ἂν ἡ τοῦ καθ' ἡμᾶς (Cf. supra p. 218.) σώματος ἀποτελοῖτο φύσις· ἔσται δὲ μᾶλλον ἰσχνόν τε καὶ ἀερῶδες καὶ σκιαῖς ὀλίγα παραχωροῦν φησιν; οὐδαμῶς· εἰ γὰρ ὧδε ταῦτα ἔχειν οἴονταί τινες, οὐκ αὐτό που πάντως ἀναβιώσεται τὸ πίπτον εἰς γῆν, ἀλλ' ἕτερόν τι παρ' ἐκεῖνο, καὶ τῷ πρώτῳ προσεοικὸς οὐδέν· φαίην δ' ἂν εἶναι πνευματικὸν, οὐ τὸ ἐν εἴδει σκιᾶς, ἤγουν ἀσωμάτου πνεύματος, τὸ ἀφεστηκὸς δὲ μᾶλλον καὶ μὴν καὶ εἰσάπαν ἀπηλλαγμένον τοῦ σαρκικοῦ καὶ γεωδεστέρου φρονήματος. εἰ γάρ ἐστί φησι σῶμα ψυχικὸν, ἔστι καὶ πνευματικόν. ὥσπερ γὰρ εἴπερ ἕλοιτό τις τὸ ἀπὸ γῆς ἡμῶν σῶμα ψυχικὸν ἀποκαλεῖν, περιθείη ἄν τις εἰκότως οὐ τὸ ψυχῆς εἶδος αὐτῷ, περιτρέψει δὲ μᾶλλον τοῦ λόγου τὴν δύναμιν εἰς τὸ φρόνημα τὸ ψυχικὸν (S. Jac. iii. 15.) ἤγουν τὸ σαρκικὸν, καθάπερ ἀμέλει καὶ σοφίαν νοοῦμεν ψυχικὴν καὶ ἐπίγειον τὴν καθ' ἡμᾶς τε καὶ ἀνθρωπίνην· οὕτω κἂν εἰ λέγοιτο σῶμα ψυχικὸν, οὐκ ἂν οἶμαι τῷ αὐτῷ τὸ ψυχῆς εἶδος περιτιθεὶς, τὴν ἐπὶ τῷ πεπλανῆσθαι διαφύγοι γραφὴν, ἐπεὶ κατὰ τίνα τρόπον ζῶντές τε ἔτι καὶ ἐν αὐτοῖς δὴ τούτοις τοῖς ἀπὸ γῆς ὄντες σώμασι, ψυχικοὶ λέγονταί (Supra ii. 14, 15.) τινες καὶ πνευματικοί; γέγραπται γὰρ ὅτι "ψυχικὸς ἄνθρω- "πος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ

4—11. *τί—οὐδέν*] Haec accesserunt ex H, his verbis scholion incipiente, *κυρίλλου ἐκ τοῦ ζ τόμου τῆς πρὸς κορινθίους* praemittente. 14. Textum SS. Scripturae, e ver. 44 nempe, hic collocat Ed. *εἰ γάρ—πνευματικόν* assumpta ex H. 17. *τις* om. H. 19. *τὸ σαρκικὸν*] *τῆς σαρκὸς* H. Statim *καθάπερ—ἀνθρωπίνην* om. H. 21. *ἂν* om. H. *ἥτις αὐτὸ* pro *τῷ αὐτῷ* H. 22. *τῷ* H. *τὸ* Ed. 23. *γραφὴν*] pergit *οὐκ ἂν ψυχικὸν τὸ ὡς ἐν φρονήματι σαρκικῷ νοοῖτ' ἂν εἰκότως, ὁμοίως δὲ καὶ πνευματικὸν τέως, τὸ ὡς ἐν φρονήματι τῷ πνευματικῷ* ita desinens H cujus scholii partem iterum repetit (ut alibi) *Σῶμα πνευματικόν ἐστιν οὐ τὸ σκιῶδες καὶ ἀερῶδες, ἀλλὰ τὸ ἐξ ὀστέων τε καὶ νεύρων τὸ καὶ ἀνιστάμενον, ἀλλὰ τὸ εἰσάπαν ἀπηλλαγμένον τοῦ σαρκικοῦ καὶ γεώδους φρονήματος* [cf. infra p. 313, 7] *καὶ γὰρ καὶ τοῦτό φαμεν σῶμα ψυχικὸν, οὐ τὸ ψυχῆς εἶδος ἔχων, ἀλλὰ τὸ ψυχικὸν φρόνημα ἤγουν σαρκικόν· οὕτως καὶ σοφίαν νοοῦμεν ψυχικὴν τὴν καθ' ἡμᾶς τὴν ἀνθρωπίνην.* H.

[78 M.] “αὐτῷ ἐστιν· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς “δὲ ὑπ’ οὐδενὸς ἀνακρίνεται.” ἐπειδὴ δὲ ἦν ἀκόλουθον τὸν ἐπὶ τῷδε λόγον καὶ διὰ πραγμάτων ἐμπεδοῦν, προσεπάγει καί φησιν Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ver. 45. ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ψυχικὸν μὲν οὖν ὠνόμασε τὸν Ἀδάμ· τοῦτο γὰρ οἶμαί ἐστι τὸ εἰς ψυχὴν πεποιῆσθαι ζῶσαν, ὡς οὐκ εἰς ἅπαν ἀπηλλαγμένον σαρκικῶν 79 M. ἐπιθυμιῶν· αἵ τε γὰρ ὀρέξεις αἱ πρὸς τὰ τῆς σαρκὸς ὁρῶσαί τε καὶ τετραμμέναι πάθη, κἂν εἰ νόμον ἔχοιεν τὸν συνήγορον, ἀλλ’ οὖν εἶεν ἂν κατά γε τὸ ἀληθὲς σαρκικῆς ἀσθενείας ἐγκλήματα, εἰ πρός γε τὴν τῶν δρωμένων ὁρῶν τις φύσιν. forte ὁρῷ. οἷον δή τι φημί “Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος·” Heb. xiii. 4. ἐγκαταβέβληται γὰρ τῇ τοῦ σώματος φύσει παρὰ τοῦ πάντων δημιουργοῦ κίνησις ὀρεκτική, διανιστᾶσα τὸ ζῷον εἰς παιδοποιΐας ἔφεσιν· εἴρηται γὰρ πρὸς τὸν ἄνθρωπον “Αὐ- Gen. i. 28. “ξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν·” καὶ ὁ πλάσας δὲ, φησὶν, ἐν ἀρχῇ, “ἄρσεν καὶ θῆλυ ἐποίησεν S. Matth. xix. 4. “αὐτούς.” οὐκοῦν ἀκαταιτίατος μὲν ἡ εἰς μόνον ὁρῶσα παιδοποιΐαν ἔφεσις· πλὴν ὅσον ἧκεν εἰς τὴν τοῦ δρωμένου φύσιν, εἴη ἂν σαρκικὸν τὸ πάθος ἤτοι ψυχικόν· οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀδιαβλήτων παθῶν. οὐκοῦν εἰς ζῶσαν ψυχὴν ὁ πρῶτος ἄνθρωπος Ἀδάμ· ὁ δέ γε δεύτερος καὶ ἐξ οὐρανοῦ τουτέστι Χριστὸς οὐκ εἰς ψυχὴν μᾶλλον, ἀλλ’ εἰς πνεῦμα γέγονε ζωοποιοῦν· ἑνώσας γὰρ ἑαυτῷ τὸ ἀνθρώπινον ὁ ἐκ Θεοῦ Πατρὸς πεφηνὼς κατὰ φύσιν Θεὸς Λόγος, οὐ τὴν καθ’ ἡμᾶς ἀνθρωπίνην, ἀλλὰ θείαν τινα καὶ θεοπρεπῆ καὶ ἀμώμητον παντελῶς διεβίω ζωήν· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, ἀνέπαφον μὲν ἡδοναῖς ἐκτόποις ἔχων τὸν νοῦν, ἐπιθυμίαις δὲ ταῖς τῶν ἐδωδίμων οὐχ ἁλώσιμον· εἰ γὰρ καὶ ὁρᾶται μετεσχηκὼς τροφῆς καὶ ποτοῦ, διά τοι τὸ πιστεύεσθαι κατὰ ἀλήθειαν εἶναι ἄνθρωπος καθ’ ἡμᾶς, ἀλλ’ οὖν ἐλευθέραν ἐποιεῖτο τὴν μέθεξιν· ἦν μὲν γὰρ ἐν σαρκὶ δι’ ἡμᾶς οἰκονομικῶς, ὑπὲρ σάρκα δὲ πάλιν· πνεῦμα γὰρ ἦν ζωοποιὸν ὡς Θεός· ὁ

[79 M.] δέ γε προπάτωρ Ἀδὰμ οὐκ ἀνέγκλητον παντελῶς τὴν τῶν ἐδωδίμων ἔφεσιν εἰσεδέξατο· πεποίηται γὰρ εἰς ζῶσαν ψυχὴν, καὶ βρωμάτων ἡδονῆς ἡττώμενος, ἔφαγεν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καίτοι τοῦ θείου νόμου τοῦτο δρᾶν ἐξείργοντος.

Ὅτι τοίνυν ὁ ψυχικὸς οὐ φύσεως ἡμῖν διαφορᾶς ὑπεμφήνειεν ἂν, ζωῆς δὲ μᾶλλον ἠθῶν τε καὶ τρόπων ποιότητα, καθ' ἣν ὁ μέν τις ἐστὶ τῷ γεωδεστέρῳ καὶ σαρκικῷ φρονήματι κάτοχος, ὁ δὲ τῇ τοῦ πνεύματος ἐλευθερίᾳ περιφανὴς, ἀποδείκνυσι σαφῶς ἀπό τε Ἀδὰμ τοῦ πρώτου καὶ τοῦ δευτέρου· ἄμφω μὲν γὰρ γεγόνασιν ἐν γηΐνοις σώμασιν, ἀλλ' ἥ γε τοῦ φρονήματος οἱονεὶ ποιότης, καὶ μὴν καὶ τὸ ἑτεροίως ἑλέσθαι διαβιοῦν, τὸν μὲν ἀπέφηνε ψυχικὸν, ἕτερον γεμὴν ἀσυγκρίτως ἐν ἀμείνοσι τουτέστι πνευματικόν.

80 M.

46 Ἀλλ' οὐ πρῶτον τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικόν· ἔπειτα τὸ πνευματικόν.

Ἐπιλαμβάνεται δὲ τρόπον τινὰ τῶν καιρῶν καθ' οὓς γεγόνασι, καί φησιν Ἀλλ' οὐ πρῶτον τὸ πνευματικὸν, ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν· ἐπειδὴ ἔφη σπείρεσθαι μὲν εἰς γῆν τὸ σῶμα ψυχικὸν, ἀποφαίνει λευκῶς ὡς ἔστιν οὐκ ἀπαράδεκτον τῇ τοῦ ἀνθρώπου φύσει τὸ ἐκ φρονήματος ψυχικοῦ μεταφοιτᾶν εἰς πνευματικὸν, καὶ ὅτι πρεσβύτερον τοῦ πνευματικοῦ τὸ ψυχικὸν εἴη ἄν· καὶ τίς ἂν γένοιτο τῶν τοιούτων ἡ πίστις;

47 sqq. Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός κ.τ.λ.

Ὁ πρῶτός φησιν ἄνθρωπος τουτέστιν Ἀδὰμ, εἰς ψυχὴν πεποίητο ζῶσαν, τουτέστι γεώδης καὶ σαρκικός· ὁ γεμὴν

5–13 citat et Collectio testimoniorum Syriace in cod. Mus. Brit. Add. 12155 fol. 125 cum titulo *Ejusdem ex tomo septimo interpretationis Epistolae primae ad Corinthios quae certiores nos facit non esse essentiae corporalis nomina* spiritale animale*que*, *iterumque nomina* terrenus coelestis*que*, *sed potius morum mutationem introducere nomina illa.* 5. ὁ ψυχικὸς] τὸ ψυχικὸν recte Syr. Statim *spiritalive* add. Syr. 6. καὶ addidi post Migne favente Syr. 13. pergit καὶ μετ' ὀλίγα οὐκοῦν ἄμφω [315, 3.] Syr. 18. ἐπειδὴ—ψυχικὸν assumptum ex A.

[80 M.]

δεύτερος ἐξ οὐρανοῦ· εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ τοῦ Θεοῦ Λόγος κατὰ τὰς γραφὰς, ἀλλ' ἡ ... καὶ ὁ ἐξ οὐρανοῦ καὶ "ἐπάνω πάντων," κατὰ τὴν Ἰωάννου φωνήν· οὐκοῦν ἄμφω S. Joan. iii. 31. μὲν ἤστην, ὡς ἔφην, ἐν γηΐνοις σώμασιν, οὐ μὴν καὶ ἐν ἴσοις ἔτι κατά τε τὴν γνώμην ἤτοι τὸν τῆς ζωῆς τρόπον· ἦν μὲν γὰρ ὁ πρῶτος ἐν φρονήματι σαρκικῷ, πνεῦμα δὲ ζωοποιοῦν ὁ δεύτερος καὶ ἐξ οὐρανοῦ. καὶ ὥσπερ ἐφορέσαμεν τὴν εἰκόνα ver. 49. τοῦ χοϊκοῦ, τουτέστι τὴν πρὸς Ἀδὰμ ὁμοίωσιν, καὶ παθῶν ἡττώμενοι καὶ ἀσθενοῦντες εἰς ἁμαρτίας, καίτοι τῆς φθορᾶς ὑπενηνεγμένοι ζυγοῖς, οὕτω φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, τουτέστι Χριστοῦ· καὶ φιλοσαρκίας ἀμείνους καὶ τοῦ πλημμελεῖν ἐθέλειν ἔτι γεγενημένοι, καὶ αὐτὸν ἤδη νενικηκότες τὸν πάλαι δεινὸν καὶ δυσάντητον καὶ ἀγρίως καθ' ἡμῶν τυραννήσαντα θάνατον.

Ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται. 50

Συνίστησι τὸ τῆς ἀναστάσεως καὶ διὰ τούτου μυστήριον· ἕως μὲν γάρ ἐστι τὸ σῶμα τὸ ἀνθρώπινον σὰρξ καὶ αἷμα, τουτέστι θνητὸν καὶ φθαρτὸν, Θεοῦ βασιλείαν, τουτέστι τὸ εἶναι διηνεκῶς, οὐκ ἂν δύναιτο κληρονομεῖν. πᾶσα δὴ οὖν ἀνάγκη καταπίνεσθαι τὴν φθορὰν καὶ ἀφανίζεσθαι τὸ εὐμάραντον, μεταπλάττεσθαι δὲ πρὸς ἀφθαρσίαν αὐτὸ, καὶ θείᾳ τινὶ καὶ ἀποῤῥήτῳ δόξῃ καταφαιδρύνεσθαι· κληρονομήσει γὰρ τότε τὴν τοῦ Θεοῦ βασιλείαν.

Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμηθησόμεθα, 51 sqq. πάντες δὲ ἀλλαγησόμεθα.

Μέγα καὶ οὐράνιον ἀληθῶς τὸ μυστήριον, καὶ ἀποκαλυφθὲν αὐτῷ πάντως που διὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χρι- 2 Cor. xiii. 3.

2. ἀλλ' ἡ cum lacuna cod. teste Maio. ἀλλ' η cum lacuna A. forte ἦν. 3–7. citat Syr. 5. τε] Legendumne γε? 6. σαρκικῷ] ψυχικῷ τουτέστι σαρκικῷ Syr. 7. καὶ prius om. Syr. οὐρανοῦ des. Syr. 10. φορέσωμεν prius scriptum φορέσομεν deinde corrigit A.

[80 M.]
Col. ii. 3. στοῦ, "ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως
81 M. "ἀπόκρυφοι." αὐτὸς γάρ ἐστι καὶ τῶν ἔσεσθαι προσδοκωμένων διανομεὺς ἀγαθῶν· αὐτὸς μεταστοιχειώσει τὴν κτίσιν,
Rom. viii. 21. καὶ καινουργήσει τὸ σύμπαν, καὶ ἀπαλλάξει "δουλείας εἰς "τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ." καὶ εἰ ταῦτα ἀληθῆ, πῶς οὐκ ἔδει πάντη τε καὶ πάντως συνκαινουργεῖσθαι τῇ κτίσει τὸν δι' ὃν ἡ κτίσις, φημὶ δὲ τὸν ἄνθρωπον; ἔδει καὶ αὐτὸν ὁρᾶσθαι καινὸν, οὐ φθορᾷ τῇ πρώτῃ τυραννούμενον, οὐ σαρκικαῖς ἡδοναῖς εἰς ἁμαρτίας πλεονεκτούμενον, ἐγηγερμένον δὲ μᾶλλον ἐν ἀφθαρσίᾳ τε καὶ ἐν εὐσθενείᾳ καὶ ἐν τιμῇ καὶ θείᾳ τινι δόξῃ περιεσταλμένον. ἔφη γάρ που καὶ
Es. lviii. 8. ὁ θεσπέσιος Ἡσαΐας "Καὶ προπορεύσεται ἔμπροσθέν σου "ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε·" καὶ μὴν καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς διεβεβαιοῦτο σαφῶς, ὡς ἐν καιρῷ συντελείας τοῦ αἰῶνος τούτου ἀναβιώ-
Dan. xii. 3. σονται μὲν οἱ νεκροὶ, "οἱ γεμὴν συνιέντες ἐκλάμψουσιν ὡς "ἡ λαμπρότης τοῦ στερεώματος." πλὴν οὐχ ἅπασιν ἀδιακρίτως ἡ τῆς τοιᾶσδε τιμῆς καὶ δόξης προκείσεται χάρις· πρέποι δ' ἂν μᾶλλον ἀπολέγδην τοῖς τῶν ἄλλων ἐξῃρημένοις,
Rom. viii. 29. οἳ καὶ σύμμορφοι γεγόνασι "τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ·" ἀναβιώσονται μὲν γὰρ ὁμολογουμένως τὰ πάντων σώματα τῇ τῆς ἀφθαρσίας χάριτι κατημφιασμένα, ἀλλαχθήσονται δὲ οὐ πάντες· ἀλλ' οἱ μὲν φαῦλοι ἀπομενοῦσιν ἐν τῷ τῆς ἀτιμίας σχήματι ἐπὶ μόνῳ τῷ χρῆναι κολάζεσθαι, οἱ δέ γε δίκαιοι ἀλλαχθήσονται μόνοι πρὸς τῷ τῆς ἀφθαρσίας ἀγαθῷ, καὶ τῆς θείας δόξης καταπλουτήσαντες τὴν περιστολήν.
Phil. iii. 21. αὐτὸς τοιγαροῦν ἰδίᾳ δυνάμει καὶ ἐνεργείᾳ θεοπρεπεῖ "μετα-"σχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον "τῷ σώματι τῆς δόξης αὐτοῦ." ποῖον δὲ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν; τουτὶ τὸ ἐκ γῆς, τὸ τῷ θανάτῳ κατησχημένον ἐκ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς, ἣν λέλυκεν ὁ Χριστὸς

7. δὲ] δὴ A. 30. κατησχημένον] Ita et A. κατεσχημένον emendat Migne. cf. supra 302, 5. not.

[81 M.]
“γενόμενος ὑπὲρ ἡμῶν κατάρα·” ἔσται δὲ ὁ μετασχημα- Gal. iii. 13.
τισμὸς οὐκ εἰς ἑτέραν τινὰ φύσιν ἀποκομίζων ἡμᾶς, ἐσόμεθα
γὰρ ὅπερ ἐσμὲν, τουτέστιν ἄνθρωποι, πλὴν ἀμείνους ἀσυγ-
κρίτως· ἄφθαρτοι γὰρ καὶ ἀνώλεθροι, καὶ πρός γε τούτῳ
δεδοξασμένοι. τί δ᾽ ἂν βούλοιτο δηλοῦν ἡ ἐσχάτη σάλπιγξ ἣ ver. 52.
διανιστᾷ τοὺς νεκροὺς, αὐτὸς ἡμῖν σαφηνιεῖ λέγων ὁ θεσπέ-
σιος Παῦλος ““Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι ἐν φωνῇ 1 Thess. iv. 16.
“ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐ-
“ρανοῦ·” καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι. οὐκοῦν παρει-
κάζει σάλπιγγι τὴν τοῦ ἀρχαγγέλου φωνὴν, καὶ τὸ θεῖον
ἐκεῖνο καὶ φρικωδέστατον κέλευσμα. εἰ δὲ καὶ ὁ ἀρχάγγελός 82 M.
ἐστιν ὁ κεκραγὼς καὶ τὸ τῆς ἀναστάσεως σύνθημα διδοὺς
τοῖς ἐν γῇ κειμένοις, ἀλλ᾽ οὖν τοῦ Χριστοῦ ἔσται φωνή· καὶ
γάρ ἐστιν αὐτὸς ἰδίᾳ δυνάμει διανιστὰς τοὺς νεκροὺς, καὶ
οὐχί που πάντως ἡ τοῦ ἀρχαγγέλου φωνή· δεσποτικοῖς γὰρ
προστάγμασι πᾶσα κτίσις ὑπέζευκται λογική· ποία τοίνυν
ὅλως ἀνάστασις ἔσται κατὰ ἀλήθειαν, εἰ μὴ αὐτό φαμεν
ἀναβιώσεσθαι τὸ τῷ θανάτῳ κατησχημένον; ἢ τίνα τρόπον
ἐροῦμεν, μονονουχὶ κατορχούμενοι τῆς φθορᾶς Κατεπόθη ὁ ver. 54.
θάνατος εἰς νῖκος, καὶ τὰ ἑξῆς;

Ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; 55 sqq.

Ἰστέον δὲ ὅτι τὴν τοῦ προκειμένου ῥητοῦ παράθεσιν ὁ
μακάριος Παῦλος κατὰ τὴν ἑβραίων ἔκδοσιν ἐποιήσατο· ἔχει
δὲ οὐχ οὕτως ἡ τῶν ἑβδομήκοντα· γέγραπται γὰρ ἐν προφή-
ταις “Ποῦ ἡ δίκη σου θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη;” Hos. xiii. 14.
Πλὴν τὸ κέντρον τοῦ θανάτου φησὶν ἡ ἁμαρτία, ἡ δὲ δύναμις ver. 56.
τῆς ἁμαρτίας ὁ νόμος· πλήττει μὲν γὰρ οἷά τις σκορπίος ὁ

18. κατεσχημένον (ut supra) Migne. Inc. Εἰ μὴ τὸ πέσον εἰς γῆν ἀνίσταται ἀλλὰ μένει ἐπὶ γῆς, πῶς νενίκηται ὁ θάνατος, ἢ πῶς μονονουχὶ τῆς φθορᾶς κατορχούμενοι ἐροῦμεν κατεπόθη H. 20. νῖκος] Pergit τουτέστιν εἰς ἐκνίκησιν ἤγουν εἰσάπαν. ταύτην δὲ τοῦ ῥητοῦ τὴν παράθεσιν ὁ ἀπόστολος ἐποιήσατο κατὰ τὴν τῶν ἑβραίων ἔκδοσιν, οὐ μὴν κατὰ τὴν τῶν ἑβδομήκοντα, ἥτις οὕτως ἔχει ποῦ [ut infra 25] H. 25. ᾅδη des. H. 27. Inc. πλήττει μὲν ὡς σκορπίος ὁ Σατανᾶς ὁ H.

[82 M.] τὸ κέντρον ἔχων τοῦ θανάτου, τουτέστιν ὁ σατανᾶς· πλήττει δὲ οὐχ ἑτέρως, πλὴν ὅτι διὰ τῆς ἁμαρτίας· ἀλλ᾽ ἔδωκεν ἡμῖν
S. Luc. x. 19. ὁ Σωτὴρ "ἐπάνω ὄφεων καὶ σκορπίων πατεῖν καὶ ἐπὶ πᾶσαν "τὴν δύναμιν τοῦ ἐχθροῦ." κατηφάνισται γὰρ τοῦ θανάτου τὸ κέντρον, ἐξῃρημένης τῆς ἁμαρτίας καὶ οὐκ ἔτι δύναμιν ἐχούσης τὸν νόμον· κατακρίνει γὰρ ὁ νόμος τοὺς ἁμαρτάνοντας· τοιγάρτοι φησὶν ὁ θεσπέσιος Παῦλος δύναμιν εἶναι τῆς ἁμαρτίας τὸν νόμον· λέλυται δὲ καὶ τοῦτο ἐν Χριστῷ·
Rom. vi. 14. ἁμαρτία γὰρ ἡμῶν οὐ κυριεύσει, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον,
Ib. vii. 8. ἀλλ᾽ ὑπὸ χάριν· χωρὶς δὲ νόμου, ἁμαρτία νεκρά. τίς οὖν ὁ πάντων τούτων ἡμῖν χορηγὸς, τῆς δικαιοσύνης ὁ πρύτανις, τῆς ἐλευθερίας ὁ δοτὴρ, καὶ παντὸς ἀγαθοῦ πηγὴ καὶ πρό-
ver. 57. φασις, εἰσόμεθα λέγοντος τοῦ μακαρίου Παύλου Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ܕܝܠܗ ܡܢ ܦܘܫܩܐ ܕܡܫܒܚܐ ܕܦܘܠܘܣ ܕܐܓܪܬܐ
ܩܕܡܝܬܐ ܕܠܘܬ ܩܘܪܢܬܝܐ.

ܐܝܟ ܟܡܐ ܓܝܪ ܕܠܫܡܝܐ ܠܚܝܐ ܕܠܥܠ. ܡܫܡܫܢܐ ܐܬܘܗܝ، ܠܚܝܘܬܐ ܘܠܫܘܒܚܐ ܚܝܐ ܐܢܫܐ: ܡܬܚܫܒܝܢ ܕܝܢ ܟܠܗ ܡܫܘܬܦܘܬܐ: ܟܕ ܐܠܗܐ ܡܫܟܚܐ ܠܗ ܠܡܘܕܝܢܐ ܚܝܐ ܕܗܘ ܡ.ܚ. ܗܟܢܐ ܓܝܪ ܐܡܪܝܢ ܐܚܝܕܝܢ ܕܐܬܘܬܒܢ ܒܪܝܫܐ ܡܢ ܥܘܕܪܢܐ.

ܘܡܛܠ ܠ ܗܘܕܐ ܘܗܘܕܐ ܠܩܘܪܝܠܠܘܣ ܫܡܥ ܠܒ: ܕܒܦܘܫܩܐ ܕܡܫܒܚܐ ܕܦܘܠܘܣ ܕܐܓܪܬܐ ܩܕܡܝܬܐ ܕܠܘܬ ܩܘܪܢܬܝܐ
ܒܬܪ ܗܠܝܢ ○ ○ ○:○

ܐܝܟ ܓܝܪ ܐܡܬܝ ܕܐܬܐ ܐܚܪܝܬܐ ܗܘ ܕܡܢ ܚܝܐ

1. κέντρον H. κράτος Ed. θανάτου] pergit οὐκ ἄλλως δὲ εἰ μὴ διὰ τῆς ἁμαρτίας· ὅμως ὁ Χριστὸς κατηφάνισεν τοῦ (4) H. 6. κατακρίνει—νόμος] ὃς κατακρίνει H. ἁμαρτάνοντας] pergit εἰ οὖν δύναμις τῆς ἁμαρτίας ὁ νόμος λέλυται H. 8. Χριστῷ· οὐκοῦν καὶ θάνατος ἠφάνισται ita desinens H. 16. e Cod. Mus. Brit. 14532, fol. 37. cf. p. 304 cui forte pertineat. 23. e Severo contra add. Juliani cap. 27. Cod. Brit. Mus. Add. 12158, fol. 11; et e Cod. Brit. Mus. add. 14538, fol. 23. titulo verbisque non omnino iisdem. 26. Haec dedit

[82 M.]

ܦܓܪܐ ܕܢܦܫܢ܆ ܠܡܫܟܢܐ ܗܘ ܠܐ ܦܪܥ. ܡܛܘܠ ܠܗ ܕܝܢ ܬܬܐܪܬ ܠܡܐܘܬܐ ܕܒܢܝܢܫܘܬܗ ܕܕܗܒܐ. ܗܢܝܐ ܘܗܘܐ ܟܕ ܠܐ ܡܬܚܫܒܢܘܬܐ ܘܠܐ ܡܬܬܘܬܐ ܘܠܐ ܚܫܘܫܘܬܐ ܡܬܟܠܦ ܦܓܪܐ ܕܐܠܝܢ. ܠܘ ܓܝܪ ܗܘ، ܕܠܐ ܢܦܫܐ ܐܬܘܗܝ، ܡܢܫܐ ܘܠܐ ܡܬܚܫܫ. ܡܬܬܚܫܒ ܕܝܢ ܐܡܬܢܝܬܐ ܓܝܪ ܗܘ، ܕܡܬܢܝܬܐ ܀

ܐܝܟܢ ܐܝܟܢܐ ܕܐܡܪ ܠܒܪ ܡܢ ܗܘܬ ܐܢܬܬܗ، ܗܘ ܕܐܡܪ܆ ܘܠܐ ܕܝܢ ܬܬܐܪܬ ܗܘ ܕܢܦܠ ܒܐܪܥܐ. ܐܝܟܢܐ ܐܙܕܪܥ ܡܬܘܬܐ: ܐܦ ܗܘ، ܒܐܪܥܐ ܗܘ ܕܡܛܝܒܬ. ܐܝܟܐ ܕܝܢ ܦܘ ܡܢܟܬܐ ܗܘܬ ܒܙܪܪܐ: ܐܝܟܢܐ ܕܠܐ ܐܡܪܝܢ ܕܡܬܝܚܕ ܗܘ ܕܡܢ ܡܘܬܐ ܐܝܟܢ.

versione Latina Maius titulo "libro septimo in epistolam II ad Corinthios"; sed et Codex noster uterque, 14583 nempe et ille Severi 12158 Epistolam primam citat: nec libros septem continet S. Cyrilli explanatio in Epistolam secundam, libro quarto in caput ultimum commentaria habente. 4. ܕܐܠܝܢ] + ܡܘܬܐ Cod. 14538. 6. Hic desinit Scholion in Severi tractatu: Cod. 14538 tamen reliqua exhibet.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΑΠΟΣΠΑΣΜΑΤΑ ΟΛΙΓΑ ΤΙΝΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ Β.

ΤΟΜΟΣ Α ΛΟΓΟΣ Α.

Κεφ. α'. Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός.

Ὁ ΣΟΦΩΤΑΤΟΣ ἀπόστολος Παῦλος προκεχειρισμένος εἰς διακονίαν τὴν ἐπὶ Χριστῷ διὰ θελήματος Θεοῦ παρῆχθαί φησιν, τὴν τῶν ψευδοπροφητῶν καὶ ψευδαποστόλων δόξαν ὡς δυσσεβῆ παρωθούμενος, λαλῶν δὲ ἐν Πνεύματι, καὶ αὐτὸν ἔχων ἐνηυλισμένον ἐν ἰδίᾳ ψυχῇ τὸν Ἰησοῦν· ὡς φάσκειν πῆ μέν "Δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν," πῆ δέ "Εἰ "δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ." δοῦλον ἑαυτὸν εἶναί φησιν αὐτοῦ, καίτοι τῶν ὅλων κατεξουσιάζοντος τοῦ Θεοῦ καὶ κατάρχοντος μόνου· εἴρηται γὰρ πρὸς αὐτόν "Ὅτι τὰ σύμπαντα δοῦλα σά·" πῶς οὖν οὐκ ἐναργῶς φυσικήν τε αὐτῷ καὶ ἀληθῶς θεοπρεπεστάτην τῆς κυριότητος ἀπονέμει δόξαν;

1 Cor. vii. 40. Infra xiii. 3.

Ps. cxviii. 91.

6. Ita H. 13. ἐνηυλισμένον emendavi. ἐγκυλισμένον (sic) Ed.

[83 M.]

Ἐξ ὧν ἀπόστολον ἑαυτὸν λέγει τοῦ Ἰησοῦ, Θεὸν φύσει καὶ ἀληθῶς καταγγέλλει τὸν Ἰησοῦν· οὐδεὶς γὰρ ἀπόστολον εἴη ἂν ἀνθρώπων ἀλλὰ Θεοῦ μᾶλλον τοῦ κατὰ φύσιν· καὶ δείκνυσιν ὅτι οὐ παρὰ γνώμην τοῦ Πατρὸς ἐκλήθη πρὸς τὴν ἀποστολὴν, οὔτε ἀπὸ καρδίας λαλεῖ ὡς οἱ ψευδομάντεις, ἀλλὰ Θεοῦ λόγια διακονεῖται. κοινωνὸν δὲ ποιεῖ τῆς ἐπιστολῆς τὸν Τιμόθεον, ὡς δόκιμον καὶ ἀκολουθοῦντα τοῖς αὐτοῦ ἴχνεσιν, ἵνα γοργότερον πείσῃ διὰ τῆς συμφωνίας, ἐπείπερ ὁ νόμος λέγει "Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν "σταθήσεται πᾶν ῥῆμα." Infra xiii. 1 e Deut. xix. 15.

Τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ.

Γράφουσι τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, καίτοι Χριστοῦ λεγομένης εἶναι τῆς Ἐκκλησίας· αὐτὸς γὰρ αὐτὴν ἑαυτῷ παρέστησε παρθένον ἁγνήν· εἴπερ οὖν ἐστιν ἡ Ἐκκλησία Θεοῦ, Χριστὸς δὲ ὁ ταύτην ἑαυτῷ παραστήσας, Θεὸς ἄρα κατὰ φύσιν ἐστὶν ὁ ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας. Eph. v. 27. Infra xi. 2.

Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. 2

Εἴπερ οὐκ ὄντα Θεὸν κατὰ φύσιν ἠπίστατο τὸν Υἱὸν, πῶς οὐκ ἔδει μᾶλλον εἰπεῖν Χάρις ὑμῖν καὶ εἰρήνη παρὰ μόνου τοῦ Θεοῦ καὶ Πατρός; νυνὶ δὲ συνεισδεχόμενος καὶ συνδοτῆρα τιθεὶς τὸν Χριστὸν ὧν ἂν ἡ θεία χαρίσαιτο φύσις, 84 M. δῆλος ἂν εἴη δήπουθεν οὐκ ἠγνοηκὼς ὄντα κατὰ φύσιν Θεόν·

1–9. Hoc scholion nobis suppeditat H. Post δόξαν, pergit Ed. *ποιεῖται δὲ μονονουχὶ συλλήπτορα καὶ κοινωνὸν τῶν ἐπεσταλμένων δοκιμώτατον ὄντα Τιμόθεον, ἵνα πείσῃ τοῦ νόμου λέγοντος ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.* 6. *διακονεῖτε* Cod. 9. *καὶ* retinui ex Ed. *ἢ* H. 10. *ῥῆμα*] pergit H (cf. schol. sqq.) *ἐπεὶ οὖν τὴν ἐκκλησίαν τοῦ θεοῦ καλεῖ, χριστοῦ δέ ἐστι τοῦ παραστήσαντος ἑαυτῷ ταύτην, θεὸς κατὰ φύσιν ἐστὶν ὁ ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας. εἶτα ἐπεύχεται τοῖς κορινθίοις τὰ κάλλιστα ὑπάρξαι ὁ παῦλος διὰ τοῦ χριστοῦ ἰησοῦ, καὶ οὐ μέμνηται μόνου τοῦ πατρὸς ἀλλὰ καὶ τοῦ ἰησοῦ, ἐπειδήπερ ἐπίσταται καὶ τὸν ἰησοῦν θεὸν κατὰ φύσιν καὶ συνδοτῆρα ὧν ἡ θεία χαρίζεται φύσις· χριστὸν γὰρ ἰησοῦν ὀνομάζων τὸν ὁμοούσιον ἐν τῷ θεῷ καὶ πατρὶ τὸν ἐκ θεοῦ λόγον ἐν σαρκὶ πεφηνότα δηλοῖ· ὅτε γὰρ ἐσαρκώθη, τότε καὶ ἰησοῦς ὠνομάσθη.*

[84 M.] ἀναγκαίως τοιγαροῦν συνεισδεξόμεθα τῷ Θεῷ καὶ Πατρὶ τὸν Υἱὸν εἰς τὸν τῆς ταυτότητός τε καὶ ὁμοουσιότητος λόγον, ἵνα καὶ Θεὸς εἷς χορηγὸς ὑπάρχων νοῆται τῶν πνευματικῶν ἀγαθῶν. Χριστὸν δὲ Ἰησοῦν ὀνομάζων, τὸν ἐκ Θεοῦ Λόγον ἐν σαρκὶ πεφηνότα δηλοῖ· εἰ δέ ἐστι χορηγὸς ὧν ἂν καὶ αὐτὸς ὁ Πατὴρ, πῶς οὐ Θεὸς κατὰ φύσιν καθ' ἕνωσιν οἰκονομικὴν μετὰ τῆς ἰδίας σαρκὸς νοεῖται Χριστός; οὕτω καὶ
Rom. ix. 5. ὁ σοφώτατος Παῦλος περὶ τῶν ἐξ Ἰσραὴλ πού φησίν "Ὧν "οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ "πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν."

ΤΟΜΟΣ Α ΛΟΓΟΣ Β.

18 sqq. Πιστὸς δὲ ὁ Θεὸς ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ.

1 Cor. xii. 3. Οὐδεὶς λέγει "Κύριος Ἰησοῦς εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ·"
1 S. Joan. v. 6. τὸ δὲ πνεῦμά ἐστιν ἀλήθεια, κατὰ τὸ γεγραμμένον· ἔμπλεων δὴ οὖν ἀληθείας, ἤτοι τοῦ Ἁγίου Πνεύματος, τὴν διάνοιαν ἔχοντες οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων κήρυκες, οὐκ ἂν νοοῖντο ψευδοεπεῖς· ἃ δ' ἂν λέγοιεν περὶ Χριστοῦ, ταῦτα δὴ πάντως ἐστὶν ὀρθῶς τε καὶ ἀραρότως ἔχοντα· καὶ πιστώ-
S. Matth. x. 20. σεται λέγων αὐτὸς ὁ Χριστός "Οὐ γὰρ ὑμεῖς ἐστε οἱ "λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν "ἐν ὑμῖν." διὸ οὐ λέγει τοῦτό ἐστιν ὡς πρὸς τοὺς διαβάλλειν αὐτὸν πειρωμένους ὡς τὰ ἐναντία ἑαυτῷ λέγοντα διάτοι τὸ ποτὲ μὲν, ὡς Θεὸν κατὰ φύσιν κηρύττειν τὸν Ἰησοῦν, ὅτε δὲ καὶ ὡς ἄνθρωπον. ἀναγκαίως τοίνυν ταῖς ἐκείνων ἀνεπιεικείαις οἱονείπως ἐπιπηδῶν, ὅτι μὴ γέγονεν αὐτῷ διττός τε καὶ ἀσαφὴς ὁ λόγος, ἁπλοῦς δὲ μᾶλλον καὶ ἀληθὴς, πληρο-

11. Ita H. 16. Inc. πλήρεις ὄντες ἀληθείας οἱ τῶν H. 18. ψευδοεπεῖς] ψεύσται H. 19. πάντα H. τε assumptum ex H. 19–22. καὶ alt—ἐν ὑμῖν om. H. 22–p. 323, 4. διὸ—κηρύγματι assumptum ex H. 22. λέγει τοῦτο] Aliquid excidisse videtur.

[84 M.]

φορεῖ λέγων Ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ· τουτέστιν οὐκ αὐτὸς ἑαυτῷ μαχόμενος καὶ νενοσηκὼς τὸ ἀσύμβατον, ποτὲ μὲν τοῦτο ἐπαινεῖν, ποτὲ δὲ ψέγειν, ἀλλ' ἀληθεύων ἐν τῷ κηρύγματι· πιστὸς οὖν ἐστιν ὁ Θεός, τουτέστιν ἀψευδής τε καὶ ἀληθής.

Ἑλλήνων οἱ λογάδες περὶ τῶν παρ' αὐτοῖς ὑπειλημμένων θεῶν δοξάσουσι διαφόρως, ναί τε καὶ οὔ λέγοντες· οὐ γάρ ἐστι παρ' αὐτοῖς ἡ ἀλήθεια ἀλλὰ μᾶλλον τὸ ψεῦδος· διὸ καὶ διαφόροις σαλεύονται δόξαις· ὁ δὲ ἀληθῶς καὶ κατὰ φύσιν Υἱὸς τοῦ πάντα ἰσχύοντος Θεοῦ, πῶς ἂν γένοιτο ναὶ καὶ οὔ;

. . . . ἀναγκαίως δὲ καὶ ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸς ὁ ἐν ὑμῖν ver. 19.
δι' ἡμῶν κηρυχθεὶς δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ· πᾶς γὰρ ἐπ' αὐτῷ λόγος ἀληθὴς διὰ τῆς τῶν θεηγόρων γέγονε φωνῆς. καὶ ὅσαι δή φησιν ἐπαγ- ver. 20.
γελίαι τοῦ Θεοῦ, ἐν αὐτῷ τὸ ναὶ, τουτέστι φιλοτιμίαν τε καὶ ὑπόσχεσιν ἅπασαν ἐν αὐτῷ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐσχήκαμεν· καὶ τοῦτο ἐν τῷ Ναὶ, τουτέστιν ἐν ἀληθείᾳ· ἥκει γὰρ ταῦτα πρὸς πέρας διὰ Χριστοῦ· "κατεπόθη γὰρ ὁ 1 Cor. xv. 54.
"θάνατος εἰς νῖκος," καὶ τὸ τῆς φθορᾶς κατεσείσθη κράτος, παύσεται δὲ καὶ τὸ ἄναλκι καὶ πρὸς τούτοις ἡ ἀτιμία· καθὰ ἔφη καὶ ὁ σοφώτατος Παῦλος καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ· ἀποδεδείγμεθα δὲ καὶ αὐτῆς τῆς τῶν ἁγίων βασιλείας κληρονόμοι καὶ μέτοχοι· ἐρεῖ γὰρ ἡμῖν αὐτὸς ἐπὶ τοῦ θείου βήματος ὁ ἐν ᾧ τὸ ναί "Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός S. Matth. xxv. 34.
"μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν "ἀπὸ καταβολῆς κόσμου." οἰκέται μὲν γὰρ ἡμεῖς τό γε ἧκον εἰς τὴν φύσιν· ἀλλ' ἀπὸ δούλων εἰς ἐλεύθερον ἐκλήθημεν ἀξίωμα δι' αὐτοῦ, ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν, ἀπὸ τοῦ δουλεύειν τῷ διαβόλῳ ἀπαλλάγημεν. πᾶσα τοίνυν ἐπαγγελία

1. ἡμῶν] ὑμῶν Cod. 4. γάρ pro οὖν H. 5. ἀληθής des. H. 6–10. ἑλλήνων—καὶ οὔ nobis suppeditat H. 11–13 ἀναγκαίως—καὶ οὔ desunt in H, retinui ex Ed. 13. γὰρ] + ὁ Ed. 14. φωνῆς des. H., sed incipit de novo πᾶς ἐπ'. ὅσαι—τουτέστι om. H. 15. τε om. H. 17–26. ἧκει—κόσμου om. H. 26–29. οἰκέται—ἀπαλλάγημεν assumpta ex H.

[84 M.] τοῦ Θεοῦ διὰ Χριστοῦ μόνον ἔχουσα τὸ ναί· ἀπαράδεκτον δὲ παντελῶς τὸ οὔ· ὅπερ ἐστὶν ἡ ἄρνησις· καὶ γάρ ἐστιν 85 M. αὐτὸς ἡ ἀλήθεια. προσαποδείκνυσι δὲ καὶ τοῦτον ἐνικῶς ὅτι κατὰ φύσιν ἐστὶ Θεός· εἰ γὰρ οὐκ ἂν διαψεύσαιτο τὰς ἐπαγγελίας, ἀποπερανεῖ δὲ μᾶλλον τοῖς ἁγίοις αὐτὰς, καίτοι τοῦ Θεοῦ καὶ Πατρὸς τὰ ἀγαθὰ διανέμοντος, πῶς οὐκ ἂν εἴη φύσει τε καὶ ἀληθῶς Υἱὸς, καὶ ὡς ἐκ Θεοῦ Θεὸς, ὁ ἐν ᾧ S. Jac. i. 17. "πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον" οὐ διεψευσμένως;

ver. 20. Ὅτι δέ ἐστιν ἀψευδὴς ὁ λόγος, προσεμπεδοῖ λέγων Διὸ καὶ δι᾽ αὐτοῦ τῷ Θεῷ τὸ ἀμὴν πρὸς δόξαν δι᾽ ἡμῶν· ἐπειδὴ γάρ ἐστιν αὐτὸς ὁ μεσίτης, ὁ δι᾽ οὗ καὶ μόνου προσιτὸς ὁ Πατὴρ, ὁ ἐν ᾧ πᾶσα δόσις πνευματικὴ, δι᾽ αὐτοῦ δὴ πάντως καὶ πᾶν ἔσται πέρας εὐχῆς· καὶ τοῦτό ἐστι τὸ ἀμήν· καὶ πρός γε τοῦτο ἡμᾶς αὐτὸς ὁ Υἱὸς πεπαιδαγώγηκε λέγων τοῖς ἁγίοις S. Joan. xvi. 23, 24. ἀποστόλοις "Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε "οὐδέν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τι αἰτήσητε τὸν Πατέρα, "δώσει ὑμῖν ἐν τῷ ὀνόματί μου· ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν "ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν "ᾖ πεπληρωμένη." δι᾽ αὐτοῦ μὲν οὖν τὸ ἀμὴν τῷ Θεῷ Πατρὶ πρὸς δόξαν δι᾽ ἡμῶν. ἔθος γὰρ ἡμῖν ἁπάσης εὐχῆς κατακλείειν πέρας ἐν ὀνόματι τοῦ Χριστοῦ. ὅτι δὲ οὐκ ἂν ἀμοιρήσειεν αὐτὸς τοῦ δοξολογεῖσθαι πρέπειν, ἀκονιτὶ διοψόμεθα τοῦ Gen. xlix. 8. μακαρίου προφητεύοντος Ἰακὼβ "Ἰούδα, σὲ αἰνέσαισαν οἱ "ἀδελφοί σου·" ἀνέφυ γὰρ ἐκ τῆς Ἰούδα φυλῆς κατὰ σάρκα Es. vi. 1. Χριστός· Ἡσαΐου γεμὴν τοῦ προφήτου λέγοντος "Εἶδον "τὸν Κύριον σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ

1. τοῦ om. H. τὸ ναὶ μόνον ἔχουσα inverso ordine H. ἀπαράδεκτον—ἐστὶν] οὐ μὴν τὸ οὔ τουτέστιν H. 3. ἡ om. H. 3–5. προσαποδείκνυσι—αὐτὰς] καὶ πάντα πληροῦται διὰ χριστοῦ H. 6. καὶ assumptum ex H. διανέμοντος—εἴη] νέμοντος ἵνα γνῶμεν ὅτι H. 7. υἱὸς καὶ] υἱὸς ὁ χριστὸς H. ὁ om. H. 8–11. οὐ—ἡμῶν om. H. 12. αὐτός ἐστιν inverso ordine H. ὁ secundum et ὁ ἐν ᾧ πᾶσα δόσις πνευματικὴ om. H. 13. δὴ om. H. ἔσται καὶ πᾶν inverso ordine H. 14. ἀμήν] pergit ἔθος γὰρ ἡμῖν πᾶν πέρας εὐχῆς κατακλείειν ἐν ὀνόματι (cf. infra 22) τοῦ Χριστοῦ. δι᾽ αὐτοῦ οὖν ἡμῶν τὸ **ἀμὴν** τῷ Πατρὶ ἀναπέμπομεν καὶ οὐκ ἂν ἔξω (cf. infra 325, 11) τοῦ προσκυνεῖσθαι τῷ Πατρὶ, κἂν γέγονεν τῶν ἁγίων λειτουργὸς διὰ τὸ ἀνθρώπινον (ut 325, 8) desinens H.

[85 M.] “ἐπηρμένου,” περιεστηκότα δὲ τὰ σεραφεὶμ, ἅγιον αὐτὸν ἀποκαλοῦντα, καὶ κύριον σαβαὼθ ὀνομάζοντα, πλήρη τε λέγοντα εἶναι τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς δόξης αὐτοῦ. ὅτι δὲ αὐτὸν τεθέαται τὸν Υἱὸν, ἀποδείξει λέγων ὁ σοφὸς ὁ Ἰωάννης “Ταῦτα δὲ εἶπεν Ἡσαΐας ὅτι εἶδεν τὴν δόξαν [S. Joan. xii. 41.] “αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ.” οὐκοῦν καὶ εἰ ὁ Πατὴρ δοξάζοιτο δι᾽ αὐτοῦ, καὶ ἐπειδὴ δὲ τέθειται “διὰ πίστεως ἱλα- [Rom. iii. 25.] “στήριον,” γέγονε δὲ καὶ “τῶν ἁγίων λειτουργὸς” διὰ τὸ [Heb. viii. 2.] ἀνθρώπινον, ὡς θυσίαν πνευματικὴν τὴν ἑκάστου τῶν ἁγίων ἱερουργεῖ προσευχήν· δι᾽ αὐτοῦ γὰρ ἡμῶν τὸ ἀμήν· καὶ οὐκ ἂν ἔξω νοοῖτο τοῦ καὶ προσκυνεῖσθαι δεῖν καὶ συνδοξάζεσθαι τῷ γεγεννηκότι παρά γε ἡμῶν αὐτῶν καὶ τῆς ἄνω πληθύος τῶν ἁγίων πνευμάτων. ἔφη δέ που θεσπέσιος Παῦλος “Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκου- [Ib. i. 6.] “μένην, λέγει Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι [86 M.] “Θεοῦ·” καίτοι τίνι τῶν ὄντων ἀσυμφανὲς ὡς ἔστι Μονογενὴς καθ᾽ ὃ ἂν νοοῖτο Θεός; μόνος γὰρ ἐκ μόνου γεγέννηται τοῦ Πατρός· ἐπειδὴ δὲ καθεὶς ἑαυτὸν ἐν τοῖς καθ᾽ [Cf. Rom. viii. 29.] ἡμᾶς ἐν πολλοῖς γέγονεν ἀδελφοῖς, τότε τέθειται πρωτεύων [Col. i. 18.] αὐτός· καὶ πρός γε τῷ εἶναι Μονογενὴς ὡς Θεὸς, κεχρημάτικε καὶ πρωτότοκος διὰ τὸ ἀνθρώπινον.

Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν κ.τ.λ. [21 sqq.]

Βεβαιοῖ ἡμᾶς ὁ Θεὸς καὶ Πατὴρ εἰς Χριστὸν, ὀρθὴν καὶ ἀκατάσειστον ἐνιδρυσάμενος πίστιν ταῖς ἁπάντων ψυχαῖς, φρονεῖν ἀναπείθων ὡς ἔστι φύσει τε καὶ ἀληθείᾳ Θεὸς, κἂν εἰ ἐν τῷ καθ᾽ ἡμᾶς ὁρῷτο σχήματι, γεννηθεὶς κατὰ σάρκα ἐκ γυναικὸς ὁ ὑπὲρ πᾶσαν κτίσιν· καὶ γοῦν αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁμολογοῦντι τῷ Πέτρῳ τὴν πίστιν, λέγοντί τε σαφῶς “Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ [S. Matth. xvi. 16.] “ζῶντος,” ἀντανεφώνει λέγων “Μακάριος εἶ σὺ Σίμων [Ib. 17.]

5. ὅτι] ὅτε e suo perperam Migne. cf. supra in S. Joan. 505 a. 23. καὶ ἀκατάσειστον om. H. 25. φρονεῖν ἀναπείθων assumptum ex H. 26. εἰ om. H. 27–p. 326, 9. ὁ ὑπὲρ—ναί] τοῦτο γὰρ σεπτὸν μυστήριον καὶ τῆς ἄνωθεν μυσταγωγίας ἄξιον H.

[86 M.] “ βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι, ἀλλ᾽ ὁ
“ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.” ἐπειδὴ γὰρ παμμέγεθες
τὸ μυστήριον, δέοιτ᾽ ἂν εἰκότως μυσταγωγίας τῆς ἄνωθεν
καὶ παρὰ Πατρός· βεβαιοῖ τοιγαροῦν ἡμᾶς αὐτὸς εἰς Χριττὸν
ver. 22. ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ χρίσας Θεὸς καὶ δοὺς τὸν ἀῤῥα-
βῶνα τοῦ Πνεύματος. εἴη δ᾽ ἂν οὐκ ἀσυμφανὲς καὶ διά γε
Supra ver. 19. τούτων ἡμῖν, ὅτι μὴ γέγονεν ὁ Υἱὸς “ ναὶ καὶ οὔ·” Θεὸς δὲ
μᾶλλον ἀληθινὸς, καὶ ἐφ᾽ ἅπασι τοῖς ἀγαθοῖς “ ἐν αὐτῷ
“ τὸ ναί.” Θεοῦ γὰρ ἡμᾶς σφραγίσαι τε καὶ χρίσαι λεγο-
μένου, δόντος τε τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, Χριστὸς ἂν
εἴη πάλιν ὁ ταῦτα πληρῶν ἐν ἡμῖν, οὐχ ὑπουργικῶς, οὔτε
μὴν ἀλλοτρίῳ καταχρίων τε ἡμᾶς καὶ σφραγίζων Πνεύματι,
ἀλλ᾽ αὐτῷ τῷ ἰδίῳ καὶ τῷ τοῦ Πατρός· ἐν γὰρ ἀμφοῖν τὸ
Πνεῦμα τὸ Ἅγιον διὰ τὴν ταυτότητα τῆς οὐσίας οὐ μεμε-
ρισμένως, ἀλλ᾽ ὡς ἐκ Πατρὸς δι᾽ Υἱοῦ διῆκον ἐπὶ τὴν κτίσιν·
S. Joan. xx. 22. ἐνεφύσησε γὰρ τοῖς ἁγίοις ἀποστόλοις λέγων “ Λάβετε
“ Πνεῦμα Ἅγιον·” δι᾽ αὐτοῦ τε καὶ ἐν αὐτῷ πρὸς εἰκόνα
κατεσφραγίσμεθα τὴν θείαν καὶ νοητήν· ἔφη γὰρ αὐτὸς ὁ
Gal. iv. 19. θεῖος ἀπόστολος Γαλάταις ἐπιστέλλων “ Τεκνία μου, οὓς
“ πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν·” εἰ δὲ
εἰς Χριστὸν μορφούμενοι, τὸν θεῖον ἐν ἑαυτοῖς πλουτοῦμεν
εἰκονισμὸν, αὐτὸς ἄρα ἐστὶν ἡ εἰκὼν τοῦ Θεοῦ καὶ Πατρὸς καὶ
ἡ ἀκριβὴς ἐμφέρεια, καὶ οὐ καθάπερ ἡμεῖς κατὰ μέθεξιν
ἁγιασμοῦ πρὸς ὁμοιότητα κεκλημένοι, φύσει δὲ μᾶλλον καὶ
οὐσιωδῶς· Θεὸς γὰρ ὁ φύσει πρὸς τὸν φύσει τε καὶ ἀληθῶς
87 M. Θεὸν καὶ ἐκ τῆς αὐτοῦ γεγενημένον οὐσίας, οὐδὲν ἂν ἔχοι τὸ
ἀπεοικός· ἐσφραγίσθαι δὲ καὶ αὐτὸν παρὰ τοῦ Θεοῦ καὶ
S. Joan. iii. 33. Πατρὸς, Ἰωάννης φησὶν ὁ σοφώτατος· “ Ὁ λαβὼν γὰρ
“ αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής

9. γὰρ—δόντος τε] δὲ λεγομένου σφραγίσαι ἡμᾶς καὶ χρίσαι καὶ δεδωκέναι H. 12. μὴν om. H. Statim ἀλλοτρίως (sic) H. 12–23. καταχρίων—κατὰ] χρίων πνεύματι ἀλλὰ τῷ ἰδίῳ σφραγίζων δι᾽ οὗ πρὸς εἰκόνα τὴν θείαν κατασφραγιζόμεθα καὶ μορφούμεθα κατὰ H. 24. κεκλημένος (sic) et pergit εἰ γὰρ καὶ αὐτὸς ὁ Χριστὸς λέγεται ἐσφραγίσθαι κατὰ τὸ εἰρημένον, ὁ λαβὼν αὐτοῦ (29) H. 26. γεγενημένον] Legendumne γεγεννημένος ?

[87 M.]

"ἐστιν·" ἐσφράγισται δὲ πάλιν οὐκ ἐν ἴσῳ τρόπῳ καθ' ὃν καὶ ἡμεῖς, ἀλλ' ὅλον ἑαυτὸν ἐν τῇ τοῦ Υἱοῦ φύσει μονονουχὶ γράφοντος τοῦ Πατρὸς καὶ οἷον οὐσιωδῶς ἐνσημαινομένου· ταύτητοι ἔφασκεν "Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα." S. Joan. xiv. 9.

Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ. Κεφ. β'. 14

Εὐχαριστοῦσιν οἱ ἀπόστολοι δοκιμαζόμενοι καὶ πονοῦντες καὶ καυχῶνται τοῖς ἀγῶσιν τοῖς διὰ Χριστόν· ὥσπερ γὰρ ὑπὲρ ἡμῶν τεθριάμβευται Χριστὸς τὸν ἐπὶ ξύλου θάνατον ἀνατλάς, καὶ τελειωθεὶς διὰ παθημάτων, οὕτω καὶ αὐτοὶ θριαμβεύεσθαί φασιν ὑπὲρ αὐτοῦ, τουτέστι γνωρίζεσθαι τοῖς ἁπανταχῇ καὶ καταλαμπρύνεσθαι διὰ πειρασμῶν καὶ νικᾶν τὸν κόσμον, διά γε τοῦ πάντα παθεῖν ἑτοίμως ἔχειν καὶ λίαν ἀσμένως ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ· εἰσὶ γάρ εἰσι μέτοχοι τῶν αὐτοῦ παθημάτων, ὡς φησὶ, "καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης" κοινωνοί· Θεὸν δὲ εἶναί φασι τὸν θριαμβεύοντα αὐτοὺς, οὐχ ὡς ἐνιέντα τῷ πάσχειν αὐτοὺς οὔτε μὴν ὡς θλίψεις ἐπισωρεύοντα, ἀλλ' ὅτι κατὰ τὸ αὐτῷ δοκοῦν τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν διακηρύττοντες τὸν Ἰησοῦν, τοῖς ὑπὲρ αὐτοῦ περιπίπτουσι πειρασμοῖς· ἄνευ γὰρ πειρασμῶν εὐδοκιμεῖν ἀδύνατον· ὁ δὲ τούτων καρπὸς ὅτι πάσχουσιν ἐν Χριστῷ, τουτέστι διὰ τὸν Χριστὸν, ὅπερ ἐστὶν εὐκλεὲς καὶ ἐλπίδων ἀνάμεστον ἀγαθῶν. Heb. ii. 10. Acta SS. Ap. v. 41. 1 S. Pet. v. 1.

Ποία δέ τις ἄρα ἐστὶν ὀσμὴ τῆς γνώσεως τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ διὰ τῶν ἁγίων ἀποστόλων τῷ κόσμῳ φανερουμένη καὶ ἐν

1. ἐσφράγισται—ὃν καὶ] οὐχ ὡς H. 3. ἐνσημαινομένου des. H. 8, 9. Εὐχαριστοῦσιν—Χριστὸν assumpta ex H. 9. γὰρ assumptum ex H. 12. τουτέστι H. τοῦ τε Ed. 13. διὰ] + τῶν H. 14–16. διά—φησὶ] εἴσι γὰρ κοινωνοὶ τῶν τοῦ χριστοῦ παθημάτων H. 17. δὲ εἶναί φασι] δὲ λέγει H. 18. ὡς—ἐπισωρεύοντα] ὡς αὐτοῦ τοῖς πάθεσιν αὐτοὺς ὑποβάλλοντος H. 19–21. ὅτι—πειρασμοῖς] ὅτι διὰ τὸ κήρυγμα ὃ ποιοῦνται κατὰ τὸ αὐτῷ(?) θέλημα ὑποπίπτουσι πειρασμοῖς H. 21–24. Haec ἄνευ—ἀγαθῶν accesserunt ex H. pergit ἡ δὲ ὀσμὴ τῆς γνώσεως τοῦ Θεοῦ ἡ (26) H. 26. ἁγίων om. H. φανερουμένη] pergit τὸ κηρύσσειν τὸν Χριστὸν ὅτι ἐσαρκώθη ὁ Λόγος καὶ ἐτέχθη ἐκ γυναικὸς καὶ ἐσταυρώθη καὶ ἀπέθανεν καὶ ἀνέστη, οὐ γὰρ καθὸ καθ' ἡμᾶς ἄνθρωπος ὁ Χριστὸς τὴν τοῦ Πατρὸς εὐωδιάσει φύσιν οὐδὲ ὀσμὴ (ut infra 328, 14) H.

[87 M.] παντὶ τόπῳ, καθά φασιν αὐτοὶ, διδάξει πάλιν αὐτὸς ὁ θεσπέ-
Infra iv. 5. σιος Παῦλος ἐκεῖνο λέγων "Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν,
"ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν
1 Cor. ii. 2. "διὰ Ἰησοῦ Χριστου·" καὶ πάλιν "Οὐ γὰρ ἔκρινά τι
"εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν Ἰησοῦν, καὶ τοῦτον ἐσταυ-
"ρωμένον." εἶτα τίνα τρόπον ὁ γεννηθεὶς ἐκ γυναικὸς, ὁ
σταυρὸν ὑπομείνας καὶ θάνατον ὑποδὺς, εἰ καὶ ἀνεβίω πάλιν,
ὀσμὴ τῆς γνώσεως ἔσται τοῦ Θεοῦ καὶ Πατρὸς, εἰ καθάπερ
οἴονταί τινες ψιλὸς καθ' ἡμᾶς, ἤγουν θεοφόρος, ἄνθρωπος
νοεῖται Χριστὸς, καὶ οὐκ αὐτὸ κατὰ φύσιν ὑπάρχων Θεὸς,
κἂν εἰ νοοῖτο προλαβὼν τὸ ἀνθρώπινον οἰκονομικῶς ὁ ἐκ
Θεοῦ Λόγος; οὐ γὰρ ἔν γε τῷ εἶναι καθ' ἡμᾶς καὶ πέρα τοῦ
μηδὲν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὐωδιάσει φύσιν, οὐδ' ἂν
ὀσμὴ γένοιτο τοῦ μὴ εἰδότος θάνατον ὁ θάνατον ἀνατλάς·
πῶς οὖν ὀσμὴ τῆς γνώσεως τοῦ Πατρὸς ὁ Χριστός; ἢ δῆλον
88 M. ὅτι καθὸ νοεῖται καὶ ἔστι Θεὸς, κἂν εἰ πέφηνεν ἐν σαρκὶ δι'
ἡμᾶς; ἐπεὶ τίνα τρόπον οἱ διακηρύσσοντες τὸν Χριστὸν
καταγγέλλουσι τῷ κόσμῳ τὸν φύσει τε καὶ ἀληθῶς ὄντα
Θεόν; ἢ πῶς ἂν εἰδεῖεν τὸν Ἰησοῦν; τίνα δὲ τρόπον καὶ
Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ τὸν κόσμον ἑαυτῷ καταλλάττειν
λέγεται παρὰ τῶν ἁγίων μυσταγωγῶν, εἰ μὴ συνεισδέξαιτό
τις τῷ ἐκ Θεοῦ φύντι Λόγῳ πρὸς ἕνωσιν τὸ ἀνθρώπινον,
ἀπαιτούσης τοῦτο τῆς σοφῆς οἰκονομίας; καταγγέλλουσι
γὰρ οἱ θεσπέσιοι μαθηταὶ λαλοῦντες ἐν πνεύματι, οὐχ ὡς ἐν
ἀνθρώπῳ κατοικήσαντα τὸν τοῦ Θεοῦ Λόγον, ἀλλ' ὡς σάρκα
γεγονότα, τουτέστιν ἑνωθέντα σαρκὶ ψυχὴν ἐχούσῃ τὴν
Ib. 8. λογικήν· οὕτω γὰρ ἂν εἴη καὶ τῆς δόξης κύριος ὁ ἐσταυ-

14. θάνατον prius] pergit ὅ ἐστιν τοῦ Πατρὸς ὁ ἀποθανὼν Χριστὸς εἰ μὴ καθὸ (16) H. 17–26. ἐπεὶ—σαρκὶ] ἑνωθεὶς σαρκὶ H. 27. λογικὴν] pergit (abbrevians fortasse ex alia commentariorum parte) οὐ μὴν ὅτι θεοφόρος (cf. supra 9) ἐστὶν ἄνθρωπος ὁ Χριστός· οἱ γὰρ ἑτερόφρονες τοῦτό φασι καὶ διαιροῦσιν εἰς δύο τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν ὅς ἐστιν ἀλη(θ) Θεὸς καὶ ζωὴ αἰώνιος. ἐν ᾧ δὲ ὁ Χριστὸς ὀσμή ἐστι τοῦ Πατρὸς, δῆλον ὅτι ὁ αὐτός ἐστι τῷ Πατρὶ κατὰ φύσιν ἄκτιστος καὶ ἀγένητος· ὁ γὰρ κτιστὸς οὐ δύναται ὀσμὴ εἶναι τοῦ ἀκτίστου οὔτε τὸ ἐναντίον ὁ ἄκτιστος τοῦ κτίστου. ἐπεὶ ἔσται ὀσμὴ κτίσεως ὁ Πατὴρ, καὶ ὁ εἰδὼς τὸν Υἱὸν ὃν λέγουσί τινες κτίσμα, οἶδε πάντως καὶ τί κατὰ φύσιν ὁ Πατήρ· ἀλλὰ εὔηθες τουτο, οὐ γὰρ ἐν τῷ (329, 8) H.

[88 M.]

ρωμένος· οὐκοῦν κἂν εἰ νοοῖτο μετὰ σαρκὸς, κἂν εἰ τοῦτο μὲν οὐχὶ, καταμόνας δὲ ὥσπερ καὶ οὔπω καθ' ἡμᾶς γεγονὼς, ὁ ἐκ Θεοῦ Λόγος, ὀσμὴ τῆς γνώσεώς ἐστι τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐν ἰδίᾳ φύσει τὸν ἐξ οὗπέρ ἐστιν εὐωδιάζων εἰς ἡμᾶς. καὶ εἴπερ ἐστὶν ἀληθὲς ὅ φημι, πῶς ἂν εἴη γενητὸς καὶ τοῖς ἐξ οὐκ ὄντων λαχοῦσι γένεσιν ἐναρίθμιος; οὐκ ἂν γὰρ γένοιτο τοῦ μὴ κτισμένου ὀσμὴ, μήτε ὑπάρχοντος γενητῶς· οὐ γὰρ ἔν γε τῷ ἀγενήτῳ τὸ γενητὸν ὀψόμεθα, οὐδὲ ἐν τῷ γενητῷ τὸ ἀγένητον. ἀλλὰ μὴν ἔδειξεν ὁ Υἱὸς ἐν ἑαυτῷ τὸν Πατέρα· Θεὸς ἄρα κατὰ φύσιν ἐστὶ διὰ τὸ τῆς οὐσίας ταὐτόν· ἀκουέτω τοίνυν καὶ πρὸς ἡμῶν ὁ Υἱός "Μύρον ἐκκενωθὲν ὄνομά σου"· ἐγνώκαμεν γὰρ δι' αὐτοῦ τε Cant. i. 3.
καὶ ἐν αὐτῷ τὸν ἐξ οὗ γεγέννηται Πατέρα καὶ Θεόν.

Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν Θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις. 15 sqq.

Εὐωδιάζουσι τῷ Θεῷ καὶ Πατρὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, πρῶτον μὲν ὡς αὐτὸν ἔχοντες διὰ τοῦ Πνεύματος ἐνοικοῦντά τε καὶ ἐνηυλισμένον, εἶτα ὅτι τοῖς ἁπανταχοῦ διακηρύττοντές τε καὶ περιφέροντες τὸν ἐπ' αὐτῷ λόγον, καθάπερ τι τῶν εὐοσμοτάτων θυμιαμάτων, προσεκόμιζον τῷ Θεῷ τὴν ἔν γε τούτῳ σπουδήν· κατὰ τρίτον δὲ τρόπον, ὅτι καὶ σύμμορφοι γεγονότες αὐτῷ, διὰ τῶν ἴσων τετελείωνται παθημάτων. εὐωδίαν γε μὴν ἑαυτοὺς εἶναί φασι τοῦ Χριστοῦ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν ὀσμὴ ἐκ ver. 16.

2. οὔπω emendavi. οὕτω Ed. 9. ἀγένητον] pergit οὐκοῦν ἡ κτίσις ἐν ἰδίᾳ φύσει οὐκ αν παρέδειξεν εἴποτε τὴν τοῦ ἀκτίστου φύσιν· ἐπεὶ οὖν ἔδειξεν ὁ Υἱὸς ἐν ἑαυτῷ τὸν Πατέρα, Θεὸς (cf. 10) ἄρα κατὰ φύσιν ἐστιν, οὐ μὴν ποίημα· ἀεὶ γὰρ τῶν ὄντων ἕκαστον εὐωδιάζει τὸ συγγενές. ἄγγελος γὰρ ἀγγέλου ὀσμή ἐστι καὶ οἷον ἀπόδοσις νοητὴ τῆς ἐπ' ἐκείνοις γνώσεως, καὶ ἄνθρωπος ἀνθρώπου κατὰ τὸν ἴσον τρόπον, ὁ δὲ βοῦς ἢ ἵππος οὐκ ἀπόζει τὴν ἀνθρώπου φύσιν· πῶς οὖν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος ὀσμή τις καὶ εὐωδία νοεῖται τοῦ Θεοῦ καὶ Πατρός, εἴπερ ἐστιν ἑτεροφυής; H. 14. Θεῷ addidit inter emendationes Maius. 16. εὐωδιάζωσιν H. ὡς αὐτὸν ἔχοντες διὰ τοῦ πνεύματος ἐνοικοῦντα τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν inverso ordine et statim ἐν ἑαυτοῖς addit H. 18. ἢ pro τε—εἶτα H. ἐνηυλισμένον emendavi ut supra p. 320. ἐνκυλισμένον Maius. ἐγκυλισμένον Migne. τοῖς ἁπανταχοῦ et τε om. H. 19. λόγον] + καὶ τὸν εὐαγγελικὸν κήρυγμα H. 21. γε om. H. ἢ pro κατὰ τρίτον δὲ τρόπον H. 22. καὶ om. H. χριστῷ pro αὐτῷ H. 23. παθημάτων] pergit οὐκοῦν ὀσμὴ μὲν τοῦ πατρὸς οὐσιωδῶς ὁ υἱὸς, εὐωδία δὲ αὐτοῦ καὶ οἱ θεσπέσιοι μαθηταὶ, καθ' οὓς προείρηται τρόπους. H.

[88 M.] θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωὴν, κατιδεῖν
ἀκόλουθον. οὐκοῦν νοηθεῖεν πρὸς ἡμῶν εἰκότως οἱ σωζόμενοί
τε καὶ ἀπολλύμενοι, κατά γε τὸν πρέποντα ταῖς θεωρίαις
σκοπὸν, οἱ πιστεύοντές τε καὶ οἱ τὴν πίστιν παρωθούμενοι,
89 M. καὶ οἱ μὲν οὔπω Θεὸν τὸν φύσει τε καὶ ἀληθῶς ἐγνωκότες,
Rom. i. 25. λελατρευκότες δὲ μᾶλλον τῇ κτίσει παρὰ τὸν κτίσαντα.
οὗτοι τοῦ θείου κηρύγματος τὸν λόγον οὐ προσιέμενοι, δια-
1 Cor. i. 18. γελῶντες δὲ μᾶλλον καὶ μωρίαν εἶναι νομίσαντες τὸ Χριστοῦ
Supra ver. 14. μυστήριον, δέχονται "τὴν ὀσμὴν τῆς γνώσεως" τοῦ Πατρὸς,
ἐκ θανάτου πρὸς θάνατον· ἐν θανάτῳ γὰρ ὄντες διά τοι τὴν
ἐνοῦσαν αὐτοῖς ἀγνωσίαν καὶ πώρωσιν, μονονουχὶ καὶ δευ-
τέρῳ θανάτῳ περιπταίοντες ἁλοῖεν ἄν· οἱ γεμὴν διὰ τῆς
νομικῆς παιδεύσεως πρὸς ἀρχὰς ἐνηνεγμένοι τῆς γνώσεως τοῦ
Θεοῦ, γεγόνασι μέν πως ἐν ζωῇ, πλὴν εἰ πιστεύσειαν παρα-
δέξονται τὴν ὀσμὴν τῆς γνώσεως τοῦ Πατρὸς ἐκ ζωῆς εἰς
ζωήν· φησὶ γάρ που Χριστὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς
S. Joan. xvii. 3. Πατέρα καὶ Θεόν "Αὕτη δέ ἐστιν αἰώνιος ζωὴ, ἵνα γινώ-
"σκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας
"Ἰησοῦν Χριστόν." ἀλλὰ τίς ἂν γένοιτό φησι πρὸς ταῦτα
ἱκανός; καὶ μάλα εἰκότως· δυσεύρετος γὰρ ἀληθῶς ᾧπερ ἂν
ἐνυπάρχοι τὸ δύνασθαι λαλεῖν ὀρθῶς τε καὶ ἀπλανῶς τὸ
Χριστοῦ μυστήριον, ὁποῖοί τινες ἦσαν οἱ θεσπέσιοι μαθηταὶ,
καὶ τὰς τῶν ἑτεροφρόνων δυστροπίας διορθούμενοι, οἷς ἔθος
ver. 17. ἐστὶ καὶ διὰ πλείστης τέθειται σπουδῆς τὸ οἷον ἐκκαπηλεύειν
τὸν τοῦ Θεοῦ λόγον, ἀπάτῃ τε καὶ ψεύδει συγκεκραμένην ἀεὶ
ποιεῖσθαι φιλεῖν τῆς πίστεως τὴν ἀπόδοσιν· οὐ γὰρ ἔστι παρ᾽
αὐτοῖς ἄκρατον ὥσπερ καὶ ἀνόθευτον εὑρεῖν τὴν ἀλήθειαν·
ἀλλ᾽ οἵ γε θεῖοι μυσταγωγοὶ λαλοῦντες ἐν Πνεύματι, ὡς ἐξ
εἰλικρινείας κατέναντι Θεοῦ πάντα τε δρῶσι καὶ λέγουσιν.

20. Inc. de novo Δυσεύρετος γάρ ἐστιν ὁ δυνάμενος ἀπλανῶς λαλῆσαι τὸ χρι-στοῦ μυστήριον ὁποῖοί τινες ἦσαν οἱ θεσπέσιοι μαθηταί H., deinde verba οὐ γάρ ἐσμεν ὡς οἱ λοιποὶ καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ proponens, inc. τοὺς ἑτερό-φρονας αἰνίττεται οἷς σπουδὴ τὸ ἐκκαπηλεύειν (ut 24) H. 25. τε om. H. συγκρίνοντες τῆς π. H. 26. οὐ—ἀλήθειαν assumpta ex H. 28. γε om. H. λαλοῦντες—λέγουσιν] ἐξ εἰλικρινείας κατέναντι θεοῦ πάντα ποιοῦσι καὶ λέγουσιν ἐν Χριστῷ H.

[89 M.]

Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν. Κεφ. γʹ. 2

Οὐ τῆς διὰ λόγων δεόμεθα μαρτυρίας, αὐτοῖς γὰρ πράγμασιν εὐδοκιμοῦντες ὑμεῖς οἱ μαθηταὶ καὶ πιστοὶ δειχθέντες Χριστοῦ, ἡμᾶς τοὺς διδασκάλους ὑμῶν στεφανοῦντε καὶ εὐδοκίμους ἐδείξατε. διὸ ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, τουτέστιν ἀεὶ καὶ διαπαντὸς ἐν μνήμῃ τῇ παρ' ἡμῖν κειμένῃ· ἀεὶ γὰρ σεμνυνόμεθα, φησὶν, ἐν ὑμῖν.

Οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. 3

Ἐπισφραγίζει καὶ προφητικῇ μαρτυρίᾳ τό Οὐκ ἐν πλαξὶ λιθίναις ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις· ἔφη γάρ που, φησὶν, ὁ Θεὸς διὰ φωνῆς προφήτου "Ἰδοὺ ἡμέραι ἔρχονται, "λέγει Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ "οἴκῳ Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν "διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου "τῆς χειρὸς αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, "ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέ-"λησα αὐτῶν, φησὶ Κύριος· διδοὺς νόμους μου εἰς τὴν "διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτοὺς, "ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ "τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος·" πάλαι μὲν γὰρ ὁ θεσπέσιος Μωσῆς νόμον ἐδέχετο τὸν παιδαγωγὸν ἐν πλαξὶ λιθίναις, καθὰ γέγραπται· αἴνιγμα δὲ τοῦτο γεγενῆσθαί φαμεν τῆς Ἰουδαίων σκληροκαρδίας· μᾶλλον γὰρ ἀπαράδεκτον ὥσπερ ταῖς σφῶν αὐτῶν διανοίαις ἀποφαίνει τὸν νόμον, καὶ οἷον ἐν λίθοις βραχὺ μὲν καὶ μόλις ἐνιζηκότα, πλὴν εὐαπόβλητον παντελῶς καὶ μάλα ῥᾳδίως ἀποπτυό-

Hier. xxxviii. 31–33. Exod. xxxi. 18. 90 M.

1–9. Hoc scholion nobis suppeditat H. 3, 4. Cf. Theod. ad loc.
23. Inc. Ὁ μώσεως νόμος ἐν πλαξὶ λιθίναις γέγραπται, αἴνιγμα τῆς ἰουδαίων σκληροκαρδίας ἐμφαίνων καὶ ὅτι ἔμελλον αὐτὸν ἀποβάλλειν ἀφ' ἑαυτῶν ὡς ῥαδίως ἐκ λίθων ἀποπτυόμενον (cf. 28 et pergit ὁ δὲ 332, 5) H.

[90 M.]

Es. xxix. 13. S. Matth. xv. 9. Ezek. xi. 19, 20. Supra ver. 2.

μενον. καὶ γοῦν ἔφη που Θεός "Ἐγγίζει μοι ὁ λαὸς οὗτος "τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ "δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβον-"ταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων." ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πλαξὶ καρδίας σαρκίναις, τουτέστιν αἰσθητικαῖς, τοὺς ἱεροὺς ἡμῖν καὶ θείους ἐγγράφει νόμους· τοιγάρτοι καὶ ἔφασκεν διὰ φωνῆς Ἰεζεκιὴλ τοῦ προφήτου "Καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν "λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν καὶ δώσω αὐτοῖς καρδίαν "σαρκίνην, ὅπως ἐν τοῖς προστάγμασί μου πορεύωνται." εἴ τις οὖν οὐ ταῖς διὰ Μωσέως προσερήρεισται σκιαῖς, οὔτε μὴν μέλανι γεγραμμένον ἔχει τὸν νόμον ὡς ἐν πλαξὶ λιθίναις, ἀλλ' εἰς νοῦν ἔσω διὰ τοῦ Πνεύματος, οὗτός ἐστιν ἐπιστολὴ Χριστοῦ γινωσκομένη ὑπὸ πάντων ἀνθρώπων.

5. ἡμῶν et Χριστὸς om. H. καρδίαις pro πλαξὶ καρδίας H. Statim τρυφέραις καὶ pro σαρκίναις τουτέστιν H. 7–10. τοιγάρτοι—πορεύωνται om. H. 11–13. ταῖς—πνεύματος] μέλανι διὰ τῶν μωσέως σκιῶν ἀλλὰ εἰς νοῦν ἔσω διὰ τοῦ πνεύματος ἔχει τούτους γεγραμμένους H. 14. ἀνθρώπων] addit οὐδὲν γάρ ἐστιν κρυπτὸν ὃ οὐ μὴ γνωσθῇ· Χριστὸς γὰρ τοὺς τοιούτους στεφανοῖ καὶ φῶς τοῦ κόσμου καθίστησι καὶ τῆς ἁπανταχοῦ γῆς ἀποφαίνει γνωριμωτάτους.

ΤΟΜΟΣ Β.

ΛΟΓΟΣ Α.

Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ Χριστοῦ πρὸς τὸν Θεόν κ.τ.λ. 4 sqq.

ΕΙΔΩΣ ὁ Παῦλος τῆς ἀποστολῆς τὸ ἀξίωμα οὐκ ἀνθρωπίναις μᾶλλον ἀνάπτει δυνάμεσιν ἀλλὰ τῷ πάντα ἰσχύοντι Θεῷ καὶ τοῖς τοῦ λαβεῖν ἀξίοις ὀρέγοντι διὰ μεσίτου Χριστοῦ. διό φησι πάντα μὲν ἐν Χριστῷ τοῖς ἁγίοις τὰ ἀγαθά· καὶ γὰρ "ἔστιν ἄνωθεν καὶ ἐκ τοῦ πατρὸς τῶν φώτων πᾶν S. Jac i. 17.
"δώρημα τέλειον·" ἀλλ' οὖν ὁ δι' οὗ τὰ πάντα καὶ ἐν ᾧ τὰ πάντα Χριστός ἐστιν, μεσιτεύων μὲν ἡμᾶς καὶ Θεὸν διὰ τὴν οἰκονομίαν, πλὴν ἐνεργῶν τὰ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἅτε δὴ καὶ ὑπάρχων αὐτοσοφία τε καὶ δύναμις αὐτοῦ· ποία δέ ἐστιν ἡ πεποίθησις ἡ διὰ Χριστοῦ πρὸς Θεὸν,
ἄκουε δὴ προσεπάγοντός τε καὶ λέγοντος Οὐχ ὅτι ἀφ' ἑαυτῶν ver. 5.
ἱκανοί ἐσμεν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· "πᾶσα γὰρ σοφία Sir. i. 1.
"παρὰ Κυρίου," κατὰ τὸ γεγραμμένον· ἀλλ' ἡ ἱκανότης
ἡμῶν ἐκ τοῦ Θεοῦ ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς δια- ver. 6.
θήκης, οὐ γράμματος ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτέννει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. καὶ τί τὸ γράμμα ἐστίν; ὁ

1, 2. Ita H. 5–8. Εἰδὼς—φησι assumpta ex H. 8. ἐν Χριστῷ om., διὰ χριστοῦ ante τὰ addens H. ἁγίοις H. ἀξίοις Ed. Post ἀγαθά pergit μεσιτεύει γὰρ ἡμῖν καὶ Θεῷ διὰ (11) H. 12. ἐνεργῶν] αὐτὸς ἐνεργεῖ H. 13. ἅτε—τε] ὡς αὐτὸς ὢν σοφία H. 14. αὐτοῦ] pergit πεποίθησιν δὲ λέγει τὴν διὰ Χριστοῦ πρὸς τὸν Θεὸν τὸ σεσοφίσθαι παρ' αὐτοῦ καὶ διακόνους γενέσθαι τῆς ἐπιστολῆς τοῦ Χριστοῦ, αὐτοῦ τοῦτο χαρισαμένου. διὸ καί φησιν οὐκ εἶναι ἱκανοὺς τοὺς ἁγίους ἀποστόλους λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, τουτέστιν ὡς ἀπὸ γνώμης ἰδίας ἐξευρεῖν τι μυστικὸν ἢ ἐννόημα ἀγαθὸν, ἀλλ' ἱκανότητα λαχεῖν ἄνωθεν καὶ τὸ ἀρτίως ἔχειν πρὸς ἀποστολήν. H. 19. ἀποκτείνει e suo Migne. 20. Hic incipit scholion novum H: quum autem D. Cyrilli magis capitulatio quaedam quam verba ipsissima esse videtur, ea quoque inter notas exhibui. Sunt autem, Δείκνυσι τῶν ἀρχαίων μυσταγωγῶν ἤτοι διδασκάλων ὅτι πολὺ ἀμείνους γεγόνασι τοῦ εὐαγγελικοῦ θεσπίσματος οἱ διάκονοι, ἱκανῶσθαί τε ἑαυτὸν καὶ τοὺς ἄλλους φησὶν ἐν Χριστῷ παρὰ Θεοῦ καὶ ἀποπε-

[90 M.] ἐν νόμῳ τύπος, τὰ ὡς ἐν σκιαῖς ἔτι πληρούμενα· πνεῦμα δὲ, τῆς ἐν Χριστῷ λατρείας ἡ δύναμις, πνευματικοὺς ἀποφαίνουσα τοὺς προσιόντας αὐτῇ διὰ τῆς πίστεως· ὅσῳ δ᾽ ἂν ἥττων τῆς ἀληθείας ὁ τύπος, τοσοῦτον οἶμαι κατόπιν οἱ διακονοῦντες αὐτὸν τῶν ἱερουργούντων τὴν ἀλήθειαν· ῥαν- Heb. ix. 13. τίζει γὰρ ἡμᾶς Χριστὸς αἵματι τῷ ἰδίῳ, καὶ οὐ πρὸς μόνην "τὴν "τῆς σαρκὸς καθαρότητα," καθάπερ ἀμέλει καὶ τὰ ἐν νόμῳ, Ib. 14. καθαρίζει δὲ μᾶλλον καὶ "τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν "ἔργων," καὶ ἐξίστησι πλημμελήματος· χαρίζεται δὲ πρὸς 91 M. τούτῳ καὶ ζωῆς ἐλπίδα· καὶ γάρ ἐστιν ἀληθὲς ὡς "ὁ S. John. iii. 36. "πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον·" ἐπήγγελται γὰρ καὶ αὐτῶν τῶν σωμάτων τὴν ἀνάστασιν καὶ ἀναφοίτησιν τὴν εἰς ἀφθαρσίαν καὶ εἰς μακραίωνα βίον.

10 Καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης.

Ἀναφέρει πάλιν ἐπὶ τὸ ἀσυγκρίτως ὑπερτεροῦν τῆς θείας ἀποστολῆς τὸ ἀξίωμα καὶ τῶν διακονιῶν τὴν σύγκρισιν ποιησάμενος καὶ τὸ ἑκατέρας ἴδιον εὖ μάλα παρενεγκὼν διαφανεστέραν ἀποφαίνει τὴν ἐν Χριστῷ διὰ πνεύματος. καὶ ὁ μὲν τῆς ἐννοίας αὐτῷ διὰ τούτων ἔρχεται σκόπος, πέφρασται γεμὴν οὐ σφόδρα σαφῶς τὸ ῥητόν· ἔοικεν γὰρ εἶναί πως οὐ λίαν εὐκάτοπτον οὔτε μὴν τοῖς ἐθέλουσιν ἕτοιμον ἰδεῖν. τί

Heb. viii. 13. φάνθαι καινῆς διαθήκης, οὐ γράμματος ἀλλὰ πνεύματος. λέγων δὲ "καινὴν πεπα- "λαίωκεν τὴν πρώτην," καὶ διαθήκην ὀνομάζων αὐτὴν, τὸν τοῦ Χριστοῦ θάνατον Ib. ix. 17. ὑπαινίττεται· "διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία" καὶ τὸ αἷμα αὐτοῦ ὅπερ [legendumne ὥσπερ?] ὑπερακοντίζει τὸ τῶν τράγων αἷμα, οὐ μόνον δὲ τούτους βελτίους οἱ τῆς νέας διάκονοι, ἀλλὰ καὶ τὸ ἱκανωθῆναι παρὰ Θεοῦ πρὸς διακονίαν, οὐ γράμματος τουτέστι τοῦ νόμου ὃς ἦν τύπος καὶ σκιὰ ἀλλὰ πνεύματος ὅ ἐστι τῆς (2) H. 3. αὐ- τῆς H. 4. ἥττων] ἥττω τὸ H. 5. ἀλήθειαν des. H. 8. Iterum inc. Καθορίζει γὰρ ὁ νόμος τῶν πταιόντων θάνατον καὶ ὁ ἀθετήσας Μωσέως ἐντολὴν Ib. x. 28. "ἐπὶ δύσιν ἢ τρισὶν μάρτυσιν χωρὶς οἰκτιρμῶν ἀποθνήσκει," τὸ δὲ πνεῦμα τουτέστιν ἡ ἐν Χριστῷ παίδευσις καὶ τὸ κήρυγμα τὸ εὐαγγελικὸν καὶ αὐτῆς τῆς πνευματικῆς λατρείας ἡ δύναμις ἀπαλλάττεται μὲν ἐγκλημάτων, χαρίζεται (ut 9) H. 10. ἐλπίδα] pergit καὶ σωμάτων ἀνάστασιν (12) H. 13. βίον] addit τίνες οὖν ἄρα λοιπὸν ἀμείνους, οἱ τὴν τοῦ θανάτου δίκην τοῖς πταίουσιν ἐπιφέροντες καὶ ταῖς κατὰ νόμον ἀποτομίαις ὑπηρετεῖν τεταγμένοι, ἢ μᾶλλον οἱ ζωῆς κήρυκες καὶ τῆς ἄνωθεν ἡμερότητος τοῖς παρ᾽ αὐτῶν μυσταγωγουμένοις διακονοῦντες τὴν χάριν. H. 14. Hoc scholion nobis suppeditat H.

[91 M.]

γάρ ἐστι τό Οὐ δεδόξασται τὸ δεδοξασμένον καὶ τὰ ἑξῆς; ἔστι δέ τι τοιοῦτον ὃ βούλεται δηλοῦν. δεδόξασται μὲν γάρ, φησὶν, ὁ Μωσῆς, ὡς διάκονος νόμου τοῦ καταργουμένου, ἀλλ' ἡ τοῦ νέου καὶ ἐν Χριστῷ κηρύγματος δόξα νικῶσα τὴν πρώτην ἀπέφηνε τοιαύτην αὐτὴν ὡς μηδὲ ὅλως δεδοξάσθαι δοκεῖν. ὅνπερ γὰρ τρόπον νυκτὸς μενούσης ἔτι καὶ τοῦ κατ' αὐτὴν σκότους τόδε τὸ σύμπαν καταμελαίνοντος, ἀπαστράπτει μὲν ὥσπερ τῆς σελήνης ὁ κύκλος, δόξαν δὲ τὴν ἰδίαν ἔχει ὁ τῶν ἄστρων χορός· ἡλίου γεμὴν ἀνίσχοντος καὶ τῆς ἑαυτοῦ μαρμαρυγῆς ἁπλοῦντος τὴν δόξαν, ἥτταται τῷ προὔχοντι τῆς σελήνης τὸ φῶς, ἔοικε δέ πως μηδὲ πεφωτίσθαι δοκεῖν· κατὰ τὸν αὐτὸν οἶμαι τρόπον, τὸν τῶν προκειμένων ἐκδέξῃ νοῦν. τὸ γάρ τοι δεδοξασμένον, φησὶ, τουτέστιν ἡ τοῦ νόμου διακονία, καίτοι λαχοῦσα παρὰ Θεοῦ τὴν δόξαν, ἔοικέ πως μὴ δεδοξάσθαι τὴν ἀρχὴν εἵνεκεν τῆς ὑπερβαλλούσης δόξης, τῆς δεδωρημένης δηλονότι τοῖς διακονοῦσι τῷ θείῳ τε καὶ εὐαγγελικῷ κηρύγματι· παραχωρεῖ γάρ πως ἀεὶ τὸ μεῖον τῷ προὔχοντι.

Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον, 11
ἐν δόξῃ.

Τί τὸ καταργούμενον; ἡ σκιὰ καὶ ὁ νόμος ἤγουν ὁ τύπος, τί δὲ τὸ μένον; τὰ τοῦ Θεοῦ θεσπίσματα. οὐκοῦν καὶ ἐν δόξῃ ἦν ἡ σκιὰ, ἀλλ' ἐν δόξῃ διαφανεστέρᾳ τὰ Χριστοῦ· μένει γὰρ εἰ κατακρατήσει τῆς ὑπ' οὐρανόν.

Ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ παῤῥησίᾳ χρώμεθα. 12

Ποίαν ἐλπίδα; τὸ ἱκανῶσθαι παρὰ Θεοῦ καὶ ἀρτίως ἔχειν διὰ τῆς χάριτος πρὸς τὸ εἶναι "διακόνους καινῆς διαθήκης "οὐ γράμματος." πρέπει δὲ τοῖς τοιούτοις τὸ ἐν πολλῇ παῤῥησίᾳ λαλεῖν, οὔτε τῶν τύπων αἰσχυνομένους τὸ ἀδρανὲς,

Supra ver. 6.

17. μεῖον] μη ὂν (= μεῖον) Cod. 19. Haec duo scholia nobis suppeditat H.

[91 M.] οὔτε τῶν ἀκροατῶν τὸ ἄσοφον· καὶ γὰρ τὸ Ἅγιον Πνεῦμα ἐνιδρυθὲν ἐν ταῖς τῶν πιστῶν ψυχαῖς, ποιεῖ αὐτοὺς νοεῖν εὐκόλως καὶ τοὺς βαθεῖς λόγους.

13 Καὶ οὐ καθάπερ Μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ.

Κἀν τούτῳ πάλιν οἱ Χριστοῦ μαθηταὶ διαφανέστεροι δόξῃ, ὅτι γέγονεν αὐτοῖς ὁ τοῦ κηρύγματος λόγος σαφής τε καὶ ἀνυπόστατος καὶ οὐδὲν ἔχων δύσκολον καθάπερ τὸ διὰ Μώσεως. ἐπειδὴ γὰρ ἦσαν ἀδόκιμοι οἱ υἱοὶ Ἰσραὴλ μετὰ τοσαύτας τερατουργίας μοσχοποιήσαντες, προσωπεῖον ἐτίθει ἑαυτῷ Μωυσῆς καὶ τὸν θεῖον αὐτοῖς λαλῶν νόμον ἐχρῆτο καλύμμασι, δι᾽ αἰνιγμάτων διδάσκων ὡς τὸ ἀληθὲς τοῦ νόμου πρόσωπον, τουτέστι Χριστὸν, οὐκ ἂν ἰσχύσειαν ἰδεῖν, δευτέρῳ δὲ ὥσπερ προσβάλλουσι προσώπῳ μόλις, τῇ σκιᾷ δόξαν οὐδεμίαν ἐχούσῃ, ἥτις καὶ καταργεῖται ἡ σκιὰ καὶ ὁ τύπος. πέπαυται γὰρ καινῆς διαθήκης εἰσκεκομισμένης, τέλος δὲ τοῦ καταργουμένου νόμου ὁ Χριστός. οὐκοῦν ἡ κεκρυμμένη δόξα Μωσέως, ὁ Χριστὸς, ἦν τὸ τέλος τοῦ καταργουμένου νόμου· εἰ γάρ τις ἀφέλῃ τὴν σκιὰν καὶ οἷον τὸ ἐμφανὲς καὶ δεύτερον πρόσωπον τὸ ὡς ἐν γράμματι περιελεῖν αὐτὸ, ὄψεται τὸν Ἐμμανουὴλ πολυτρόπως ἐφ᾽ ἑκάστῳ διαμορφούμενον, καὶ τὴν ὑπέρ γε τοῦ κόσμου σφαγὴν ὑπομένοντα καὶ σώζοντα τὴν ὑπ᾽ οὐρανὸν, ἵνα καὶ δοξάζηται πρὸς ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων προσκυνούμενος. ἀπρόσιτον οὖν ταῖς Ἰουδαίων διανοίαις τῆς τοῦ Σωτῆρος δόξης τὸ φῶς. ἐπειδὴ γὰρ πᾶσα θεωρία πνευματικὴ πρὸς τὸ Χριστοῦ βλέπει μυστήριον, οὐ προσίενται δὲ τὴν εἰς αὐτὸν πίστιν οἱ τάλανες Ἰουδαῖοι, μεμένηκεν ἐπ᾽ αὐτοῖς τὸ κάλυμμα, καταργεῖται δὲ ἐν Χριστῷ.

4. Hoc quoque scholion nobis suppeditat H., non verba tamen S. Cyrilli continens sed forte capitulationem. 20. αὐτὸ,] legendum ut videtur, αὐτός. 28. Sequitur scholion breve in verba ὅτι ἐν Χριστῷ καταργεῖται his verbis οὐ νοοῦσιν οἱ Ἰουδαῖοι τῶν νομικῶν ἐννοιῶν τὸ βάθος, ὥσπερ τινὸς αὐτοῖς τὸν νοῦν ἐπικαλύπτοντος· καταργεῖται γὰρ ἐν μόνῳ Χριστῷ, ἐπειδὴ πᾶσα θεωρία πνευματικὴ πρὸς τὸ Χριστοῦ βλέπει μυστήριον e schol. praecedenti partim repetens H.

[91 M.]

Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. 16

Αὐτὸς ὁ Κύριός ἐστι τὸ φῶς καὶ ἀποκαλύπτει "τὰ βαθέα Dan. ii. 22.
"καὶ ἀπόκρυφα," καὶ τὸ ἀληθὲς τοῦ νόμου πρόσωπον τὸ δεδοξασμένον δείκνυσι τοῖς σοφοῖς τοῖς ἡγιασμένοις ἐν πνεύματι καὶ διὰ τῆς εἰς Χριστὸν πίστεως λελαμπρυσμένοις. παιδαγωγεῖ μὲν γὰρ ὁ νόμος ἐπὶ Χριστὸν, ὁ δὲ ἐφ' ἕτερόν τινα παιδαγωγεῖν τεταγμένος, ἵστησι μὲν οὐκ ἐφ' ἑαυτῶν τοὺς παιδευομένους, ἀποφέρει δὲ μᾶλλον ἐπί τι τῶν ἀμείνω καὶ μειζόνων ἢ καθ' ἑαυτόν. ὅθεν τοι καὶ ὁ θεσπέσιος Παῦλος σκύβαλά φησιν ἡγήσασθαι τὰ ἐν νόμῳ "διὰ τὸ Phil. iii. 8.
"ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ."

Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν, οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ 17
ἐλευθερία.

Δεῖ οὖν γενέσθαι πνευματικοὺς, οὐ γὰρ ἄλλως δυνατὸν θεωρῆσαι Χριστὸν, ὅς ἐστι "τέλος τοῦ καταργουμένου," φημὶ Supra ver. 13.
δὴ τοῦ νόμου. τότε πάντη τε καὶ πάντως "περιαιρεῖται τὸ Ib. 16.
"κάλυμμα," γυμνῷ δὲ καὶ ἀπημφιεσμένῳ προσώπῳ τὸν ἱερὸν ὄψονται Μωσέα τὸ ἐκ τοῦ γράμματος προσωπεῖον ἤτοι κατασκίασμα τὸ ἐκ τῆς ἐμφανοῦς ἱστορίας οὐκ ἔχοντα. εἰσὶ γὰρ ἐν τούτοις οἱ ἐν Χριστῷ τὴν ἐλευθέραν τοῦ Πνεύματος ἀποκάλυψιν πλουσίως εἰσδεδεγμένοι. εἰ δὲ ἔνθα που πέρ ἐστι τὸ Πνεῦμα, ἐκεῖ πάντως καὶ ἡ ἐλευθερία, πῶς οὐκ ἐλεύθερον κατὰ φύσιν ἐστίν; εἰ δὲ τοῦτο, καὶ τῶν τῆς δουλείας ἀνῴκισται μέτρων, καὶ γενητὸν μὲν οὐκέτι, συντάττοιτο δ' ἂν εἰκότως τῇ ἀνωτάτω τε καὶ ἐλευθέρᾳ φύσει, ᾗ τὸ κατὰ πάντων μετέστι κράτος· Πνεῦμα γάρ ἐστι τοῦ Πατρὸς ἐξ αὐτοῦ διῆκον ἐπὶ τὴν κτίσιν ἐν Χριστῷ.

1. Hoc scholion suppeditat nobis H. 7. ἑαυτῶν] Ita Cod. legendumne ἑαυτὸν? 12. Hoc scholion nobis suppeditat H.

[91 M.]

18 Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος.

Μωσῆς μὲν γὰρ ἐπετίθει ἑαυτῷ κάλυμμα διά τοι τὸ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ κατιδεῖν "τὴν δόξαν τοῦ προσ-"ώπου αὐτοῦ·" ψυχικοὶ γὰρ ἦσαν καὶ σαρκικοὶ καὶ ἀτελεῖς εἰς πίστιν· ἡμεῖς δὲ οἱ πιστοὶ διὰ τῆς τοῦ Πνεύματος δᾳδουχίας πεφωτισμένην ἔχοντες τὴν καρδίαν καὶ καθαρῶς βλέπειν εἰδότα τῆς διανοίας τὸν ὀφθαλμὸν ἀνακεκαλυμμένῳ προσώπῳ τεθεάμεθα τὸν Κύριον· λελάληκε γὰρ ἡμῖν καὶ ὤφθη ἐν δόξῃ καὶ ὑπεροχῇ τῇ θεοπρεπεστάτῃ· Θεὸν γὰρ αὐτὸν ἐγνώκαμεν χαρακτῆρα τῆς ὑποστάσεως τοῦ Πατρός. ὡς ἐν ἐσόπτρῳ οὖν θεωροῦμεν τὴν θείαν καὶ ἀπόῤῥητον φύσιν, μεταπλάττεται γὰρ ὥσπερ τῶν πιστευόντων ὁ νοῦς ἐκ νομικῆς εὐμαθείας εἰς παίδευσιν εὐαγγελικὴν, καὶ μεταμορφοῦται τρόπον τινὰ εἰς εἴδησιν τὴν πνευματικὴν, σκιᾶς ἢ τύπων οὐκ ἀνεχόμενος, ἀλλ' ἐκ δόξης τῆς κατὰ τὸν νόμον εἰς δόξαν ἑτέραν τὴν ἐν Χριστῷ διὰ Πνεύματος μεταφοιτᾶν ᾑρημένος. οὐκοῦν τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα· μεθιστάντες γὰρ τοὺς τύπους εἰς ἀλήθειαν, καὶ ἐκ τῆς κατὰ τὸν νόμον σκιᾶς τὸ Χριστοῦ μυστήριον τῇ τῶν ἐννοιῶν ἰσχνότητι διαμορφοῦντες, ὡς ἐν εἴδει τὴν αὐτὴν εὑρήσομεν δόξαν· εἰ γὰρ δέδοται δόξα τοῖς διακονοῦσι τὸν νόμον, μείζων καὶ ἀσυγκρίτως ὑπερκειμένη τὴν πρώτην ἡ τῶν ἁγίων ἱερουργῶν, οἳ καὶ ἱκάνωνται παρὰ Θεοῦ διάκονοι "καινῆς διαθήκης οὐ "γράμματος ἀλλὰ πνεύματος." πρόδηλον δήπου καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανὲς, ὅτι πάντῃ τε καὶ πάντως οἱ ἐκ νομικῆς παιδεύσεως μεθιστάμενοι πρὸς ἀκρίβειαν εὐαγγελικὴν,

Supra ver. 7.

Supra ver. 6.

4—14. Μωσῆς—φύσιν assumptum ex H. 14. γὰρ assumptum ex H. 15. εὐμαθείας habet et H. 16. τρόπον τινὰ om. H. Statim πρὸς pro εἰς H. 17. τὸν om. H. 18. διὰ πνεύματος μεταφοιτᾶν ᾑρημένος] μετὰ πνεύματος διαφοιτῶν H. 19. τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα et γὰρ om. H. 20. ἀλήθειαν] pergit ἐκ δόξης τῆς πρώτης τῆς νομικῆς εἰς δόξαν ἑτέραν μετερχόμεθα πρὸς (p. 339, 2) H.

[91 M.]

ἐκ δόξης ὥσπερ τῆς πρώτης εἰς δόξαν ἰόντες ἑτέραν νοηθεῖεν ἂν, καὶ οἷον πρὸς τὰ ἀμείνω μεταπλαττόμενοι. τὸ δὲ δὴ μεθιστᾶν εἰς τοῦτο αὐτοὺς τὸ Πνεῦμά ἐστι, τὸ τῆς ἐκ νόμου δουλείας ἐλευθεροῦν· ἐν αὐτῷ γὰρ "κράζομεν Ἀββᾶ ὁ "πατὴρ" ὡς υἱοὶ καὶ ἐλεύθεροι. (Rom. viii. 15.) ἔστι δὲ οὐχ ἑτέρως τῆς κατὰ τὸν νόμον ἰσχνολογίας τὸ βάθος ἰδεῖν, πλὴν ὅτι διὰ μόνου τοῦ Ἁγίου Πνεύματος· αὐτὸ γάρ ἐστι καὶ τὸ ἐρευνοῦν "καὶ "τὰ βάθη τοῦ Θεοῦ." (1 Cor. ii. 10.) βάθη δὲ Θεοῦ, τὴν ἐν τοῖς ἱεροῖς γράμμασι τεθησαυρισμένην γνῶσιν ὠνομάσθαι φαμέν· ταύτῃ τοι καὶ ὁ θεσπέσιος Δαυεὶδ τὰς πρὸς Θεὸν ἐποιεῖτο λιτὰς οὕτω λέγων "Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατα- "νοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου·" (Ps. cxviii. 18.) ἐποιεῖτο δὲ καὶ αὐτὸς ὁ Σωτὴρ οὐκ ἀθαύμαστον τὸν ἐκ νομικῆς εἰδήσεως ἀναβαίνοντα πρὸς πνευματικὴν τουτέστι τὴν εὐαγγελικήν· ἔφη γὰρ ὅτι "Διὰ τοῦτο λέγω ὑμῖν ὅτι πᾶς γραμματεὺς "μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀν- "θρώπῳ πλουσίῳ ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ "νέα καὶ παλαιά." (S. Matth. xiii. 52.) παλαιὰ μὲν γὰρ, τὰ ἐν νόμῳ· νέα γεμὴν, τὰ ἐν Χριστῷ. εἰ δὲ δή τις βούλοιτο καὶ καθ' ἕτερον νοεῖσθαι τρόπον τὴν ἐκ δόξης εἰς δόξαν μεταμόρφωσιν τῆς αὐτῆς ἡμῶν εἰκόνος, παραδέξεταί τι τοιοῦτον εἰς νοῦν, ὅτι ὅσοι [92 M.] Χριστὸν ἐγνώκαμεν, καταλελογίσμεθα δὲ καὶ ἐν τέκνοις Θεοῦ, πάντῃ τε καὶ πάντως ἐσμὲν ἐν δόξῃ· κατὰ δέ γε τὸν τῆς ἀναστάσεως καιρὸν τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ κυρίου πνεύματος· αὐτὸς γὰρ ἡμῖν ὁ Χριστὸς, ὁ "τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος" χαρισάμενος, (Supra i. 22.) προσθήσει τὸ λεῖπον κατ' ἐκεῖνο τοῦ καιροῦ, μετασχηματίσει δὲ καὶ "τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμ- "μορφον τῷ σώματι τῆς δόξης αὐτοῦ." (Phil. iii. 21.)

2. τὸ pro τὰ H. δὴ et αὐτοὺς om. H. 4. ἐλευθεροῦν] pergit ἤτοι οἱ ἅγιοι κατὰ τὸν (23) H. 24. καιρὸν] + ἐκλάμποντες H. Statim μεταμορφοῦνται τὴν αὐτὴν εἰκόνα τοῦ σώματος ἀπὸ H. 26. ἡμῖν om. H. κύριος pro Χριστὸς H. Statim ὁ om. H. 27. τὸ—δὲ] τότε λοιπὸν μετασχηματίζων H.

[92 M.]

Ἐπειδὴ δέ φησιν ὁ μυσταγωγός Καθάπερ ἀπὸ κυρίου
Supra ver. 17. πνεύματος, καί "Οὗ δὲ τὸ πνεῦμα Κυρίου, ἐλευθερία," τῆς τῶν ἀνοσίων αἱρετικῶν συκοφαντίας οὐκ ἀνεξόμεθα, τοῖς γενητοῖς ἐναρίθμιον ποιεῖσθαι τὸ Πνεῦμα· εἰ γὰρ ἔνθα που ἐστὶ τὸ Πνεῦμα, ἐκεῖ που πάντως καὶ ἡ ἐλευθερία, πῶς οὐκ ἐλεύθερον κατὰ φύσιν ἐστίν; εἰ δὲ τοῦτο, καὶ τῶν τῆς δουλείας ἄνω κεῖται μέτρων· Πνεῦμα γάρ ἐστι τοῦ Πατρὸς ἐξ αὐτοῦ διῆκον ἐπὶ τὴν κτίσιν ἐν Χριστῷ.

Κεφ. δ'. 4 Εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ.

Ἐπειδὴ ἡλίου δίκην τὸ ἱερὸν ἀναλάμπει κήρυγμα καὶ
Supra iii. 18. ἀνακεκαλυμμένῳ προσώπῳ πᾶς πιστὸς "τὴν δόξαν Κυρίου" κατοπτρίζεται, οὐκ ἄν τις τῶν ὀρθὰ φρονούντων τὴν τινῶν ἀμάθιαν τῷ θείῳ καταγράψει κηρύγματι. τί γὰρ εἰ ἐξὸν εἰδέναι ἀποσείονται τὴν γνῶσιν τινῶν πεπωρωμένοι τὸν νοῦν ἐξ ἀπάτης διαβολικῆς; ἀλλ' οἵ γε τῆς ἐκείνου δυστροπίας ἀμείνους σοφοί τε καὶ νουνεχέστεροι πεπλουτήκασι τὴν γνῶσιν. ἆρα γὰρ εἰ βαρβάρων τινὰς εἰρηκότων καὶ τοῖς τῆς δουλείας ὑποθέντων ζυγῷ, προσθείη τις ἕτερος τοῖς εἰς τοῦτο πεσοῦσι ταλαιπωρίας τῶν συμβεβηκότων αὐτοῖς τὴν ἀπαλλαγήν· εἶτα τῆς ἐλευθερίας ἐκεῖνοι προθέντες τὰ ὑπόζυγα κεῖσθαι, ἀνεξίτητον ποιοῖντο τὴν συμφοράν· αἰτιάσαιτό τις εἰπέ μοι τὸν προθέντα φιλαγάθως τῆς ἐλευθερίας αὐτοῖς τὴν ἄδειαν ἢ μᾶλλον ἐκείνους δυσβουλίας γράψεται; οὐκοῦν προὔθηκεν μὲν ὁ τῶν ὅλων Θεὸς τοῖς ἐθέλουσι πιστεύειν εἰς τὸν Υἱὸν, τὸ γυμνῷ καὶ ἀνακεκαλυμμένῳ προσώπῳ καταθεάσασθαι τὴν δόξαν αὐτοῦ· διημαρτήκασι δὲ τῆς χάριτος οἱ

1–4. ἐπειδὴ—πνεῦμα om. H. 4–8. Vide haec exhibita supra ad loc. (p. 337, 21–27) ex H, qui tamen et hic (ut saepe) repetit, aliquantulum abbrevians, εἰ τοίνυν ὅπου τὸ Πνεῦμα ἐκεῖ καὶ ἐλευθερία, οὐκοῦν ἐλεύθερον τὸ πνεῦμα κατὰ φύσιν ἐστι καὶ ἔξω τῶν τῆς δουλείας ἐστὶ μέτρων καὶ γενητὸν οὐχ ὑπάρχει, ἀλλὰ συντάττεται τῇ ἀνωτάτω καὶ ἐλευθέρῳ (sic) φύσει· πνεῦμα (7) H. 8. διῆκον H. cf. supra p. 326, 15. δὲ ἧκον Ed. 11–24. (οὐκοῦν) nobis suppeditat H. 18. τοῖς Cod. forte legendum ζυγοῖς lin. 19. 19. legendum ut vid. προθείη. 21. τὰ ὑπόζυγα] legendum ut vid. τὸ ὑπὸ ζύγα. 26. τὸ —αὐτοῦ supra fere exhibitum hic om. H.

[92 M.]

τοῦ διαβόλου τὸν σκοτισμὸν ἀπόβλητον ἔχοντες, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων τὸ φῶς ἀσυνέτως οὐ προσιέμενοι. διηύγασε γὰρ ἂν καὶ αὐτοῖς ὁ φωτισμὸς τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ. καὶ θεὸν μὲν τοῦ αἰῶνος τούτου κατονομάζει τὸν σατανᾶν, οὐχ ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν, ἀλλ᾽ ὅτι τοῦτο εἶναι νενόμισται παρά γε τοῖς οὐκ εἰδόσι τίς ὁ φύσει καὶ ἀληθῶς ἐστι Θεός· ἐκεῖνο γεμὴν ἄξιον καταθαυμάσαι πάλιν· θεολογεῖ γὰρ ὁ Παῦλος, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς διατρανοῖ τὸ μυστήριον. ἰδοὺ γὰρ σαφῶς φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης Χριστοῦ τὸ ἀποστολικὸν ὀνομάζει κήρυγμα· καίτοι Χριστοῦ κεκλημένου τοῦ ἐκ Θεοῦ κατὰ φύσιν ὄντος Υἱοῦ, κατὰ τὸν τῆς χρίσεως καιρὸν, καθ᾽ ὃν καίτοι τοῦ Ἁγίου Πνεύματος αὐτὸς ὑπάρχων χορηγὸς, κεχρίσθαι λέγεται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως. οὐκοῦν ἐν εἴδει τῷ Ps. xliv. 8.
καθ᾽ ἡμᾶς γεγονὼς καὶ ὀφθεὶς ἄνθρωπος ἐπὶ τῆς γῆς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, τότε δὴ τότε καὶ μάλα ὀρθῶς Χριστὸς νοεῖται καὶ λέγεται. οὐκ εἰς ἕνα τοίνυν τῶν καθ᾽ 93 M.
ἡμᾶς ἡ πίστις τῷ κόσμῳ διακηρύττεται καὶ ψιλὸν ἄνθρωπον ὑπὸ τῶν πνευματοφόρων, καταγγέλλουσι δὲ μᾶλλον τὸν ἐκ Θεοῦ Λόγον ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότα, καὶ ὡς πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς τὸν Μονογενῆ. ἐπεὶ ποῖος ἂν νοοῖτο πρὸς ἡμῶν ὁ φωτισμὸς τοῦ εὐαγγελίου τῆς δόξης αὐτοῦ,

1. σκοτασμὸν H. ἀπόβλητον et καὶ—προσιέμενοι om. H. 3. καὶ αὐτοῖς H. οὕτως Ed. 4. θεὸν δὲ pro καὶ θεὸν μὲν H. 5. λέγει pro κατονομάζει H. 6. γε om. H. 7. ἀληθῶς] + ἀεὶ H. Θεὸς] + καὶ τῶν ὅλων δημιουργός· et pergit σημειωτέον δὲ ὅτι τότε λέγεται χριστὸς ὁ ἐκ θεοῦ κατὰ φύσιν υἱὸς καθ᾽ ὃν (cf. 13) κεχρῆσθαι (=κεχρίσθαι) καιρὸν λέγεται πνεύματι ἁγίῳ καίτοι τοῦ ἁγίου πνεύματος αὐτὸς ὑπάρχων χορηγός. οὐκοῦν οἱ τοῦ εὐαγγελίου κήρυκες οὐ ψιλὸν ἡμῖν ἄνθρωπον κηρύσσουσι τὸν χριστὸν ἀλλὰ τὸν (20) H. 21. καὶ om. H. 22. Μονογενῆ] + καὶ τὸν ἀσύντακτον τῇ κτίσει συντάσσουσι τῇ κτίσει καὶ υἱὸν ὑπάρχοντα φύσει τοῦ πατρὸς εἰς υἱὸν ὁρίζονται θεοῦ [legas ἀνθρώπου] καὶ τοῦτό ἐστιν ἡ κένωσις καὶ ὁ τῆς ταπεινώσεως τρόπος H. 23. πρὸς ἡμῶν om. H. αὐτοῦ] pergit paullo aliter εἰ ψιλὸς νοοῖτο ἄνθρωπος καὶ ἕτερον οὐδέν· τοῖς γὰρ πιστεύουσι καὶ νοοῦσιν ὅτι φύσει θεὸς ὁ χριστὸς καὶ εἰκὼν τοῦ πατρὸς, αὐγάζει ὁ φωτισμὸς τοῦ εὐαγγελίου τῆς δόξης αὐτοῦ. εἰκὼν δὲ νοεῖται οὐ καθ᾽ (ut 342, 2) ἡμᾶς ἀλλ᾽ οὐσιωδῶς καὶ φυσικῶς, καὶ οὐ λέγομεν ὅτι καὶ ὁ πατὴρ διὰ τοῦτο σεσάρκωται, ἀλλ᾽ ἦν ὁ υἱὸς εἰκὼν τοῦ πατρὸς πρὸ σαρκώσεως φυσικῆ (sic) καὶ μεμένηκεν πάλιν ὡσαύτως εἰκὼν καὶ μετὰ τὴν σάρκωσιν. λελόγισται γὰρ ὡς (342, 9) ἓν μετὰ τῆς ἰδίας σαρκός· ἀλλ᾽ οὐδὲ κτίσμα δυνατὸν εἰπεῖν τὸν υἱόν· ἐπεὶ πῶς ἐσκότισεν ὁ

[93 M.] *εἰ μὴ ἔν γε τῷ νοεῖσθαι Θεὸς καὶ εἰκὼν τοῦ Πατρὸς, καὶ οὐκ ἐν ἴσῳ τρόπῳ τοῖς καθ' ἡμᾶς, οὐσιωδῶς δὲ μᾶλλον καὶ φυσικῶς; καὶ οὔ τι που φαμὲν ὡς ἄρα δεήσει καὶ αὐτὸν ἐν σαρκὶ γεγονότα νοεῖσθαι τὸν Πατέρα· οὐ γάρ ἐστιν ἐν τούτοις τῆς εἰκόνος τὸ κάλλος· ἐκεῖνο δὲ μᾶλλον περινοεῖν ἄξιον, ὡς Θεὸς ἦν ὁ Λόγος καὶ πρὸ σαρκὸς χαρακτὴρ καὶ ὁμοίωσις φυσικὴ τοῦ γεννήτορος· καὶ πάλιν καθ' ἡμᾶς γεγονότι τὸ ἐν μορφῇ νοεῖσθαι τοῦ Πατρὸς, ἐνούσης αὐτῷ τῆς οἰκονομίας τὸ ἀνθρώπινον· λελόγισται τοίνυν ὡς ἓν μετὰ τῆς ἰδίας σαρκός· ἔστι δὲ καὶ οὕτως εἰκὼν τοῦ Πατρὸς καθ' ὃ καὶ ἔστι Θεὸς καὶ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν.*

6 Ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.

Ὅτι εἰς Θεὸν ἡ πίστις, κἂν εἰ ἐν προσώπῳ πράττοιτο τοῦ Χριστοῦ, σαφηνιεῖ ὁ μυσταγωγὸς διὰ τῆς προκειμένης λέξεως· κέκληνται γὰρ Ἰουδαῖοί τε καὶ Ἕλληνες πρὸς ἐπίγνωσιν τοῦ Χριστοῦ, οἱ μὲν ὡς ἐκ πλάνης καὶ λατρείας ψευδοῦς εἰς θεογνωσίαν τὴν ἀληθῆ, οἱ δὲ εἰς ἀκριβεστέραν εἴδησιν τῆς ἐν νόμῳ παιδαγωγούμενοι. ταύτῃτοι καὶ ὁ Phil. iii. 8. *θεσπέσιος Παῦλος "διὰ τὸ ὑπερέχον τῆς γνώσεως" τοῦ Χριστοῦ ὀλίγα πεφροντικὼς τῶν ἐν νόμῳ μαθημάτων ὁρᾶται. ὅτε τοίνυν Χριστὸν κηρύττουσιν οἱ μυσταγωγοὶ, καὶ οἱ πιστεύοντες εἰς Θεὸν εἰς Θεὸν τὸν ἕνα καὶ ἀληθῶς πιστεύουσιν, πῶς οὐχὶ Θεὸς ὁ Χριστὸς οὐ νόθος, οὐ ψευδώνυμος, ἤγουν ἑτεροφυὴς παρὰ τὸν Πατέρα, ἀληθὴς δὲ μᾶλλον ὡς ἐξ αὐτοῦ κατὰ φύσιν; ἀχλύος μὲν γὰρ νοητῆς καὶ δαιμονιώδους ἀπάτης ὁ τῶν πλανωμένων μεμέστωται νοῦς, ἀλλ' ἐπηγγέλλετο Θεὸς ἐκ σκότους ἡμῖν ἀναλάμψειν τὸ φῶς· ἔφη γάρ που* Es. ix. 2. *διὰ φωνῆς Ἡσαΐου "Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει ἴδε*

θεὸς (sic cod.) *τὰ νοήματα τῶν ἀπίστων; εἰ γὰρ σκοπὸς τῷ πονηρῷ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα, οἱ δὲ πιστοὶ προσκυνοῦσιν αὐτῷ ὡς φύσει θεῷ ὁμοουσίῳ τῷ πατρί· ἄρα οὐ κτίσμα ὁ υἱός· ἐπεὶ οἱ πιστοὶ μᾶλλον οὐ μὴν οἱ ἄπιστοι εὑρίσκονται σκοτισθέντες πρὸς τὴν ἀληθινὴν γνῶσιν.* H. 8. legendum ut vid. *ἑνούσης.* 12. Hoc scholion non exhibet H.

[93 M.]

“ φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς “ λάμψει ἐφ᾽ ὑμᾶς·” καὶ ὁ θεσπέσιος δὲ Δαυεὶδ φησιν, ὡς ἐκ προσώπου τῶν ἐν ἀχλύϊ καὶ σκότῳ “ Ὅτι σὺ φωτιεῖς (Ps. xvii. 29.) “ λύχνον μου Κύριε, ὁ Θεός μου φωτιεῖς τὸ σκότος μου.” ἐπειδὴ δὲ πεπλήρωται λοιπὸν ἐφ᾽ ἡμῖν ἡ ὑπόσχεσις τοῦ Πατρὸς, καὶ τὸ θεῖον ἡμῖν καὶ νοητὸν διηύγασε φῶς, ἐγνώ- (94 M.) καμεν αὐτοῦ τὴν δόξαν ἐν προσώπῳ Χριστοῦ· εἶτα εἴπερ ἐστὶν ὁ Χριστὸς οὐ φύσει τε καὶ ἀληθῶς Θεὸς, τὴν τοῦ Πατρὸς δόξαν ἐν αὐτῷ τεθεάμεθα; καίτοι λέγοντος ἀκούω σαφῶς τοῦ Θεοῦ καὶ Πατρός “ Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω·” ἀλλ᾽ (Es. xlii. 8.) ἰδοὺ δέδωκεν αὐτὴν τῷ Υἱῷ· οὐχ ἕτερος ἄρα παρ᾽ αὐτόν ἐστιν, πλὴν ὅσον ἐν ὑποστάσει καὶ τὸ ὑπάρχειν ἰδικῶς, ἵνα μὴ φαίνηται ψευδοεπήσας ὁ Πατὴρ τῷ προσώπῳ τοῦ Υἱοῦ τὴν ἰδίαν δόξαν προθεὶς, καὶ ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν ἐν αὐτῷ τε καὶ δι᾽ αὐτοῦ γινωσκόμενος· πρόσωπος γάρ ἐστι καὶ εἰκὼν καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ· καὶ ἀποκαλύπτεται μὲν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, ἀποκαλύπτει δὲ καὶ αὐτὸς ἡμῖν ἐν ἑαυτῷ τὸν Πατέρα.

ΤΟΜΟΣ Γ.

ΛΟΓΟΣ Α.

7 Ἐν ὀστρακίνοις σκεύεσιν.

ΣΚΕΥΗ ὀστράκινα τὸ τῆς λέξεως ὀνομάζει κοινὸν, οὐ γὰρ ἐν κόμπῳ ῥημάτων τῶν θείων ἡμῖν μυστηρίων ἡ παράδοσις, ἀλλ' ὡς ἐν λέξει τῇ πᾶσι κατειθισμένῃ, ἵνα πάντες μανθάνωσι καὶ νοοῦσιν. τί οὖν, ὦ Παῦλε; οὐ γὰρ ἦν ἐφικτὸν τῷ πάντας σοφοῦντι Θεῷ τοὺς ἁγίους ἀποστόλους εὐστομωτάτους τε ἄγαν ἀποφῆναι ῥᾳδίως καὶ πολὺ μᾶλλον ἢ ἐκεῖνοι κατευγλωττισμένους καὶ κτύπῳ ῥημάτων καταπλήττειν εἰδότας τοὺς ἐντυγχάνοντας; ναί φησιν, αὐτὸς γάρ ἐστι τῆς σοφίας ὁ χορηγός· ἀλλ' ἐν ὀστρακίνοις σκεύεσι, τουτέστιν, ἐν λέξει μικρῷ τὸν θεῖον ἡμῖν κατέκλεισε θησαῦρον. διὰ ποίαν αἰτίαν; ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ καὶ μὴ ἐξ ἡμῶν. οὕτως γὰρ ἔπεισαν πάντας προσδραμεῖν τῇ πίστει. εἰ γὰρ ἦν ἐν αὐτοῖς λαμπρὸς ὁ λόγος, ἔδοξαν ἂν ἔσθ' ὅτε οὐ τῆς αὐτοῦ δυνάμεως γεγενῆσθαι κατόρθωσις τῶν κεκλημένων ἡ πίστις. ἐπειδὴ δὲ διὰ ψιλῶν ἔπεισαν ῥημάτων οὐδεὶς ἐνδοιάζει ὅτι Θεοῦ γέγονε τῆς ἐν τούτῳ δυνάμεως ἡ ὑπερβολή.

Ὀστράκινα σκεύη λέγομεν ἃ περικείμεθα σώματα ἐν τοῖς αἰσθητοῖς ὄντες, διανοίᾳ τοιαύτῃ· ἐπεὶ ἔτι σάρκα περικείμενοι τὴν ἐμποδίζουσαν τῇ θεωρίᾳ τῆς ἀληθείας, γνῶσιν ἔχομεν τὴν περὶ τῆς Τριάδος, ἡ ὑπερβολὴ τοῦ μεγέθους τῆς γνώσεως οὐκ ἐξ ἡμῶν, ἀλλ' ἐκ Θεοῦ δυνάμεως ὑπάρχουσα ἡμῖν γνωρίζεται.

1, 2. Ita H. 4–19. Hoc scholion nobis suppeditat H. 6. κατειθισμένῃ] κατηθισμένῃ Cod. 7. νοοῦσιν] Ita Cod. τὸ Cod. 18. ἐνδοιάζει] Ita Cod. 20–25. Adnotat se haec ex alio codice desumpsisse Maius.

[94 M.]

Ἐν παντὶ θλιβόμενοι, ἀλλ᾽ οὐ στενοχωρούμενοι κ.τ.λ. 8 sqq.

Φαίνονται μὲν γὰρ ὑπέρ γε τῆς εἰς αὐτὸν εὐσεβείας καὶ αὐτὸν ἀνατλάντες τὸν θάνατον· πλὴν εἰ καὶ τοῦτο συνέβη παθεῖν αὐτοὺς, ἀλλ᾽ οὖν ζῶσι, τῷ Θεῷ ζήσειν μέλλοντες· καὶ καθά φησι τῆς σοφίας ὁ λόγος "Ἔδοξαν ἐν ὀφθαλμοῖς (Sap. iii. 2–4.) "ἀνθρώπων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐ- "τῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν "εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης." ποία τίς οὖν ἄρα τῶν ἱδρώτων ἡ νόησις, διερμηνεύει πάλιν ὁ Παῦλος οὕτω λέγων Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι (ver. 10.) περιφέροντες ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. διττὸν εἶναί φαμεν τὸν τῆς ἐνθάδε νοουμένης νεκρώσεως τρόπον, ὧν εἷς μέν ἐστι νοητὸς καὶ πνευματικὸς, ἕτερος γεμὴν ὡς ἐν αἰσθήσει τῇ κατὰ σῶμα λαμβάνεται· Θεὸς γὰρ ὑπάρχων καὶ ἐκ Θεοῦ πεφηνὼς κατὰ φύσιν ὁ Μονογενὴς αὐτοῦ Λόγος, ἰδίαν ἐποιήσατο σάρκα τὴν ἀπὸ τῆς γῆς, καὶ τὸ θνητὸν δὴ τοῦτο καὶ ἀνθρώπινον ἠμπέσχετο σῶμα, ψυχὴν ἔχων τὴν λογικήν· καὶ τίς ἡ τοῦδε πρόφασις; ἵνα νεκρώσῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, καὶ τῶν ἐμφύτων τε καὶ ἐν αὐτῇ κινημάτων τῶν εἰς ἐκτόπους ἀποφερόντων ἡδονὰς (95 M.) ἀπαμβλύνῃ τὸ κέντρον· κατώρθωκε δὲ οὐχ ἑαυτῷ Θεὸς ὢν ὁ Λόγος τὸ ἐπέκεινα τῶν ἐν ἡμῖν ὁρᾶσθαι παθῶν· οὐ γὰρ οἶδεν ἁμαρτίαν· ἀλλ᾽ οἷον ὅλην ἐν ἑαυτῷ τὴν ἀνθρώπου φύσιν μεταστοιχειῶν εἰς ζωὴν ἁγίαν καὶ ἄμωμον, ὅτε γέγονεν ἄνθρωπος καὶ ἐν εἴδει τῷ καθ᾽ ἡμᾶς· γέγονε γὰρ "ἐν πᾶσιν (Col. i. 18.) "αὐτὸς πρωτεύων," ἵνα καὶ ἡμεῖς τοῖς ἴχνεσιν αὐτοῦ κατα- (1 S. Pet. ii. 21.) κολουθήσαντες ἔχωμεν ἐν ἑαυτοῖς τὴν αὐτοῦ νέκρωσιν, τουτέστιν ἀπρακτοῦσαν ἐν τῇ σαρκὶ τῆς ἁμαρτίας τὴν δύναμιν·

2. Haec duo brevissima scholia nobis exhibet H.: Ἐπιφέρουσι μὲν τοῖς ἁγίοις τὰς θλίψεις οἱ τῆς ἀληθείας ἐχθροί, στενοχωρεῖσθαι δὲ εἰσάπαν οὐκ ἀφίησι Θεός et Κεκινδυνεύκασιν γὰρ οἱ μαθηταὶ πολυτρόπως ἀλλ᾽ ἦν ἀδύνατον ἀπολέσθαι τινὰς συνόντος αὐτοῖς τοῦ Χριστοῦ. 12. Inc. Διττὸν H. 14. γεμὴν edidi. δὲ γεμὴν H. τε μὴν Mai. γεμὴν correxit Migne. 15. καὶ—κατὰ φύσιν et Μονογενὴς αὐτοῦ om. H. 24. γέγονεν] πέφηνεν H. 25–p. 346, 1. γέγονε—ζωὴν om. H.

[95 M.] οὕτω τε ἀναλαβεῖν ἰσχύσωμεν καὶ τὸ ἀμώμητον εἰς ζωήν. καὶ καθ' ἕτερον δὲ τρόπον τὴν ἐνθάδε λεγομένην τοῦ Ἰησοῦ
Phil. ii. 8. παραδέξῃ νέκρωσιν καὶ ζωήν· γέγονε γὰρ ὑπήκοος τῷ Θεῷ καὶ Πατρὶ, καθὰ γέγραπται, καὶ μέχρις αὐτοῦ θανάτου,
S. Joan. x. 15. καὶ τὴν ψυχὴν αὐτοῦ τέθεικεν ὑπὲρ τῶν προβάτων· πλὴν
Rom. vi. 10. "ἀπέθανεν ἐφάπαξ τῇ ἁμαρτίᾳ·" τουτέστιν ὑπὲρ τῆς ἁμαρτίας τοῦ κόσμου, τέθειται γὰρ ἱλασμὸς διὰ πίστεως· "ὃ δὲ "ζῇ, ζῇ τῷ Θεῷ."

Ταύτην οὖν ἄρα τὴν νέκρωσιν, τὴν διά γε τῶν παθημάτων καὶ μέχρις αὐτοῦ θανάτου διήκουσαν, ἐν τοῖς ἑαυτῶν σώμασι περιφέρουσιν οἱ μυσταγωγοὶ ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ, καθά φησιν αὐτὸς, ἐν τοῖς σώμασιν ἡμῶν φανερωθῇ· ζήσονται γὰρ καὶ αὐτοὶ τῷ Θεῷ τὴν ἁγίαν καὶ ἄμωμον καὶ μακαρίαν ζωήν. ὅτι δὲ ταύτης ἰδίως μέμνηται τῆς νεκρώσεως καὶ μέντοι ζωῆς, εἴς γε τὸ παρὸν πιστώσεται μὲν καὶ ἡ τῶν προλαβόντων διάνοια, πειρασμῶν ἔχουσα καὶ πόνων ἀφήγησιν, οὓς ὑπομένειν ἀνάγκη πληροῦν ἐθέλοντα τῆς ἀποστολῆς τὸν εὐκλεᾶ δρόμον· οὐδὲν δὲ ἧττον ἡμᾶς οὕτω φρονεῖν ἀναπείσει μονονουχὶ καὶ διερμηνεύων αὐτοῖς ὅπερ ἔφη· προσεπάγει γὰρ εὐθὺς τὸ ἑξῆς·

11 sq. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν κ.τ.λ.

Δείκνυσι δὲ διὰ τούτων καὶ αὐτοὺς ἀσμένως ὑπομένειν ἐθέλοντας τὸν τῆς σαρκὸς θάνατον, διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν· σκοπὸς γὰρ αὐτοῖς οὐκ εἰς τὰ παρόντα βλέπειν, προαθρεῖν δὲ μᾶλλον τὰ ἐσόμενα καὶ τὰς ἀμοιβὰς τῶν

3. Θεῷ καὶ om. H. 4–6. καθὰ—ἐφάπαξ] καὶ τέθεικεν τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ ἡμῶν, οὐ πτήξας τὰς τῶν ἰουδαίων ἐπιβουλὰς, ἀλλὰ προσθεὶς πάντων (sic) τὸ ἀγαθὸν θέλημα τοῦ πατρὸς καὶ ἀποθανὼν ἐφάπαξ H. 6. ἀπέθανεν] adnotat codicem suum ἀπεθάνομεν exhibere Maius. 7. τέθειται—Θεῷ om. H. 9. ἄρα et γε om. H. 10. ἑαυτῶν] αὐτῶν H. 12. καθά φησιν αὐτὸς om. H. ἡμῶν] αὐτῶν H. 13. καὶ ἄμ. καὶ μακ. om. H. 14. ζωὴν] + τὴν ἔξω παντὸς ἱδρῶτος καὶ πόνου (sic desinens) H. 23. Inc. οἱ ἅγιοι καὶ αὐτὸν ἀσμένως ὑπομένειν θέλουσιν τὸν H. 26. προαθρεῖν] προορᾶν H. 26–p. 347, 5. καὶ τὰς—θνητῇ σαρκί accesserunt ex H.

[95 M.]

πόνων. καὶ δι᾽ οὐδενὸς μὲν ποιοῦνται λόγου τοὺς ἐκ τῶν ἀγώνων ἱδρῶτας, ἐπιγάνυνται δὲ μᾶλλον τοῖς ἄνωθεν ἀγαθοῖς, διαλογίζονται γὰρ τῆς τοῦ Θεοῦ φιλοτιμίας τὸ πλάτος· διὰ γὰρ τοῦτο εἰς θάνατον παραδίδονται διὰ Ἰησοῦν ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκί. καὶ τίς ἡ τοῦ Ἰησοῦ ζωή; ἡ ἀφθαρσία καὶ ἁγιασμὸς, δόξα τε μεγάλη καὶ ὑπερκόσμιος· οὕτως γὰρ ἡμῖν ὀφθήσεται κατὰ καιροὺς, ὅταν ἡμῖν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβαίνῃ κριτής· μετασχηματίσει δὲ καὶ "τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον Phil. iii. 21. "τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ δύνα-"σθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα." ὥστε ὁ μὲν ver. 12. θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν. μεμίμηνται γὰρ 96 M. τὸν ἑαυτῶν δεσπότην οἱ τῆς ὑφ᾽ ἡλίῳ μυσταγωγοί· τεθείκασι καὶ αὐτοὶ τὰς ἑαυτῶν ψυχὰς, ἵνα ἡμεῖς οἱ ποτὲ πλανώμενοι, τὴν ἐκ πίστεως τῆς εἰς Χριστὸν ἀποκερδαίνωμεν ζωήν· τοιγάρτοι φασὶ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν "Ὅτι ἕνεκεν σοῦ θανα- Ps. xliii. 23. "τούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα "σφαγῆς."

ΤΟΜΟΣ Γ ΛΟΓΟΣ Β.

Διὸ οὐκ ἐκκακοῦμεν, ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος δια- 16
φθείρεται, ἀλλ᾽ ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ.

Ἔξεστι τῇ τῶν προκειμένων ἐννοίᾳ προσβαλεῖν οὐκ ἀκόμψως, κοινὸν ὥσπερ ἅπασι τοῖς εὐσεβεῖν ᾑρημένοις προθέντας τὸ χρῆμα· "στρατεύεται μὲν γὰρ ἡ σὰρξ κατὰ Gal. v. 17.

5. καὶ τίς H. τίς δὲ Ed. 6. ἡ om. H. δόξα τε—ὑπερκόσμιος] καὶ δόξα ὑπερκόσμιος H. 7. καιροὺς] pergit ὅταν ἔλθῃ Κριτής. εἰ δὲ ἐν τῇ σαρκὶ ἡμῶν φανερωθήσεσθαι προσδοκῶμεν τὴν Ἰησοῦ ζωὴν, πῶς τινες τολμῶσιν εἰπεῖν οὐκ ἀναβιώσεσθαι τοὺς νεκρούς; εἰ γὰρ ἀληθεύουσι, τίνα τρόπον ἡ τοῦ Ἰησοῦ ζωὴ φανερωθήσεται κατὰ καιροὺς ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν; ita desinens H. 13. Inc. Τεθείκασιν τὰς ἑαυτῶν ψυχὰς οἱ ἅγιοι μυσταγωγοὶ, ἵνα H. 15. ἀποκερδάνωμεν H. ζωήν] pergit σεσώσμεθα γὰρ τοῖς τῶν ἁγίων ἀποστόλων ἵδρωσιν (ita desinens) H. 20. Ita H. 21. ἔξωθεν Maius sed ἔξω corrigit inter emendationes.

[96 M.] “ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα γὰρ “ ἀντίκειται ἀλλήλοις,” κατὰ τὸ γεγραμμένον. φαμὲν οὖν ὅτι πᾶσά πως ἀνάγκη, κατεφθαρμένης τρόπον τινὰ τῆς σαρκὸς, καὶ τῶν ἐν αὐτῇ κινημάτων ἠσθενηκότων, τότε δὴ μάλιστα μειζόνως ἐῤῥῶσθαι τὸ ἕτερον, τουτέστι τὸ φρόνημα τοῦ πνεύματος. αἰτίας ἀπόδοσιν καὶ οἷον ἀνάμνησιν προειρημένου τινὸς εἰσκομίζει τό Διό. ἔφη τοίνυν Εἰ γὰρ “ ἡμεῖς “ οἱ ζῶντες εἰς θάνατον παραδιδόμεθα διὰ Ἰησοῦν ἵνα καὶ “ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν” ταῖς καρδίαις ἡμῶν, ταύτην ἔχοντες τὴν ἐλπίδα, φησὶ, καὶ τοῖς ἐσομένοις ἐπιγανύμενοι, οὐκ ἐκκακοῦμεν, τῆς μελλούσης δόξης προθεωροῦντες τὸ κάλλος, ἀλλὰ κἂν ἐπέλθοι θλίψις, φέρομεν γενναίως. εἰ γὰρ καὶ ὡς ἄνθρωποι ἀλγοῦμεν καὶ βλάβην τινὰ περὶ τὸ σῶμα ὑπομένωμεν, ἀλλ' οὐχ ἡττώμεθα τούτοις· ὁ γὰρ ἔσω ἡμῶν ἄνθρωπος ἀνακαινοῦται. καὶ κοινὸς μὲν ὁ λόγος. ὅταν τοίνυν τοῖς εἰς ἄσκησιν πόνοις ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τότε λοιπὸν ἀναγκαίως ὁ ἔσω ἡμῶν ἄνθρωπος ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. καὶ ἑτέρως γεμὴν τοῖς εἰρημένοις ἐπιβαλεῖς· ἐπειδὴ Ἰουδαίοις τε καὶ Ἕλλησι διεκήρυττον τὸν Ἰησοῦν, δεινοὺς καὶ ἀφορήτους ὑπομεμενήκασι διωγμοὺς, καὶ διέφθαρτο τοῖς εἰς τοῦτο πόνοις τὸ σῶμα αὐτῶν. ἀλλ' ὅσῳ μείζων ὁ πόνος, τοσούτῳ οἶμαί που παρέποιτο ἂν εἰκότως ἀμφιλαφεστέρα τῆς χάριτος ἡ ἀντέκτισις.

Supra ver. 11.

2–18. φαμὲν — ἡμέρᾳ καὶ ἡμέρᾳ De his verbis (eis quae ex H. addidi exceptis) adnotat in calce Epistolae hujus Maius “Idem Severus in eodem inedito opere et codice p. 83 b. recitat ex libro tertio Cyrilli in secundam ad Corinthios epistolam tractum illum quem nos graece exhibuimus p. 96 a verbis φαμὲν οὖν usque ad ἡμέρᾳ καὶ ἡμέρᾳ.” Codex Maio citatus est Cod. Vat. Syr. cxli (in Catalogo Assemani cxl), opus vero Severi tractatus contra Additamenta Jul. Halicarnassensis. In nostro codice haec verba sive per incuriam meam sive codice imperfecto, reperire non potui. 6–15. αἰτίας—ὁ λόγος] Haec assumpta ex H. ita incipiente. 12. φέρομεν] Ita Cod. 16. εἰς] διὰ H. διαφθείρεται] + τὰ τῆς σαρκὸς κινήματα ἀσθενήσῃ H. 17. λοιπὸν ἀναγκαίως om. H. 18–21. ἡμέρᾳ prius—ὅσῳ] ὅσῳ γὰρ H. 20. ὑπομεμενήκασι emendat Migne. ὑπομενήκασι Maius. 22. πόνος] pergit τοσοῦτον ἀμφιλαφεστέρα καὶ δαψιλεστέρα τῆς χάριτος ἡ ἀντέκτισις καὶ τοῦτο σαφέστερον λέγει διὰ τῶν ἐπιφερομένων (ita desinens) H.

Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν 17
εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ 18
σκοπούντων ἡμῶν τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ
γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

Ἐπιῤῥώννυσι τῶν ἀθλεῖν βουλομένων τὸν νοῦν, τοὺς μὲν ἀγῶνας εὐτελίζων, τοὺς δὲ στεφάνους ὑψῶν τῶν νενικηκότων, καὶ τὸ μὲν ἐλαφρὸν ἐπὶ τῶν θλίψεων τιθεὶς, τὸ δὲ βάρος ἐπὶ τῆς δόξης· τῶν γὰρ ἐν τῷδε τῷ βίῳ τὴν μεμετρημένην ἔφοδον διὰ τὸ πρόσκαιρον κἂν εἰ γένοιτο καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολήν. ἀλλ᾽ οὖν εἰς αἰώνιον βάρος δόξης ἐκβήσεσθαί φησιν, ἐπειδὴ πέρα λόγου τὰ τοῦ μέλλοντος αἰῶνος ἀγαθά. διὸ οὐ δεῖ σκοπεῖν τὰ βλεπόμενα πρόσκαιρα ἀλλὰ τὰ μὴ βλεπόμενα αἰώνια.

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ *κ.τ.λ.* Κεφ. ε΄.

Ἐπίγειον ἡμῶν οἰκίαν τοῦ σκήνους, αὐτὸ περιφραστικῶς ὀνομάζει τὸ σκῆνος, ἤτοι τὸ σῶμα· γέγραπται γὰρ ἐν τῷ Ἰὼβ "Τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ Hiob iv. 19. *"ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν." ἴσμεν οὖν ἄρα, φησὶν, ὡς καταλύσαντος τοῦ θανάτου τὴν ἐπίγειον ἡμῶν τοῦ σκήνους οἰκίαν, τουτέστι τὸ σῶμα, διαδέξεται καὶ οὐκ εἰς μακρὰν, κατὰ τὸν τῆς ἀναστάσεως δηλονότι καιρὸν, οἰκητήριον τὸ ἐξ οὐρανοῦ, τουτέστιν ἡ ἀφθαρσία· ἄνωθεν δὲ αὐτὴν εἶναί φησι, πρῶτον μὲν ὅτι θεόσδοτον τὸ χρῆμά ἐστιν· εἶτα πρὸς τούτῳ διά τοι τὸ πάντας τοὺς τὴν ἄνωθεν οἰκοῦντας πόλιν, φημὶ δὴ τὰ τῶν ἁγίων ἀγγέλων συντάγματα, ἐν ἀφθάρτοις τε καὶ ἀνωλέθροις εἶναι σώμασιν· ἀπήλλακται γὰρ τῆς*

1–13. Hoc scholion nobis suppeditat H. 19. *ἄρα φησὶν* om. H. *ὅτι* pro *ὡς* H. 20. *τοῦ θανάτου καταλύσαντος* et *ἡμῶν τὴν ἐπίγειον* inverso ordine H. 21. *καὶ οὐκ εἰς μακρὰν* om. H. 22. *δηλονότι* om. H. 23. *εἶναι* et *πρῶτον μὲν* om. H. 24. *θεόσδοτον* H. *δοτὸν* Ed. 24–26. *ἐστιν —φημὶ δὴ*] *καὶ ὅτι* H. 26. *συντάγματα*] *τάγματα τὰ ἄνω ὄντα* H. 27. *τε* om. H. *εἰσὶ* pro *εἶναι* H.

97 M. γεώδους ταυτησὶ παχύτητος ἡ ἀγγέλων φύσις. οἰκοδομὴν τοιγαροῦν ἐκ Θεοῦ καὶ ἀχειροποίητον οἰκίαν καὶ μὴν καὶ αἰώνιον ὀνομάζει, τὴν ἀφθαρσίαν.

2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες.

Διὰ τοῦτο στενάζομεν ὡς καταβαρυνόμενοι τῇ φθορᾷ, γλιχόμεθα δὲ τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ οἰκητήριον, τουτέστι τὴν ἀφθαρσίαν, ἐπενδύσασθαι. στενάζομεν οὖν οὐκ ἀπόθεσιν τοῦ νῦν ὄντος ἐπιθυμοῦντες εὑρεῖν, ἐπαμφιέσασθαι δὲ μᾶλλον αὐτῷ τὴν ἀφθαρσίαν εὐχόμενοι τὸ ἀχειροποίητον οἰκητήριον,
ver. 3. εἴ γε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα. καὶ γάρ ἐστιν
Sap. ix. 15. ἀληθὲς ὅτι "Φθαρτὸν σῶμα βαρύνει ψυχὴν," πεποιήμεθα δὲ τοῦ στενάζειν τὴν ἀφορμὴν τὸ καταβαρύνεσθαι τῇ φθορᾷ, γλιχόμεθα δὲ τὸ οἰκητήριον τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ τουτέστι τὴν ἀφθαρσίαν ἐπενδύσασθαι. εἶτα τί τὸ ἐπενδύσασθαι δηλοῖ ἢ πάντως ὅτι τῷ νῦν ὄντι σώματι προσπεριβαλέσθαι τὴν ἀφθαρσίαν; στενάζομεν οὖν.

3 sqq. Εἴ γε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα.

Τό Εἴ γε οὐκ ἐνδοιάζων λέγει, ἀλλ' ἀποφαινόμενος μᾶλλον καὶ ἀραρότως ἔχον ἀποδεικνὺς ὅτι τὸ ἐξ οὐρανοῦ καὶ ἄνωθεν οἰκητήριον ἐπαμφιεννύμενοι τοῦ προϋποκειμένου σκήνους, τουτέστι τοῦ γηΐνου σώματος, οὐκ ἐσόμεθα γυμνοί. οὐκοῦν τό Εἴ γε τέθεικεν ἀντὶ τοῦ ὁπότε, ἵν' ᾖ τι τοιοῦτον τὸ εἰρημένον Ὁπότε καὶ ἐνδυσάμενοι, οὐκ ἀπόθεσιν τοῦ πρώτου πεισόμεθα, οὔτε μὴν ἐσόμεθα γυμνοὶ τοῦ προϋποκειμένου σώματος, ὅπερ
ver. 4. σαφηνίζει διὰ τῶν ἑξῆς. καταπίνεται δὲ τὸ θνητὸν ὑπὸ τῆς

1. ταύτης H. 2. οὖν pro τοιγαροῦν H. μὴν καὶ om. H. 3. ἀφθαρσίαν] + νῦν μὲν γὰρ ἐν αὐτοῖς ὄντες καὶ τοῖς οὕτω παχέσι σώμασιν καὶ πολὺ νοσοῦσιν τὸ εὔφθαρτον, στενάζομεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες H. 4–17. Haec assumpta ex H. 19–22. Τό Εἴ γε—οὐκοῦν assumpta ex H. 20. ἔχων Cod. 23. τι et τὸ assumpta ex H. 24, 25. οὐκ—σώματος] οὐκ ἀποτιθέμεθα τὸ πρῶτον σῶμα οὔτε γινόμεθα γυμνοὶ τοῦ προκειμένου σώματος H. 25. ὅπερ—ἑξῆς assumpta ex H. hic desinit, scholion novum Καταπίνεται τὸ incipiens H. καταπίνεται δὲ τὸ inc. Sev.

ζωῆς, οὐκ ἀφανιζόμενον, οὐδὲ χωροῦν εἰς τὸ μὴ ὑπάρχειν ὅλως, μεταστοιχειούμενον δὲ μᾶλλον εἰς ἀφθαρσίαν· πεποίηται γὰρ οὕτω καὶ ἐν ἀρχαῖς. γέγραπται γὰρ ὅτι καὶ ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς καὶ ἔπλασε τὸν ἄνθρωπον. Gen. ii. 7. ἵνα δὲ τὸ φθαρτὸν ὑπὸ τῆς ζωῆς καταπίνηται, φθαρτὴ γὰρ ἡ σὰρξ κατὰ φύσιν, "ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ Ib. "πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." ἀλλ' εἰσκέκριται μεταξὺ διὰ τῆς ἁμαρτίας ὁ θάνατος· εἶτα, καθά φησιν αὐτὸς ὁ θεσπέσιος Παῦλος, εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ "ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ·" Eph. i. 10. ἀφίκετο γὰρ ἀνακαινίσων ἡμᾶς διὰ τοῦ Πνεύματος εἰς τὸ ἀπ' ἀρχῆς· καὶ αὐτός ἐστιν ὁ πρὸς τοῦτο ἡμᾶς κατεργασάμενος ver. 5. ὡς Θεὸς καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος. οὐκοῦν ἐνέχυρον ὥσπερ ἀσφαλὲς τῆς ἐν ὑστέροις τοῦ αἰῶνος καιροῖς δοθησομένης ἡμῖν ἀφθαρσίας, τὸ ζωοποιὸν ἐντέθειται Πνεῦμα παρὰ Χριστοῦ· νυνὶ μὲν τέως ὡς ἐν ἀπαρχῇ, μετὰ δέ γε τὴν ἐκ νεκρῶν ἀναβίωσιν ὡς ἐν ὁλοκλήρῳ μέτρῳ· τότε δὴ τότε κατηργημένης εἰσάπαν τῆς φθορᾶς, ἐξελευσόμεθα, καθά φησιν ὁ προφήτης, καὶ σκιρτήσομεν "ὡς Mal. iv. 2. "μοσχάρια ἐκ δεσμῶν ἀνειμένα," καὶ δὴ καὶ ἐροῦμεν ἐπιτωθάζοντες τῇ φθορᾷ "Ποῦ ἡ δίκη σου θάνατε, ποῦ τὸ κέντρον Hos. xiii. 14. "σου ᾅδη;" πεπαύσονται γὰρ ἁμαρτία καὶ θάνατος, βασιλεύσει δὲ τῶν ἁγίων ἐν ἀφθαρσίᾳ Χριστός. καὶ ἵνα τὸ φθαρτὸν ὅ ἐστιν ἡ φθαρτὴ σὰρξ κατὰ φύσιν, καταποθῇ ὑπὸ τῆς ζωῆς, "ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν Gen. ii. 7. "ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν."

contr. Add. Jul. c. 30 in Mus. Brit. Cod. Add. 12158, fol. 119 v, et in Codice Vaticano Maio cit., necnon collectio auctoritatum in Codicibus Syriacis Brit. Mus. Add. 14532, fol. 37 v, 14533, fol. 53. nostris codicibus tomum tertium citantibus. 1. οὐδε—ὅλως assumpta ex H. Sev. Coll. 7. Hic des. citatio in collectione supradicta. 8. διὰ om. H. 9. αὐτὸς assumptum ex H. 11. Πνεύματος H. Sev. ut adnotat et Maius. Πατρὸς Maius qui suum Codicem ita legere notat. 15. δοθησομένοις (sic) H. 18–26. τότε δὴ—ζῶσαν nobis suppeditat H., usque ad Χριστός (23) et Severus unde partem Latine exhibet et Maius. 19. σκιρτήσωμεν Cod. 21. δίκη] νίκη Severus.

ΤΟΜΟΣ Δ.

ΛΟΓΟΣ Α.

5 sqq. Ὁ καὶ δοὺς ἡμῖν τόν ἀῤῥαβῶνα τοῦ Πνεύματος *κ.τ.λ.*

ΟΙ *τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος* ἔχοντες, καὶ τὴν τῆς ἀναστάσεως ἐλπίδα πεπλουτηκότες, τῶν ἔσεσθαι προσδοκω-
ver. 16. μένων ὡς ἐνεστηκότων ἤδη ἐπιδραττόμενοί φασιν *Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα*, πάντες γάρ ἐσμεν πνευματικοὶ καὶ οὐκ ἐν φθορᾷ σαρκικῇ· *σάρκα* γὰρ ἐν τούτοις, καθάπερ ἐγῷμαι, τὴν τῆς σαρκὸς ὀνομάζει φθοράν· ἐπιλάμψαντος γὰρ ἡμῖν τοῦ Μονογενοῦς, μετεστοιχειώμεθα πρὸς τὸν τὰ πάντα ζωοποιοῦντα Λόγον. ὥσπερ γὰρ τοῖς τοῦ θανάτου δεσμοῖς ὑπεκείμεθα βασιλευούσης τῆς ἁμαρτίας, οὕτω τῆς ἐν Χριστῷ δικαιοσύνης εἰσκεκριμένης, ἀπεσεισάμεθα τὴν φθοράν· οὐδεὶς οὖν ἄρα ἐστὶν ἐν σαρκὶ, τουτέστιν ἐν ἀσθενείᾳ σαρκικῇ. καὶ πρός γε τῶν ἄλλων ἡ φθορὰ νοοῖτ' ἂν εἰκότως· ἐπειδὴ δὲ ἔφη *οὐδένα* ἐγνωκέναι *κατὰ σάρκα*, προσεπάγει τὰς τινῶν ὑφορώμενος ἐκτόπους ἐννοίας Εἰ *γὰρ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν ἀλλὰ νῦν*
98 M. *οὐκ ἔτι γινώσκομεν*. ὅμοιον ὡς εἴπερ ἕλοιτο λέγειν, γέγονε
S. Joan. i. 14. "σὰρξ ὁ Λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν," καὶ τὸν ὑπὲρ τῆς

1, 2. Ita H. 4. Inc. Ἡ *νόησις πρὸς τὰ ὀπίσω. ἐπειδήπερ φησὶ τοῦ ζωοποιοῦ Πνεύματος τὸν ἀῤῥαβῶνα πλουτήσαντες κατειργάσμεθα πρὸς ζωὴν παρὰ τοῦ Θεοῦ καὶ ἐπενδυσάμεθα τῷ γεώδει σκήνει τὴν ἀφθαρσίαν καὶ κατεπόθη τὸ θνητὸν ὑπὸ τῆς ζωῆς· εἰκότως ὡς ἤδη παρόντα τὰ ἐσόμενα βλέποντες οὐδένα* (7) H. 8. *πνευματικοὶ*] *ἐν πνεύματι* H. *ἐν τούτοις*] *ὧδε* H. 9. *καθάπερ—φθοράν*] *τὴν σαρκὸς ὡς οἶμαι φθορὰν ὀνομάζει* H., qui pergit *ἀναγκαίως δὲ ἐπήγαγε τό* Ἀπὸ *τοῦ νῦν, τῆς ἐν Χριστῷ γεγενημένης οἰκονομίας μεμνημένος. ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος καὶ ῥίζα τοῦ γένους ἐφάνη δευτέρα, οὐ κατὰ τὴν πρώτην ἐξ Ἀδὰμ ἀλλ' ἐν ἀμεινόσιν ἀσυγκρίτως νοουμένη καὶ ὑπάρχουσα, μεταστοιχειώμεθα πρὸς ζωήν. οὐ γάρ ἐσμεν ὑπὸ θάνατον ἀλλ' ὑπ' αὐτὸν τὸν τὰ πάντα* (11) *ζωοποιοῦντα Λόγον. καὶ οὐδείς ἐστιν* (14) H. 14. *ἐστιν*] + *ἔτι* H. 15. *σαρκικῇ*] pergit *ὅ ἐστιν ἡ φθορά· οὐ τοῦτο δὲ λέγει ὁ παῦλος ὅτι οὐ σεσάρκωται ὁ χριστός· εἰ γὰρ καὶ λέγει ὅτι οὐδένα ἐγνώκαμεν κατὰ σάρκα, οὐ τοῦτο σημαίνει, ἐπεὶ πῶς ἀπέθανεν; σαρκὸς γὰρ ἀσθένεια τοῦτο. ὃ οὖν λέγει τοῦτό ἐστιν· γέγονεν μὲν σὰρξ* (20) H. *πρός γε*] legendum *πρό γε*. 19–p. 353, 1. *γέγονε—θάνατον*] *καὶ ὑπὲρ πάντων ἀπέθανεν* H.

ἁπάντων ζωῆς ὑπέστη θάνατον κατὰ σάρκα, καὶ οὕτως αὐτὸν ἐγνώκαμεν· πλὴν ἀπὸ τοῦ νῦν οὐκ ἔτι γινώσκομεν· εἰ γὰρ καὶ ἔστιν ἐν σαρκὶ, τριήμερος γὰρ ἀνεβίω καὶ ἔστι πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα, ἀλλ' οὖν ὑπὲρ σάρκα νοεῖται· ἅπαξ γὰρ ἀποθανὼν "οὐκ ἔτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκ ἔτι Rom. vi. 9, 10. "κυριεύει· ὃ γὰρ ἀπέθανεν, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ "δὲ ζῇ, ζῇ τῷ Θεῷ." οὐκοῦν εἰ γέγονεν ἐν τούτοις ὁ τῆς ζωῆς ἡμῶν ἀρχηγὸς, πᾶσά πως ἀνάγκη καὶ ἡμᾶς αὐτοὺς τοῖς Cf. 1 S. Pet. ii. 21. ἴχνεσιν αὐτοῦ κατακολουθήσαντας, οὐκ ἐν σαρκὶ μᾶλλον, ἀλλ' ὑπὲρ σάρκα νοεῖσθαι. ὀρθῶς οὖν λίαν ὁ θεσπέσιος Παῦλος Ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις φησὶ τὰ ἀρχαῖα ver. 17. παρῆλθεν, ἰδοὺ, γέγονε καινά· ἀρχαῖον μὲν γὰρ τό "Γῆ Gen. iii 19. "εἶ καὶ εἰς γῆν ἀπελεύσῃ" καὶ μὴν καὶ ἐκεῖνο τὸ ἐν βίβλῳ Μωσέως "Ἐπιμελῶς γὰρ ἔγκειται ἡ διάνοια τοῦ Ib. viii. 21. "ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος·" ἀρχαῖα δὲ πρὸς τούτοις καὶ τὰ ἐν νόμῳ· ταυτὶ δὴ πάντα παρελάσαι φησίν· δεδικαιώμεθα γὰρ διὰ πίστεως τῆς ἐν Χριστῷ, καὶ πέπαυται τῆς ἀρᾶς ἡ δύναμις· ἀνεβίω γὰρ ὑπὲρ ἡμῶν ὁ τοῦ θανάτου πατήσας τὸ κράτος, καὶ τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν ἐγνώκαμεν, τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ πληροῦντες λατρείαν, μεσιτεύοντος τοῦ Υἱοῦ καὶ τὰς ἄνωθεν καὶ παρὰ Πατρὸς εὐλογίας τῷ κόσμῳ διδόντος· ὅθεν τοι καὶ μάλα σοφῶς ὁ θεσπέσιος Παῦλος Τὰ δὲ πάντα φησὶν ἐκ τοῦ Θεοῦ ver. 18. τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Χριστοῦ. καὶ γάρ ἐστιν ἀληθῶς οὐκ ἀβούλητον τῷ Πατρὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον καὶ ἡ δι' αὐτοῦ καινουργία. προσεπάγει δὲ τούτοις ὁ μυσταγωγὸς ὅτι αὐτὸς ὁ Πατὴρ ἡμᾶς ἑαυτῷ κατήλλαξεν διὰ Χριστοῦ, ἐκπεπολεμωμένους αὐτῷ διὰ τῆς εἰς

1. κατὰ σάρκα post ἐγνώκαμεν transponit H. 3. ἔστι prius] + νῦν H. σαρκὶ] pergit ἀλλ' ἀνέστη τριήμερος καὶ ἀνέβη εἰς οὐρανοὺς, ἀλλ' ὑπὲρ σάρκα νοεῖται· οὐκέτι γὰρ ἀποθνήσκει, οὔτε ἄλλην τινὰ σαρκὸς ἀσθένειαν ὑπομένει, ἀλλὰ πάντων ἐστὶν τούτων ἀμείνων ὡς Θεός ita desinens H. 15. Inc. iterum Ἀρχαῖα λέγει τὴν ἀρὰν, τὴν ἁμαρτίαν καὶ τὰς ἐν νόμῳ σκιὰς, καινὰ δὲ, τὴν δικαίωσιν τῆς (sic) διὰ τῆς ἐν χριστῷ πίστεως καὶ τὴν ἐν πνεύματι καὶ (cf. 20) ἀληθείᾳ λατρείαν μεσιτεύοντος χριστοῦ καὶ τὰς ἄνωθεν καὶ παρὰ Πατρὸς εὐλογίας τῷ κόσμῳ διδόντος ita desinens H.

[98 M.]
πολύθεον πλάνης ἕλληνας, καὶ ἰουδαίους διά γε τοῦ βού-
λεσθαι ταῖς κατὰ νόμον προσπεπῆχθαι σκιαῖς, καὶ τὸν τῆς
Eph. ii. 18. ἀληθοῦς λατρείας οὐ προσίεσθαι λόγον· δι' αὐτοῦ γὰρ τὴν
S. Joan. xiv. 6. προσαγωγὴν ἐσχήκαμεν, καί "Οὐδεὶς ἔρχεται πρὸς τὸν
"Πατέρα, καθά φησιν αὐτὸς, εἰ μὴ δι'" αὐτοῦ. οὐκοῦν τὰ
πάντα ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς διὰ Χριστοῦ καὶ
δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

Ἄθρει δή μοι πάλιν ὅτι Χριστοῦ δεδωκότος αὐτοῖς τὴν
διακονίαν τῆς καταλλαγῆς, κεχειροτόνηνται γὰρ δι' αὐτοῦ
99 M. πρὸς ἀποστολὴν, Θεὸν ἔφη τὸν δεδωκότα· Θεὸν οὖν ἄρα
καὶ ἰσοκλεᾶ τῷ Πατρὶ διακηρύττουσιν αὐτὸν, μίαν εἰδότες
τὴν ἀμφοῖν κυριότητά τε καὶ ἐξουσίαν· ποῖος οὖν ἄρα ἐστὶ,
τίς οὗτος ἐπὶ τῆς διακονίας ὁ λόγος, ἢ τίς ὁ τρόπος τῆς
ver. 19. καταλλαγῆς, ἐπιφέρει λέγων Θεὸς ἦν ἐν Χριστῷ κόσμον
καταλλάσσων ἑαυτῷ, τουτέστιν ὁ ἐν Χριστῷ κόσμον καταλ-
λάσσων ἑαυτῷ, Θεὸς ἦν· διὰ γὰρ πίστεως, ὡς ἔφην, τῆς εἰς
Χριστὸν, εἰρηνεύσαμεν πρὸς Θεὸν, ἤτοι κατηλλάγμεθα. καὶ
τούτου σαφὴς ἀπόδειξις, τῶν πεπλημμελημένων ἡ ἄφεσις,
ἣν χαρίζεται μὲν ὁ Θεὸς καὶ Πατήρ· ὀρέγει δὲ πάλιν ἐπ'
S. Matth. ix. 2. ἐξουσίᾳ ὡς Θεὸς ὁ Υἱὸς, λέγων τῷ παραλυτικῷ "Ἀφέωνταί
"σοι ἁμαρτίαι σου." οὐκοῦν ἐν Χριστῷ τουτέστιν ἐν προσ-
ώπῳ Χριστοῦ, κόσμον ἑαυτῷ καταλλάσσει Θεὸς, μὴ λογιζό-

1. Inc. iterum Ἕλληνες πιστεύσαντες διὰ τοῦ χριστοῦ εἰς τὸν ἀληθῆ καὶ φύσει Θεὸν, ὁμοίως καὶ ἰουδαῖοι ἀντὶ τῶν σκιῶν τῇ ἀληθείᾳ προσδραμόντες ἐφιλιώθησαν τῷ Θεῷ· οὐκοῦν πολεμοῦντες Θεῷ τὴν πίστιν οὐ προσίενται καὶ χριστὸν ἀτιμάζοντες ἕλληνές τε καὶ ἰουδαῖοι· ἄθρει δὴ οὖν ὅτι (8) H. 9. κεχειροτόνηνται H. κεχειροτόνηται Ed. 11. ἰσοκλεᾶ] + καὶ ἰσουργὸν H. αὐτὸν] + καὶ πιστεύουσιν H. 12. τε om. H. ἐξουσίαν] pergit εἰ δὲ καί τις λέγει περὶ τοῦ Πατρός λέγειν αὐτὸν, οὐδὲν ἧττον ἀνακομιεῖ τὴν τοῦ χριστοῦ δόξαν εἰς τὴν τοῦ πατρὸς, ὥσπερ ἐστὶν ἀληθὲς ὡς χριστοῦ δόντος τὴν διακονίαν αὐτοῖς ὁ πατὴρ δοῦναι λέγεται desinens H. Inc. iterum οὐ τοῦτο λέγει ὅτι ἐν χριστῷ ἦν ὁ θεὸς ὡς ἐν ἀνθρώπῳ φίλος ἐπεὶ οὐδὲν διοίσει χριστὸς τῶν προφητῶν ἢ ἀποστόλων, ἀλλὰ δεῖξαι φροντίζει ὁ ἀπόστολος ὅτι Χριστῷ τις εἰ καταλλάττοιτο, πρὸς Θεὸν πεποίηται τὰς καταλλαγάς. αὐτὸς γὰρ ὡς ὁ υἱὸς καὶ κύριος ἑαυτῷ τὸν κόσμον καταλλάσσων διὰ τῆς πίστεως καταλλάσσει δι' ἑαυτοῦ τῷ θεῷ καὶ πατρί· διὸ καὶ ἔλεγεν
S. Joan. xii. 44. xiv. 1. Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ ἀλλ' εἰς τὸν πέμψαντά με, καὶ πάλιν Πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. οὐκοῦν· σαφηνιῶ γὰρ ὡς ἔνι τοῦ προκειμένου τὴν δύναμιν βραχὺ παραλλάξας τὸ εἰρημένον· ὁ ἐν (15) H. 15. ἑαυτῷ καταλλάσσων inverso ordine H. 16. ὡς ἔφην om. H. 17. εἰρηνεύομεν H. 18. πλημμελημάτων H. 19. θεὸς καὶ om. H. ὀρέγει] παρέχει H. πάλιν om. H. μετ' pro ἐπ' H. 20. λέγων—σου om. H. 22. καταλλάττει H.

μενος τοῖς ἡμαρτηκόσι τὰ παραπτώματα αὐτῶν. ἐπειδὴ δὲ [99 M.]
τετάγμεθα, φησὶ, πρὸς ἱερουργίαν τῶν εὐαγγελικῶν θεσπι-
σμάτων, καὶ τέθειται τῆς καταλλαγῆς ἐν ἡμῖν ὁ λόγος· διά-
κονοι γάρ ἐσμεν Θεοῦ· ἀναγκαίως τοῖς οὕτω πεπιστευκόσι
τὰς ὑπέρ γε σφῶν αὐτῶν λιτὰς, καὶ οἷον αὐτοῦ τὸ πρόσωπον
ἀναλαβόντες Χριστοῦ, τοῖς ἀποφοιτᾶν ἐθέλουσί φαμεν Δεό- ver. 20.
μεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ, πιστεύσαντες εἰς
αὐτὸν, δῆλον ὅτι τὸν ὑπὲρ οὗ πρεσβεύομεν· Χριστὸς γὰρ ἡ
θύρα καὶ αὐτὸς ἡ ὁδός.

Ἐπειδὴ δὲ ἦν εἰκὸς ἀλογῆσαί τινας τῶν εὐαγγελικῶν
κηρυγμάτων, καὶ λογίσασθαι παρ' οὐδὲν τὸν τῆς σωτηρίας
καιρὸν τὸν εὐπρόσδεκτον ἀληθῶς, παρωθεῖσθαί τε καὶ μετὰ
τοῦτο τὴν πίστιν, προσεπινοεῖ τι πάλιν αὐτοῖς ὁ μυσταγω-
γὸς οὐκ ἀνικάνως ἔχον εἰς ἐντροπὴν, καὶ πρὸς τὸ ἀναπεῖσαι
ῥᾳδίως μὴ ἀναπίπτειν εἰς ῥαθυμίας, ἐπιδράξασθαι δὲ μᾶλλον
τῆς ἐν Χριστῷ ζωῆς· καί φησι περὶ τοῦ Θεοῦ καὶ Πατρός
Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ἵνα ἡμεῖς ver. 21.
γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. ὅμοιον ὡσεὶ λέγοι Τὸν
οὐδὲν ἡμαρτηκότα πώποτε παρεσκεύασε παθεῖν τὸ τῶν
σφόδρα φιλαμαρτημόνων, ἵν' ἡμᾶς ἀποφήνῃ δικαίους τὴν
εἰς αὐτὸν πίστιν εἰσδεδεγμένους· ὑπέμεινε γὰρ "σταυρὸν, Heb. xii. 2.
"αἰσχύνης καταφρονήσας·" εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν ὁ
πάντων ἀντάξιος. ὅταν τοίνυν ἁμαρτία γενέσθαι λέγηται, μὴ
ὑπολάβῃς ὅτι πέπραχεν ἁμαρτίαν· οὐ γὰρ οἶδεν πλημμελεῖν
Θεὸς ὢν ὁ Λόγος· ἴσθι δὲ μᾶλλον ὅτι δέδοται παρὰ τοῦ Θεοῦ
καὶ Πατρὸς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καθάπερ ἀμέλει καὶ
τὰ ὑπὲρ ἁμαρτίας σφάγια, κατὰ τὸν Μωσέως νόμον, ἁμαρ-
τίας ὠνόμαζον· γέγραπται γοῦν ἐν προφήταις περὶ τῶν 100 M.

1. αὐτῶν] pergit δικαιῶν δὲ μᾶλλον διὰ τῆς πίστεως τῆς ἐν χριστῷ ita desinens H. 4. οὕτω] legendum οὔπω et supplendum ut videtur ποιοῦμεν ante τὰς. 18. Inc. iterum Τὸν οὐδὲν H. 19. τὰ pro τὸ H. 20. ἵνα H. 21. ὑπέμεινε—καταφρονήσας] δέδωκεν γὰρ ὁ ἐμμανουὴλ τὸ ἴδιον αἷμα ὑπὲρ ἡμῶν ἵνα ἡμεῖς ἔξω γενώμεθα ποινῆς καὶ δικῆς H. 22. ἁπάντων H. 23. δὲ pro τοίνυν H. 24. πλημμελεῖν Θεὸς ὢν H. πλημμελεῖν· Θεὸς ἦν Ed. 25. ἀλλ' pro ἴσθι δὲ μᾶλλον H. 26. τῶν om. H. καὶ γὰρ pro καθάπερ ἀμέλει H. 27. θρέμματα σφαζόμενα pro σφάγια H. 28. ὀνομάζων (sic) H. γέγραπται—προστεταγμένων] κατὰ τὸ εἰρημένον H.

[100 M.]

Hos. iv. 8. ἱερᾶσθαι προστεταγμένων "Ἁμαρτίας λαοῦ μου φάγονται, "καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν·" ἤσθιον γὰρ τὰ ὑπὲρ ἁμαρτιῶν θύματα κατὰ τὸν νόμον, οἱ τῶν θείων θυσιαστηρίων ἐπιμεληταὶ καὶ διάκονοι. μέγα τοίνυν πρὸς ἐντροπὴν τοῖς ἐθέλουσι ῥαθυμεῖν τὸ διενθυμεῖσθαι σοφῶς ὅτι τοῖς ἁμαρτωλοῖς συγκατεδικάσθη καὶ συγκεκρέμαται δι' ἡμᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ· δεδικαιώμεθα γὰρ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς "οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν "ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος" διὰ πίστεως τῆς ἐν Χριστῷ. (Tit. iii. 5.)

Κεφ. ι'. Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ κ.τ.λ.

Πολλοὶ ἦσαν τῶν Ἀθήνησι σοφῶν, τοῖς ἐν Κορίνθῳ συνδιαιτώμενοι, οἳ μωρίαν ἡγοῦντο τὸν τοῦ Σωτῆρος σταυρὸν, (1 Cor. i. 18.) καὶ τὸν τῆς θεοπνεύστου γραφῆς διαγγέλλοντα λόγον, ἀγύρτην καὶ σπερμολόγον ὁμοῦ τοῖς ἄλλοις ἁγίοις καὶ αὐτὸν ὠνόμαζον τὸν μακάριον Παῦλον· (Acta SS. Ap. xvii. 18.) ἕτεροι δέ τινες τῶν ἐκ περιτομῆς κατεπεφύοντο πάλιν τῶν πεπιστευκότων, ἐπαινοῦντες τὴν περιτομὴν καὶ τὰς νομικὰς θυσίας, ἐξεστηκότα τε λέγοντες τὸν μακάριον Παῦλον, ὡς τοῖς ἀρχαίοις θεσπίσμασιν ἀνοσίως πολεμεῖν ᾑρημένον. πρὸς δὲ τοὺς τοιούτους παρωτρύνοντο μὲν καὶ μάλα εἰκότως τῶν Κορινθίων οἱ ζηλωταὶ, χεῖρας δὲ αὐτοῖς ἐπιφέρειν ἤθελον, ὡς ἐχθροῖς τοῦ θείου κηρύγματος· ἐπειδὴ δὲ ἦν ἀκαλλὲς λίαν τὸ χρῆμα, καὶ τῆς ἁγίοις πρεπούσης ἐπιεικείας ὡς ἀπωτάτω· (2 Tim. ii. 24, 25.) "Δοῦλον γὰρ "Κυρίου οὐ δεῖ μάχεσθαι, κατὰ τὸ γεγραμμένον, ἀλλ' ἤπιον

1. *μου* assumptum ex H. 2. *καὶ—ψυχὰς αὐτῶν* om. H. 3. *ὑπὲρ*] + *τῶν* H. *κατὰ—διάκονοι*] *οἱ ἱερεῖς* H. 4–8. *μέγα—ἐν αὐτῷ* post *ἔλεος* (10) transponit H. 5. *τοῖς* H. *αὐτοῖς* Ed. 7. *ἁμαρτίαν* H. *ἁμαρτίας* Ed. 8. *οὐτῷ* des. H. *δεδ.—οὐκ*] *καὶ δεδ. παρὰ τοῦ Θεοῦ γενόμενοι δικαιοσύνη Θεοῦ οὐκ* H. 9. *ἐν δικαιοσύνῃ ὧν*] *κατὰ δικαιοσύνην ἃ* H. 10. *ἡμεῖς* om. H. *ἔλεος*] pergit *μέγα* (4) supra H. 16. *διαγγέλλοντες* (sic) H. 18. *ἐκ*] + *τῆς* H. 22. *εἰρημένον* (sic) H. 23. *μὲν* assumptum ex H. 26. *ἀτοπωτάτων* (sic) H.

[100 M.]

“ εἶναι πρὸς πάντας, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδια- “ τιθεμένους·” ἐπιτάττει λέγων Αὐτὸς δὲ ἐγὼ Παῦλος ὁ τῶν θείων μυστηρίων ἱερουργὸς, ὁ ταμίας καὶ ἀπόστολος, ὁ ζήλῳ διαπρεπὴς, παραθήγων καὶ ὑμᾶς αὐτοὺς εἰς τὸ λέγειν σὺν ἐμοί “ Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος,” Phil. i. 21. παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, “ ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, 2 S. Pet. ii. 23. “ παρεδίδου δὲ τῷ κρίνοντι δικαίως.” ἐπὶ καιροῦ τοιγαροῦν τῆς Χριστοῦ ζωῆς εἰς ἀνάμνησιν αὐτοὺς ἀποφέρει, πραοτάτους καὶ ἐπιεικεῖς καθιστάς· ἐγὼ δὲ αὐτός φησιν Παῦλος ὁ παρὼν μὲν ἐν ὑμῖν κατὰ πρόσωπόν εἰμι ταπεινὸς, οὐ γαῦρος, οὔτε μὴν ἠκονημένος εἰς ἔριδάς τε καὶ μάχας, ὃς θαῤῥῶ μὲν ἀπὼν, 101 M. δέομαι δὲ καὶ νῦν μὴ παρὼν θαῤῥῆσαι· ὅτι καθάπερ ἔπεισί μοι ver. 2. λογίζεσθαι, κατ᾽ οὐδένα τρόπον τολμήσετε κατά τινων οἰομένων ἡμᾶς ὡς κατὰ σάρκα περιπατεῖν, τουτέστι πολιτεύεσθαι σαρκικῶς ἐν ἔριδί τε καὶ ζήλῳ· “ ὅπου γὰρ, φησὶ, 1 Cor. iii. 3. “ ζῆλος καὶ ἔρις ἐν ὑμῖν, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄν- “ θρωπον περιπατεῖτε;” κρείττους οὖν ἄρα τῆς ἐκείνων ὑποψίας γενέσθαι προσήκει τοὺς ἀκολουθεῖν ἐθέλοντας ταῖς τοῦ Σωτῆρος ἐπιεικείαις, καὶ μὴ σαρκικῶς περιπατεῖν. εἰ γὰρ ἀπειθοῦσί τινες, οὐ ξύλοις αὐτοὺς καταπαίοντας καταβιάζεσθαι χρὴ, περιμένειν δὲ μᾶλλον τὴν ἑκούσιον αὐτῶν πρὸς Θεὸν ἐπιστροφήν.

Ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα· τὰ 3 sqq. γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ.

Οἱ μὲν γὰρ εἰδότες εὐδοκιμεῖν ἐν μάχαις, καὶ τοῖς πολεμοῦσιν αὐτοὺς ἀντανιστάμενοι σαρκικῶς, σαρκικὴν ἂν ἔχοιεν καὶ μάλα εἰκότως τὴν παντευχίαν· κράνη γὰρ αὐτοῖς καὶ θώρακες ὅπλα τε καὶ ξίφη καὶ τὰ δι᾽ ὧν ἂν δύναιντο νικᾶν· ἡμῖν δὲ ἡ πάλη καὶ ὁ τοῦ πολέμου τρόπος ὅπλων χρήζει

11. ὑμῖν] + καὶ ὁρώμενος H. ταπεινὸς] + καὶ H. 12. ὡς θαῤῥῶν H. 14. λογίζεσθε H. 16. ἐν assumptum ex H. 27. μάχαις] + τε H.

[101 M.] πνευματικῶν. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τὸν ἐν Χριστῷ
νοούμενον στρατιώτην, ταῖς οὕτω λαμπραῖς εὐοπλίαις κατα-
Eph. vi. 14. σεμνύνεσθαι δεῖν εὖ μάλα φησί· θώρακα μὲν γὰρ αὐτῷ
Ib. 17. περιτίθησι δικαιοσύνην, περικεφαλαίαν δὲ σωτηρίου, "καὶ
"τὴν μάχαιραν τοῦ Πνεύματος ὅ ἐστι ῥῆμα Θεοῦ," καὶ πρὸς
Ib. 16. τούτοις ἔτι "τὸν θυρεὸν τῆς πίστεως," δι' οὗ δὴ πάντα τὰ
πεπυρωμένα τοῦ πονηροῦ κατασβέννυται βέλη. οὐκοῦν οὐ
σαρκικὰ τῶν ἁγίων τὰ βέλη, πνευματικὰ δὲ μᾶλλον καὶ
ver. 4. δυνατὰ τῷ Θεῷ, χρήσιμά τε πρὸς καθαίρεσιν ὀχυρωμάτων, τῶν
ἑλληνικῶν δογμάτων φημὶ καὶ αἱρετικῶν, καὶ πρὸς τὸ ἀπο-
φαίνειν τοὺς ἐκείνων συλλογισμοὺς σαθρούς τε καὶ ἀτεχνε-
στάτους καὶ ἀσυνέτως συντεθειμένους. τοιούτους οὖν καθαι-
ver. 5. ρήσωμεν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ
Θεοῦ· αἰχμαλωτιοῦμεν δὲ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ
Χριστοῦ, ἀντὶ τοῦ Πᾶν ὕψωμα κατὰ τοῦ Θεοῦ ἐπαιρόμενον
ἐννοιῶν δυσσεβῶν καθαιρήσωμεν, καὶ ταῖς πρεπούσαις φω-
ναῖς δοξολογήσωμεν, μηδὲν ταπεινὸν περὶ αὐτοῦ φανταζό-
μενοι· ὀνήσομεν γὰρ καὶ ἑτέρους, εἰς ὀρθὴν καὶ ἀπλανεστάτην
ver. 6. ἐννοιῶν ἀποκομίζοντες τρίβον, ὅπως ἐκδικήσωμεν πᾶσαν
S. Matth. v. 19. παρακοήν, πληρωθείσης πρότερον τῆς ἡμῶν· ἔσται γὰρ μέγας
102 M. ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν οὐχ ὁ διδάξας μόνον, ἀλλ' εἴ
τις τῷ λόγῳ προσεπάγειν βούλοιτο τὰ ἐξ ἔργων ἀγαθῶν
αὐχήματα.

Κεφ. ιγ'. 3. 4 Ἐπεὶ δοκιμὴν ζητεῖτε κ.τ.λ. Καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ,
ἀλλὰ ζησόμεθα ἐν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς ὑμᾶς.

Supra ver. 2. Ἀπειλεῖ τοῖς ἐν Κορίνθῳ προημαρτηκόσιν, ὡς εἰ μὴ βού-
λοιντο δρᾶν ἃ προσῆκε καὶ διαζῆν ἁγίως, πάλιν οὐ φείσεται·
τὸ δέ Πάλιν τῆς ἤδη γεγενημένης ἀγανακτήσεως ἀνάμνησιν
ἔχει. ὅτι δὲ πάντως τοῖς πταίουσιν ἐπιτιμήσειεν, ἐνεργὸν
ἔσται τὸ ῥῆμα αὐτοῦ, πειρᾶται προσαναπείθειν καὶ ὡς ἀπό

3. δεῖ H. 7. σβεσθήσεται H. 11. ἐκείνων H. οἰκείους Ed.
12. καθαιρήσομεν H. 16. καθαιρήσομεν H. 17. δοξολογήσομεν H.

γε τῶν ἤδη παρῳχηκότων καὶ τῶν ἔσεσθαι προσδοκωμένων· ταύτῃτοί φησιν Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. εἰκὸς γὰρ, φησὶ, περιμένετε καὶ διὰ τῶν δευτέρων ἰδεῖν πότερόν ποτε Χριστὸς ἐν ἐμοὶ λαλεῖ, καὶ πρὸς πέρας ἄγει τοὺς τῶν ἐπιτιμήσεων τρόπους· μὴ γὰρ οἴεσθε, φησὶ, κατά τινας τῶν ἀπίστων ἔτι καὶ ὑβριστῶν ἀσθενεῖν αὐτόν· δυνατεῖ γὰρ ἐν ὑμῖν, δῆλον ὅτι τοῖς πεπιστευκόσι καὶ ὑπ' αὐτῷ γεγονόσιν, ἐν οἷς καὶ ἀναγκαίαν χαρίζεται τὴν φροντίδα, καὶ πλημμελοῦντας ἐπιστρέφει. δυνατεῖ τοιγαροῦν ἐν ὑμῖν· ἐνεργεῖ γὰρ ὡς Θεὸς καὶ ἀληθεῖς ἀποφαίνει τὰς τῶν ἁγίων φωνάς· καὶ τὸν ἐμὸν ἰσχύοντα πάντῃ τε καὶ πάντως εὑρήσετε λόγον· εἰμὶ γὰρ ὁ λαλῶν οὐκ αὐτὸς ἐγὼ, Χριστὸς δὲ μᾶλλον ὁ ἐν ἐμοί. ἐπειδὴ δὲ ποιεῖται μνήμην τῶν ἐκ πολλῆς ἄγαν ἀβελτερίας οἰηθέντων ἀληθῶς ἀσθενῆσαι Χριστὸν, διά τοι τὸ ὑπομεῖναι σταυρὸν, καὶ τῆς Ἰουδαίων ἀνασχέσθαι σκαιότητος ἤγουν δυσσεβείας, ἀπολογεῖται χρησίμως, τὴν τοῦ μυστηρίου δύναμιν εἰς μέσον ἄγων ἐπὶ καιροῦ, καὶ τὴν ἑκούσιον κένωσιν τοῦ Μονογενοῦς ἐξηγούμενος, καὶ τῆς μετὰ τοῦτο δόξης τὴν ἀσύγκριτον ὑπεροχήν. ναὶ γάρ φησιν, ὡς γοῦν οἴονται κατὰ σφᾶς αὐτοὺς οἱ τοῦ πιστεύειν ἔτι μακρὰν,
ἐσταυρώθη ἐξ ἀσθενείας, πέπονθεν ὡς ἄνθρωπος, καὶ τὸν ἐν ver. 4.
σαρκὶ θάνατον ὑπέμεινεν ἑκὼν, ἀλλ' ἦν ἀναγκαῖον εἰδέναι πρὸς τούτοις, ὅτι σκυλεύσας τὸν ᾅδην, καὶ πατήσας τοῦ θανάτου τὸ κράτος, ἀνεβίω τριήμερος, οὐκ ἀνθρωπείᾳ δυνά-

5. Inc. Μὴ οἴεσθε κατὰ τοὺς ἀπίστους καὶ ὑβριστὰς ἀσθένειαν (sic) τὸν χριστόν. δυνατεῖ (6) H. 7. δῆλον ὅτι om. H. γεγονόσιν] pergit ὧν καὶ φροντίζει, οὓς καὶ ἐπιστρέφει πλημμελοῦντας· ἡμεῖς γὰρ διακείμεθα ὅτι πάντα δύναται, ἀδυνατεῖ δὲ αὐτῷ παντελῶς οὐδέν. καὶ ὁ ἐμὸς πάντῃ τε καὶ πάντως ἰσχύει λόγος· εἰμὶ (12) H. 13. δὲ] γὰρ H. 1–p. 360, 20. Haec citant sub titulo "Sancti Cyrilli e tomo quarto interpretationis Epistolae secundae ad Corinthios" collectio testimoniorum in Codicibus Brit. Mus. 14532 fol. 48 v, 14533 fol. 59 v, partem vero 14629 fol. 19 v, Bibliothecae eiusdem: adnotat et Maius, "Tractum hunc quem inter duos asteriscos claudimus [sc. ea quae hic notamus] recitat etiam Severus patriarcha antiochenus in suo inedito apologetico adversus Julianum Halicarnassensem in codice Syriaco vaticano cxli [cod. 140 in Assemanii Catalogo] p. 73." In nostro tamen codice haec non reperi ipse. 20. Assumpta γοῦν ex H., ἔτι ex H. Syrr. 21. ἀσθενείας] + καὶ H. 23. πρὸς τούτοις om. H. invitis Syrr.

[102 M.]
μει χρώμενος ἀλλὰ θείᾳ τε καὶ ἀποῤῥήτῳ· Θεῷ γὰρ ἂν πρέποι καὶ μόνῳ τὸ δύνασθαι πάντα δρᾶν· ὡς καὶ αὐτοῦ τοῦ θανάτου καταλῦσαι τὸ κράτος, καὶ τὸ τῇ φθορᾷ κάτοχον
103 M. σῶμα τῇ τῆς ἀφθαρσίας στεφανῶσαι χάριτι. οὐκοῦν ὑπέμεινεν ἑκὼν τὸ ἀσθενῆσαι βραχὺ κατά γε τὴν τῆς σαρκὸς φύσιν· καθάπερ ἀμέλει πεινῆσαί τε καὶ διψῆσαι καὶ κοπιάσαι λέγεται, καὶ μὴν καὶ ἀποθανεῖν διὰ τὴν οἰκονομίαν· ζῇ γεμὴν ἐκ δυνάμεως Θεοῦ, καὶ οὐ παρ' ἑτέρου τὸ πάντα δύνασθαι λαβὼν, ἀλλ' οἴκοθεν ἔχων καὶ οὐσιωδῶς ἐνυπάρχων· Θεὸς γάρ ἐστιν κατὰ φύσιν ὁ σαρκὶ παθὼν δι' ἡμᾶς·
ܘܡܛܠ ܗܕܐ ܐܡܪ ܗܘܐ ܠܟ̈ܢܫܐ ܕܝܗܘ̈ܕܝܐ: ܕܒ
ܠܡܫܠܡܘܬܐ ܕܚܫܐ ܕܢܣܒܘܠ ܠܐ ܡܫܬܟܚ ܗܘܐ: ܘܠܐ
S. Joan. ii. 19. ܡܫܠܡܘܬܐ ܕܚܫܐ ܕܟܠܗ ܕܬܬܟܣܐ ܥܒܕ ܗܘܐ̇. ܕܒܪܘ
ܗܘܐ ܠܗ ܡܫܠܡܐ ܗܘܐ̇. ܘܠܬܠܬܐ ܝܘ̈ܡܝܢ ܡܩܝܡ ܐܢܐ ܠܗ܁ ܘܐܦ
ܐܬܘܗܝ، ܢ̈ܘܪܐ ܦܘܠܘܣ ܐܠܗܝܐ: ܕܢܒܥ ܡܢ ܐܠܗܐ
Supra xii. 9. ܕܐܡܪ: ܕܚܝܐ ܒܚܝܠܬܢܘܬܐ ܗܘ ܡܬܟܢܫ. ܐܡܪܐ ܠܐ
ܗܘ ܗܘܐ̇ ܕܠܘܩܕܡ ܢܬܟܫܠ ܒܒܣܪ ܒܐܢܫܘܬܐ: ܕܢܬܚܝܠ
ܐܠܗܐܝܬ.

Οὐκοῦν εἰ σκανδαλίζονται διὰ τὸν σταυρὸν, θαυμαζέτωσαν διὰ τὴν ἀνάστασιν· κἂν εἰ λέγοιτο ζῆν ἐκ δυνάμεως Θεοῦ, οὐδὲν ἧττον νοήσεις τὴν τοῦ Θεοῦ δύναμιν αὐτὸν τὸν Υἱόν.

1. χρησάμενος H. τε om. H. ἂν—μόνῳ] μόνῳ πρέπει H. 3. τοῦ assumptum ex H. 7. ἀποθανεῖν] dormire Syrr. 9. λαβὼν τὸ πάντα δύνασθαι inverso ordine H. Syr. 10. ὁ om. H. 11–18. Haec assumpta ex Syr. quae Latine ex Severo dedit et Maius. 19. οὐκοῦν εἰ] εἰ γάρ τινες H. 20. ἀνάστασιν] pergit ἔδει γὰρ πρότερον ἀσθενῆσαι σαρκικῶς τὸν Ἐμμανουὴλ ἵνα καὶ ἰσχύσῃ θεικῶς (ut Syr. supra verbis ἔδει γὰρ pro πῶς οὐκ ἔδει exceptis)· αὐτὸς γάρ ἐστιν ἡ τοῦ Πατρὸς δύναμις ita desinens H.

Sequuntur in cap. xiii. quatuor scholia in H. sub nomine Κυρίλλου, sunt autem revera S. Chrysostomi ad loc.

[103 M.]

Heic opus est ut de Eo dicatur non solum omnino esse mortuum verum etiam sindone involutum, quae res Emmanuelis obitum prorsus testatur. Insuper in sepulcro derelictus est, unde revixit, ut modo dixi. Ergo in corpore cum sit mortuus, prorsus nobis persuasit corpus habuisse. Tunc autem cum Dei Verbum mortem conculcavit, recte se Deum natura demonstravit, quia sicuti humanitus agens mortem pertulit, ita divinitus operans mortem devicit.

1. Haec post Migne e Maii Spicilegio Romano x. 200 exhibui. Praemittit ille, "Ex codice Syriaco 101 in quo est opus Monophysiticum cui titulus *Fides Patrum*, hoc quoque S. Cyrilli testimonium excerpebam. S. Cyrillus in explanatione epistolae . . . ad Corinthios ait." Codex hic Syr. 101 est ut videtur Cod. Vat. Syr. 100 (in Assemanii Catal.) Johannis Metropolitae Darensis, Syri Jacobitae (anno circa 837 florens), tractus varios continens inter quos est De resurrectione ad quem pertinere videntur haec. Conjicere igitur licet ad Epistolam primam haec pertinere. Eadem inter fragmenta (Patr. Bibl. Nov. ii. 456) collegit Maius.

Sequebantur in edd. scholia tria, duo nempe in Epistolam ad Galatas, unum in Epistolam ad Colossenses: quorum e primo, verba priora *Στοιχεῖα κόσμου τὰ μόρια τοῦ παντὸς κόσμου* tribuuntur in codicibus tribus *Κυρίλλου ἐν βιβλίῳ ϛ′ τῶν ιε′ ἐν πνεύματι λατρείας*, reliqua in codicibus tribus (nempe Cod. Sinaitico, in bibliotheca Montis Sinai monasterii conservato, Cod. S. Marci Venetiis 546, Cod. Parham., abhinc annos paucos a me inspecto, viri optimi Roberti Curzon beneficio) sunt *Οἰκουμενίου*: secundum est in Glaph. 85, 7–9: tertium, quum adhuc inter opera non inveni, hic exhibeo, non autem opinor D. Cyrillum in Epistolam ad Colossenses commentaria scripsisse. Est e Cod. Venet. 546 fol. 155 v, quod de novo contuli ipse: *Ἀλλ' οἶμαι μὴ πρότερον δύνασθαι τοιοῦτον ὁρᾶσθαι τὸν λόγον, πρὶν ἂν ὑμῖν τὰ κατὰ γνώμην ἔχοι καλῶς· ἀπὸ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ· ἀλιζέσθω τοίνυν τῶν εὐσεβούντων ὁ νοῦς· ἀποῤῥείτω καθάπερ τι περίττωμα τὴν ἁμαρτίαν· μὴ μαλακιζέσθω, πρὸς ἀτόπους ῥεμβόμενος ἡδονάς.*

CYRILLI

ARCHIEPISCOPI ALEXANDRINI

COMMENTARIORUM

IN EPISTOLAM AD HEBRAEOS

FRAGMENTA QUOT REPERIRI POTUERUNT.

PRAEFATIONIS FRAGMENTUM.

ΓΕΓΟΝΕ δὲ αὐτῷ καὶ σφόδρα σοφὸς ὁ τῆς ὑφηγήσεως τρόπος καὶ πολὺ δὴ λεπτῶς καὶ εὐμηχάνως ἐσκευασμένος. διαποικίλλεται γὰρ ἔκ τε νομικῶν γραμμάτων καὶ πνευματικῶν ἐννοιῶν καὶ τῆς τῶν ἁγίων προφητῶν πολυτρόπου προαναῤῥήσεως, καὶ σκοπὸς αὐτῷ καταδιδάξαι πανταχῇ καὶ ἀναπείθειν τοὺς ἐντευξομένους ὅτι τύποι μὲν ἦσαν τὰ διὰ Μωυσέως τὴν τῆς ἀληθείας ὠδίνοντα δύναμιν, ἀλήθεια δὲ ὁ

Fragmenta haec sunt partim deprompta e Niketae (Heracleensis illius metropolitani) Catena, e qua edidit S. Cyrilli fragmenta vir doctissimus Maius in Bibl. Nova Patrum iii. 107–127 (Codex quo usus ille est in Bibliotheca S. Ambrosii Mediolanensi E 63 part. inf. conservatus estque bombycinus sec. forte xiii; hoc solum Catenae hujus Niketianae quod reperire potui exemplar de novo pro hac editione contuli, a. signans: exemplar dimidium solum continens alterum, cod. Parisiensem 238, membranac. sec. forte xii. vel xiii. primum edidit anno 1843 Cramerus noster, fragmentaque Cyrilliana pro hac editione de novo contuli b. signans): partim vero e Cod. Coislin. 204 membr. sec. forte xii. Catenam diversam continente eodemque Cramero edita, quem pro hac editione quoad fragmenta Cyrilliana de novo contuli c. signans. Praeterea sunt fragmenta parva, tum Maio quum Migne fere edita, parva Syriaca, necnon Homiliae duo perfectae ut videtur in Codice Syriaco 12155, fol. 102–104. 1. e Cod. Coisl. Par. fol. 236 [Cramer. p. 115] quem c. signavi, qui *ὁ μακάριος δὲ Κύριλλός φησι* praemittit.

[107 M.]

Χριστός· περιττὴν ἀποφαίνων τὴν ὡς ἐκ τύπου καὶ σκιᾶς χρειωδεστάτην τοῖς πάλαι παράδειξιν. καθίστησι δὲ πρὸς τούτῳ καὶ τοῦτο ἡμῖν ἐναργὲς, ὅτι καὶ τοῖς ἐν νόμῳ βεβιωκόσι λαμπρῶς, συμβέβηκεν οὐχ ἑτέρως τὸ ἐν εὐκλείαις γενέσθαι καὶ εὐδοκιμεῖν, πλὴν ὅτι διὰ τῆς πίστεως τῆς εἰς Θεὸν, καὶ ὅτι χρῆμά ἐστιν ἀρχαῖον ἡ πίστις καὶ τοῖς ἁγίοις πατράσιν ἐντριβές. οὐκ ἐχρήσατο δὲ ταῖς κατειθισμέναις αὐτῷ ἀρχαῖς τε καὶ προοιμίοις, ἐπειδήπερ ἐν ὑποψίαις τε ἦν καὶ διαβολαῖς παρὰ τοῖς πιστεύσασι τῶν Ἰουδαίων ὡς τοῖς ἐξ ἐθνῶν προσκείμενον καὶ διδάσκοντα πάντας πανταχῇ παρ' οὐδὲν ἡγεῖσθαι τὸν νόμον καὶ τῶν μὲν πατρῴων ἐθῶν ὡς εἰκαίων καταφρονεῖν, ἐφ' ἑτέραν δὲ ὥσπερ ἰέναι τρίβον, ὡς ἐκ τῶν πράξεων τῶν ἀποστόλων τοῦτό ἐστι καταμαθεῖν. οἰκονομικώτατα τοίνυν περιστέλλει τὰ συνήθη, καὶ σεσίγηκε μὲν τῆς ἀποστολῆς τὴν χάριν· κεχώρηκε δὲ μᾶλλον ἐπὶ τὸ μεμνῆσθαι δεῖν πατέρων τε καὶ προφητῶν ἁγίων, εὐπαράδεκτον ἔσεσθαι τὸν λόγον αὐτοῖς διὰ τούτου πεπιστευκώς. ἔφη γοῦν

Cf. Acta SS. Ap. xxi. 28.

Λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις. Κεφ. α΄.

Λελάληκε μὲν ὁ Θεὸς τοῖς ἀρχαιοτέροις ἐν Πνεύματι διὰ στόματος ἁγίων καὶ διὰ φωνῆς προφητῶν, καὶ γοῦν ἔφη δι' ἑνὸς αὐτῶν τὰς τῶν Ἰουδαίων ἀπονοίας ἐντρέπων "Οἱ "πατέρες ὑμῶν ποῦ εἰσι καὶ οἱ προφῆται μὴ τὸν αἰῶνα "ζήσονται; πλὴν τὰ νόμιμά μου καὶ τὰ προστάγματά μου "δέχεσθε ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις "μου τοῖς προφήταις." ἀλλ' εἰ καὶ ἦν ἐν Πνεύματι τοῖς ἀρχαιοτέροις τῆς προφητείας ἡ χάρις, οὐ γέγονε δίχα τοῦ ἐκ Πατρὸς ὄντος Θεοῦ Λόγου· λαλεῖ γὰρ ἁγίοις ὡσαύτως τὸ Πνεῦμα αὐτοῦ. καὶ οὐ δήπου φαίη τις ἂν εἴ γε νοῦν ἔχοι ὡς τὸ Πνεῦμα τὸ Ἅγιον ὑπουργικὴν εἰς ἡμᾶς ἀποπεραῖνον

Zach. i. 5, 6.

11. ἐθνῶν (sic) Cr. 16. δεῖ Cr. 20. e c. fol. 236 v.

[107 M.]

διακονίαν, ἐν ἴσῳ προφήταις δέχεσθαι μὲν παρὰ τοῦ Θεοῦ Λόγου τὴν περὶ ὧν ἂν βούλοιτο γνῶσιν ἤγουν ἀποκάλυψιν, ποιεῖσθαι δὲ οὕτως εἰς ἡμᾶς αὐτήν· διοίσει γὰρ οὕτως κατ' οὐδένα τρόπον τῶν ἁγίων προφητῶν εἴπερ ὧδε S. Joan. xvi. 15. ἔχοι· ἀλλ' εἰδὸς πάντα τὰ ἐν αὐτῷ, παρ' αὐτοῦ λαμβάνειν λέγεται καὶ ἀναγγέλλειν ἁγίοις. οὐκοῦν ἐλάλει καὶ πάλαι διὰ τοῦ Ἁγίου Πνεύματος τοῖς ἀρχαιοτέροις ὁ Μονογενής· ἐλάλει δὲ πολυτρόπως, διαμορφοῦσθαι κελεύων τὸ σεπτὸν καὶ μέγα τῆς ἐνανθρωπήσεως ἑαυτοῦ μυστήριον· ἔστιν οὖν Hos. xii. 10. ἀκοῦσαι λέγοντος διὰ προφητῶν "Ἐγὼ ὁράσεις ἐπλήθυνα Es. lii. 6, 7. "καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην," καὶ πάλιν "Αὐτὸς "ὁ λαλῶν πάρειμι, ὡς ὥρα ἐπὶ τῶν ὀρέων ὡς πόδες εὐαγγε-"λιζομένου ἀκοὴν εἰρήνης, εὐαγγελιζομένου ἀγαθά." ἐπὶ γὰρ συντελείᾳ τῶν αἰώνων αὐτὸς ἡμῖν δι' ἑαυτοῦ λελάληκεν ὁ Υἱὸς, οὐ μεσολαβοῦντος ἔτι προφήτου καὶ φωνῆς ἁγίων ἀλλὰ δι' ἑαυτοῦ καθ' ἡμᾶς γεγονὼς ὁ Μονογενὴς τοὺς πρὸς ἡμᾶς πεποίηται λόγους. λαλῆσαι δέ φαμεν ἐν Υἱῷ τὸν Πατέρα, οὐχ ὡς δι' ἀνθρώπου τινὸς ἰδικῶς διὰ μέσου κειμένου καὶ διαπορθμεύοντος εἰς ἡμᾶς οὐκ ἰδίους μᾶλλον ἀλλὰ τοὺς παρ' ἑτέρου λόγους, ἀλλ' ἰδίᾳ φωνῇ τῇ διὰ τοῦ σώματος λαλοῦντος ἡμῖν τοῦ Υἱοῦ· αὐτοῦ γὰρ ἦν τοῦ Μονογενοῦς καὶ οὐχ ἑτέρου τινὸς ἡ σάρξ· Θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος μετὰ τοῦ μεῖναι Θεός· τότε γὰρ τὴν ἀπόῤῥητον τοῦ Θεοῦ καὶ Πατρὸς φανερὰν ἡμῖν ἐποίει βουλήν· ταύτητοι Ib. ix. 6. "καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς ἄγγελος."

Ὀρθῶς οὖν ὁ Παῦλός φησιν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν Υἱῷ λελαληκέναι πρὸς ἡμᾶς τὸν Θεὸν καὶ Πατέρα· ᾔδει γὰρ ὄντα Θεὸν τὸν Ἐμμανουὴλ, γεγονότα δὲ καὶ ἐν ἀνθρωπότητι μεθ' ἡμῶν τὸν ἐκ Θεοῦ Λόγον, ἐπέγνω τὸν ἐλεύθερον

3. διοίσοι perperam Cr. 6. Partem exhibet et H. qui Ἐλάλει μὲν οὖν πάλαι διὰ incipit. 7. Μονογενὴς ἐλάλει δὲ] Θεὸς H. 8. σεπτὸν καὶ om. H. 9. αὐτοῦ H. κατὰ τό pro ἔστιν—προφητῶν H. 11. προφητῶν] pergit ἡμῖν δὲ δι' ἑαυτοῦ καὶ ἐπ' ἐσχάτων ἐλάλησεν ὁ υἱός (ita desinens) H. 12. ὥραιοι perperam Cr. 17. Inc. iterum λαλῆσαι φαμὲν H. 22. σάρξ des. H. 26. ὁ om. Cr.

ἐν τῇ τοῦ δούλου μορφῇ, ὡμολόγει τὸ πλήρωμα τοῦ δι' ἡμᾶς ἑαυτὸν κενώσαντος, ἐθεώρει τῆς δόξης τὸ ὕψος τοῦ καθέντος ἑαυτὸν δι' ἡμᾶς εἰς ταπείνωσιν ὅστις καὶ ταύτης ἕνεκα τῆς αἰτίας κληρονόμος πάντων τεθεῖσθαι λέγεται, καί- [ver. 2.] τοι κατεξουσιάζων τῶν ὅλων καθὰ καὶ νοεῖται καὶ ἔστι Θεός· πάλιν γὰρ εἰς τὸν ἴδιον πλοῦτον ἀναφοιτᾷ καὶ μετὰ σαρκός. μεμένηκε γὰρ οὐδαμῶς ἐν τῇ καθ' ἡμᾶς πτωχείᾳ· οὐ διὰ τοῦτο γενόμενος σὰρξ ἵνα πτωχὸς ἀπομείνῃ μεθ' ἡμῶν, τὸν ἴδιόν τε καὶ θεοπρεπῆ πλοῦτον ἀποβαλὼν, ἀλλ' ἵνα μᾶλλον ἡμεῖς οἱ τῶν θείων χαρισμάτων νοσοῦντες τὴν ἔνδειαν, τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. καὶ γοῦν Υἱὸς ὢν φύσει καὶ [2 Cor. viii. 9.] συναΐδιος τῷ Πατρὶ ὅτε διὰ τῆς ἁγίας παρθένου καὶ τὴν κατὰ σάρκα γέννησιν ὑπέμεινε δι' ἡμᾶς, ὡς εἰς ἀρχὰς υἱότητος ἀνακομιζόμενος ἔφασκε διὰ τοῦ Δαυεὶδ "Κύριος εἶπε [Ps. ii. 7.] "πρὸς μέ Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε·" τὸ γάρτοι σήμερον καιροῦ τοῦ ἐνεστηκότος καθ' ὃν καὶ γέγονε σὰρξ ποιεῖται τὴν δήλωσιν· ὑπάρχων δὲ φύσει καὶ τῶν ὅλων Κύριος. μεμαρτύρηκε γὰρ Ἰωάννης περὶ αὐτοῦ ὅτι "εἰς τὰ ἴδια ἦλθεν," ἴδια λέγων αὐτοῦ τὸν κόσμον, ὡς εἰς [S. Joan. i. 11.] δόξαν ἀσυνήθη τὴν τῆς βασιλείας καλούμενος ἔφασκεν "Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ," δῆλον δὲ ὅτι [Ps. ii. 6.] τοῦ Θεοῦ καὶ Πατρός· ἠνέσχετο δὲ τῶν τοιούτων, ἵν' ὡς ἄνθρωπος υἱοποιηθεὶς, καίτοι κατὰ φύσιν ὑπάρχων Θεὸς, ὁδοποιήσῃ δι' ἑαυτοῦ τῇ ἀνθρώπου φύσει τῆς υἱοθεσίας τὴν μεθέξιν, καὶ καλέσῃ πρὸς βασιλείαν οὐρανῶν τοὺς ὑπὸ τῆς ἁμαρτίας τυραννουμένους· ὥσπερ γὰρ οἷά τινα κλῆρον ἐκ πατρὸς εἰς ὅλον τὸ ἐξ αὐτοῦ διήκοντα γένος ἃς ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως συμφορὰς ἐσχήκαμεν, ἀρᾷ καὶ θανάτῳ πεφορτισμένοι, οὕτω πάλιν εἰς ἅπαν τὸ ἀνθρώπινον γένος τὰ ἐν Χριστῷ διαδραμεῖται λαμπρά· δέχεται γὰρ ἡμῖν, οὐχ ἑαυτῷ δὴ πάντως ὁ Μονογενὴς, πλήρης γάρ ἐστιν ὅτι καὶ φύσει Θεὸς, δεῖται δὲ ὅλως οὐδενὸς, καταπλουτίζει μᾶλλον αὐτὸς τοῖς ἄνωθεν ἀγαθοῖς τὴν σύμπασαν κτίσιν.

[107 M.] Τέθειται τοίνυν ὡς ἄνθρωπος κληρονόμος πάντων οἰκονομι-
κῶς, ἵνα λοιπὸν ὡς αὐτῷ προσήκοντά τε καὶ ἴδιον ἀνασώσῃ
κλῆρον τοὺς ἐπὶ τῆς γῆς, ἀνοσίως διηρπασμένους ὑπό τε τοῦ
διαβόλου καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν. καὶ γοῦν
Ps. ii. 8. ἔφη πρὸς αὐτὸν ὁ Θεὸς καὶ Πατήρ "Αἴτησαι παρ' ἐμοὶ καὶ
"δώσω σοι ἔθνη τὴν κληρονομίαν σου" καὶ ἑξῆς· οὗ πρὸς
πέρας ἐνηνεγμένου, πρὸς τὸν ἑαυτοῦ Πατέρα περὶ ἡμῶν
S. Joan. xvii. 6. φησιν "Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν κἀμοὶ
"αὐτοὺς δέδωκας." ἄθρει δὴ οὖν ὅπως εἰς τὸν ὑπάρχοντα
αὐτῷ πλοῦτον κατὰ φύσιν ἄνεισι καὶ μετὰ σαρκός· εἰ γὰρ
ἦσαν οἱ ἐν κόσμῳ τοῦ Πατρὸς, κατὰ τίνα δὴ τρόπον νοη-
θεῖεν ἂν τοῦ συμβασιλεύοντος αὐτῷ Λόγου; τοιγάρτοι
Ib. 10. καὶ ἔφασκεν ὅτι "πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμὰ, καὶ
"δεδόξασμαι ἐν αὐτοῖς." πῶς οὖν αἰτεῖν προστάττεται, καὶ
Ps. ii. 8. δέχεται μὲν εἰς κληρονομίαν ἔθνη, κατάσχεσιν δὲ ποιεῖται
καὶ τὰ πέρατα τῆς γῆς; ἀποσκιρτήσαντα γὰρ ἐξιτήλως τὸν
ἄνθρωπον δουλείας τῆς ὑπὸ Θεῷ διασῶσαι θελήσας ὁ τῶν
ὅλων γενεσιουργὸς καὶ Πατὴρ, πέπομφεν εἰς τόνδε τὸν
κόσμον τὸν Μονογενῆ Θεὸν Λόγον ἵνα γενόμενος σὰρξ καὶ
Bar. iii. 38. τοῖς ἀνθρώποις συναναστραφεὶς ὡς ἄνθρωπος, κηρύξαι αἰχ-
Es. lxi. 1, 2. μαλώτοις μὲν ἄφεσιν, τυφλοῖς δὲ ἀνάβλεψιν, καλέσῃ δὲ καὶ
ἐνιαυτὸν Κυρίου δεκτόν. οὐκοῦν κἂν εἰ λέγοιτο λαβεῖν καὶ
τεθεῖσθαι κληρονόμος διὰ τὸ ἀνθρώπινον, οὐκ ἀγνοήσομεν
τὴν οἰκονομίαν· ποῦ γὰρ ὅλως ἐπτώχευσεν, εἰ μὴ γέγονε
καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος μετὰ τοῦ μεῖναι Θεός; οὕτω
φρονεῖν ἡμᾶς ἀναπείθων ὁ θεσπέσιος Παῦλος προσεπήνεγκεν
ἀναγκαίως τό Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. πῶς οὖν ἂν
γένοιτο καὶ τοῦτο ἀληθές; εἰ γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος
καιροῖς τέτοκεν ἡμῖν ἡ ἁγία παρθένος τὸν Ἐμμανουὴλ, πῶς
δι' αὐτοῦ τοὺς αἰῶνας πεποιῆσθαί φησι; καὶ μάλα ὀρθῶς. ὁ
γὰρ ἐκ Θεοῦ Πατρὸς Λόγος ὁ πρὸ παντὸς αἰῶνος καὶ χρόνου

14. προστάσσεται mendose Cr. 20. κηρύξῃ perperam correxit Cr.
23. κληρονόμον Cr.

[107 M.]

γεγεννημένος, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων γεγενῆσθαι λέγεται σαρκικῶς ἐκ γυναικός. ἀδικήσει δὲ ὅλως οὐδὲν εἰς ἀρχαιότητα θεοπρεπῆ τὸν οὕτως ἔχοντα κατὰ φύσιν τὸ νεώτερον τῆς οἰκονομίας οὔτε μὴν τῆς ὑπάρξεως αὐτοῦ τὸ πρεσβύτατον τὴν οἰκείαν ἀπολέσει δόξαν· γέγραπται γὰρ ὅτι "Χριστὸς Ἰησοῦς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς [Infra xiii. 8.] "αἰῶνας." ὅτι δὲ καὶ ἐν σαρκὶ πεφηνὼς προσμεμαρτύρηκεν ἑαυτῷ τὸ ὡς ἐν θείᾳ φύσει πρεσβύτατον, πιστώσεται λέγων πρὸς Ἰουδαίους "Ἀμὴν ἀμὴν λέγω ὑμῖν πρὶν Ἀβραὰμ γε- [S. Joan. viii. 58.] "νέσθαι ἐγώ εἰμι·" ἔφη δὲ καὶ ὁ θεσπέσιος Ἰωάννης ὁ εὐαγγελιστής "Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν [Ib. i. 15.] "ὅτι πρῶτός μου ἦν·" πλουτεῖ γὰρ ἐν πᾶσι καὶ πρωτεύει Χριστός.

Ὃς ὢν ἀπαύγασμα τῆς δόξης. 3

Ὥσπερ ἐστὶν ἄτρεπτος ὁ Πατὴρ ἀεὶ διαμένων τοῦθ' ὅπερ ἐστὶ, Πατὴρ δηλονότι οὐχ Υἱὸς, οὕτω καὶ ὁ Υἱὸς ἐμφιλοχωρεῖ τοῖς ἰδίοις, Υἱὸς ἀεὶ μένων καὶ εἰς Πατέρα μὴ μεθιστάμενος, ἵνα φαίνηται καὶ κατ' αὐτὸ δὴ τουτὶ χαρακτὴρ ὑπάρχων τῆς ὑποστάσεως τοῦ Πατρός. ἴδοι δ' ἄν τις αὐτῷ τῆς τοῦ τεκόντος ὑπεροχῆς καὶ μὴν καὶ εὐκλείας ἐμπρέπον τὸ κάλλος. Θεὸς γάρ ἐστιν ἀληθινὸς ἐξ ἀληθινοῦ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωή τε ὁμοίως ἐκ ζωῆς· ὑπερανέστηκε δὲ τοσοῦτον τὴν σύμπασαν κτίσιν ὅσον ἂν νοοῖτο καὶ αὐτὸς ὁ Πατήρ. ἔστι γὰρ ἀγένητος ἐξ ἀγενήτου, καὶ οὐ τοῖς ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενηνεγμένοις ἐναρίθμιος· ἦν γὰρ ὁ Λόγος ἐν ἀρχῇ καὶ Θεὸς [Ib. i. 1.] ἦν ὁ Λόγος· πῶς οὖν ἄρα τό Οὐκ ἦν ἀληθὲς ἔσται λεγόμενον ἐπ' αὐτοῦ παρὰ τῶν ταῖς θείαις πολεμούντων γραφαῖς; εἰ γάρ ἐστι γενητὸς κατ' αὐτοὺς, συνυποκείσεται πάντως τοῖς ἄλλοις ἅπασι καὶ τὸν τῆς δουλείας παραδέξεται ζυγὸν, διοί-

1. γεγενημένος mendose Cr. 6. Χριστὸς Ἰησοῦς hoc ordine exhibet et Cod. 10. εὐαγγελιστής] Βαπτιστής correxit male intelligens Cr. 15. e c. fol. 239 v. qui praemittit ὁ μακάριος δὲ κύριλλός φησιν. Verba priora (15–19) ὥσπερ—ὑποστάσεως τοῦ πατρός citat et H. 24. ἀγεννήτου Cod.

[107 M.] σει δὲ κατ' οὐδένα τρόπον τῶν ἑαυτοῦ γεγονότων. ἔστιν οὖν Θεὸς μᾶλλον ὡς ἐκ Θεοῦ· φέρει γὰρ τὰ πάντα τῷ ῥήματι
S. Joan. i. 3. τῆς δυνάμεως αὐτοῦ. γέγονε μὲν γὰρ "δι' αὐτοῦ τὰ πάντα καὶ "χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·" ἀνέχει δὲ πάλιν αὐτὸς τὰ πάντα πρὸς ἀκλόνητον διαμονήν.

Ἐλέγομεν ὅτι τοῖς μὲν ἀρχαιοτέροις ὁ Θεὸς διὰ Μωυσέως τεθέσπικε καὶ τῶν προφητῶν· ἡμεῖς δὲ γεγόναμεν κατὰ τὴν
Es. liv. 13. τοῦ προφήτου φωνὴν "διδακτοὶ Θεοῦ." διδάσκαλον γὰρ ἐσχήκαμεν αὐτὸν τὸν ἐκ Θεοῦ Λόγον ἐνανθρωπήσαντα δι' ἡμᾶς, τὸν ποιητὴν τῶν αἰώνων, τὸ τῆς πατρικῆς δόξης ἀπαύγασμα, τὸν χαρακτῆρα τῆς ὑποστάσεως· ταῦτα περιοδικῶς θεωρήσαντες προσθήσομεν τὰ ἐχόμενα· τάδε ἐστί. . . . .

Ps. cxlviii. 5, 6. Λόγος ὢν ὁ τοῦ Θεοῦ καὶ Πατρὸς παναλκὴς "Αὐτὸς εἶπε "καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν, ἔστη-"σεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, "πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται." ἐπειδὴ γὰρ τῶν εἰς τὸ εἶναι παρενηνεγμένων ἡ φύσις οὐκ ἔχει τὴν ἀφθαρσίαν οὔτε μὴν τὸ ὡσαύτως ἔχειν διαπαντὸς δύνασθαι· ἴδιον γὰρ τοῦτο τῆς ἀνωτάτω πάντων οὐσίας· φέρει τὰ πάντα αὐτὸς τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Λόγος μὲν γάρ ἐστιν αὐτὸς ἐνυπόστατος καὶ ὡς ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν γεγεννημένος, πανσθενὲς δὲ καὶ ἐνεργὸν τὸ ῥῆμα αὐτοῦ καὶ πάντα εὐκόλως κατορθοῦν ἰσχύον· ἐπάγει δὲ τούτοις *Καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης*
ver. 4. *ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.* δείξας αὐτὸν χαρακτῆρα τῆς ὑποστάσεως τοῦ Πατρὸς καὶ μὴν καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ, μέτεισιν ἀναγκαίως ἐπὶ τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν δι' ἧς καὶ σεσώσμεθα καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν πεπλουτήκαμεν, ἡγιάσμεθά τε διὰ τοῦ

6. Hoc scholion exhibent Maius ex a., Cram. ex b. 12. τάδε] ἃ τάδε Ed. invitis libris. 13. e c. fol. 240 qui praemittit Καὶ ὁ *μακάριος* δὲ Κύριλλός *φησι*. ὁ omisit Cr. 20–23. *Λόγος μὲν ἐστὶν—ἰσχύον* exhibet et H. 21. *καὶ* om. H. *γεγεννημένος* emendavi ex H. *γεγενημένος* Cod. 22. δὲ omittit Cr.

[107 M.]

αἵματος αὐτοῦ. ὡς γὰρ αὐτός φησιν ὁ σοφώτατος Παῦλος “Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, (Eph. i. 7.) “τὴν ἄφεσιν τῶν παραπτωμάτων.” γράφει δὲ ὡδὶ καὶ Ἰωάννης περὶ τοῦ Θεοῦ καὶ Πατρός “Ἐὰν περιπατῶμεν ἐν τῷ (1 S. Joan. i. 7.) “φωτὶ κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ καὶ τὸ αἷμα Ἰησοῦ “Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρ-“τίας.” αἵματι δὴ οὖν κεκαθαρίσμεθα τῷ ἁγίῳ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ὃς κεκάθικεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, πότε δέ; ὅτε καθαρισμὸν ἐποιήσατο διὰ τοῦ αἵματος αὐτοῦ, τότε καθίσαι λέγεται, γεγενῆσθαι δὲ καὶ κρείττων ἀγγέλων, κληρονομῆσαι δὲ παρ᾽ αὐτοὺς τὸ διαφορώτερον ὄνομα· κέκληται γὰρ Υἱός. γέγονε μὲν γὰρ σὰρξ ὁ Λόγος καίτοι Λόγος ὢν καὶ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς καὶ τῆς ὑποστάσεως αὐτοῦ χαρακτὴρ, οὐκ ἰδίᾳ φύσει ποιούμενος τῆς μετὰ σαρκὸς οἰκονομίας ἵν᾽ οὕτως εἴπω τοὺς πόνους· ὑπέμεινε γὰρ “σταυρὸν αἰσχύνης καταφρονήσας,” (Infra xii. 2.) ἀτιμίας τε καὶ ὕβρεις καὶ ἐμπτύσματα· ἀλλ᾽ ἵν᾽ ἡμᾶς ἀπαλλάξῃ παντὸς μολυσμοῦ αἵματι τῷ ἰδίῳ καθαροὺς ἀποφήνας, συνάψῃ δὲ δι᾽ ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί· “δι᾽ αὐτοῦ γὰρ (Eph. ii. 18.) “τὴν προσαγωγὴν” ἐσχήκαμεν, καὶ αὐτός ἐστιν ἡ θύρα καὶ ἡ ὁδός. πλὴν εἰ καὶ γέγονε “σὰρξ ὁ Λόγος καὶ ἐσκήνωσεν (S. Joan. i. 14.) “ἐν ἡμῖν,” ἴδιον σῶμα ποιησάμενος τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν, ἀλλ᾽ οὖν ἐν δόξῃ καὶ φύσει θεότητος ἦν καὶ τῶν ὑπερτάτων τοῦ Θεοῦ καὶ Πατρὸς οὐκ ἀπέστη θρόνων. ἦν μὲν γὰρ ἄνθρωπος ἐπὶ γῆς, ἐπλήρου δὲ πάλιν τὸν οὐρανὸν καὶ ἦν αὐτοῦ τὰ πάντα μεστά. καὶ ἠλάττωτο μὲν (Infra ii. 9.) βραχὺ παρ᾽ ἀγγέλους διά γε τὸ τῆς ἀνθρωπότητος μέτρον· ὑποκάθηται γὰρ τῶν ἀγγέλων τὸ εὐκλεὲς ἡ ἀνθρώπου φύσις· ἦν δὲ καὶ οὕτως ἔχων “ὑπεράνω πάσης ἀρχῆς ἐξουσίας τε (Eph. i. 21.) “καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον “ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.” καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος γράφει Παῦλος “Γινώσκετε γὰρ τὴν (2 Cor. viii. 9.)

17. ὕβρεας perperam Cr.

[107 M.] “ χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι πλούσιος ὢν “ ἐπτώχευσε δι' ἡμᾶς, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ” πλουτήσωμεν.

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων.

Τὸ μὲν γὰρ Ἄγγελος, ὄνομα λειτουργίας ἐστὶ σημαντικὸν, οἰκετικόν τε ἡμῖν ὑπεμφαίνει μέτρον· τὸ δέ γε Υἱὸς, τὴν ἐκ Πατρὸς ὕπαρξιν οὐσιώδη καὶ φυσικὴν δηλοῖ· διὰ τοῦτο γοῦν οὐδὲ συγκριτικῶς εἴρηκε μείζων ἢ τιμιώτερος, ἵνα μὴ ὡς περὶ ὁμογενῶν τούτου κἀκείνων τις λογίσηται· ἀλλά Κρείττων εἴρηκεν, ἵνα τὸ διαλλάττον τῆς φύσεως τοῦ Υἱοῦ πρὸς τὰ γενητὰ γνωρίσῃ· καὶ τούτων ἔχομεν τὴν ἀπόδειξιν
Ps. lxxxiii. 11. ἐκ τῶν θείων γραφῶν, τοῦ μὲν Δαβὶδ ψάλλοντος “Ὅτι “ κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας,”
Prov. viii. 11. τοῦ δὲ Σολομῶντος ἀναφωνοῦντος “ Κρείσσων σοφία λίθων “ πολυτελῶν·” πῶς γὰρ οὐχ ἑτεροούσια καὶ ἄλλα τὴν φύσιν, ἡ σοφία καὶ οἱ ἀπὸ γῆς λίθοι; ποία δὲ συγγένεια ταῖς ἐν οὐρανοῖς αὐλαῖς καὶ τοῖς ἐπὶ γῆς οἴκοις; οὕτως ἄρα οὐδεμία συγγένεια τοῦ Υἱοῦ πρὸς τοὺς ἀγγέλους ἐστί· μηδεμιᾶς δὲ οὔσης τῆς συγγενείας, οὐκ ἄρα συγκριτικῶς ἐλέχθη τό Κρείττων, ἀλλὰ διακριτικῶς διὰ τὸ διαλλάττον τῆς τούτου φύσεως ἀπ' ἐκείνων· καὶ αὐτὸς οὖν ὁ ἀπόστολος τό Κρείττων ἑρμηνεύων, οὐκ ἐν ἄλλῳ τινὶ, ἢ ἐν τῇ διαφορᾷ τοῦ Υἱοῦ πρὸς τὰ γενητὰ τίθησι λέγων ὅτι ὁ μὲν, Υἱὸς, τὰ δὲ, δοῦλα· καὶ ὁ μὲν ὡς Υἱὸς μετὰ τοῦ Πατρὸς ἐν δεξιᾷ κάθηται, τὰ δὲ ὡς δοῦλα παρέστηκε καὶ ἀποστέλλεται καὶ λειτουργεῖ.

Τούτων δὲ οὕτως γεγραμμένων, οὐ γενητὸς ἐκ τούτων ὁ Υἱὸς σημαίνεται, ὦ Ἀρειανοὶ, ἀλλὰ μᾶλλον ἄλλος μὲν τῶν
S. Joan. i. 18. γενητῶν, ἴδιος δὲ τοῦ Πατρὸς, ἐν τοῖς κόλποις ὢν αὐτοῦ· καὶ γὰρ καὶ τὸ γεγραμμένον ἐνταῦθα Γενόμενος οὐ γενητὸν σημαίνει τὸν Υἱὸν, ὥσπερ ὑμεῖς νομίζετε· εἰ μὲν γὰρ ἁπλῶς

4. Hoc scholion e Maio et Cramero. 6. τὸ] ὁ perperam b. 11. γνωρίσει b. 12. ὅτι om. b.

[107 M.] εἰρήκει γενόμενος καὶ ἐσιώπησεν, ἦν πρόφασις τοῖς Ἀρειανοῖς· ἐπεὶ δὲ Υἱὸν προείρηκε, δι' ὅλης τῆς περικοπῆς ἀποδείξας αὐτὸν ἄλλον εἶναι τῶν γενητῶν, οὐδὲ τὸ γενόμενος ἀπολελυμένως ἔθηκεν, ἀλλὰ τὸ κρείττων συνῆψε τῷ γενόμενος· ἀδιάφορον γὰρ ἡγήσατο τὴν λέξιν· εἰδὼς ὡς ἐπὶ ὁμολογουμένως γνησίου Υἱοῦ ὁ λέγων τὸ γενόμενος, ἴσον τῷ γεγενῆσθαι ὅτι ἐστὶ κρείττων λέγει· τὸ μὲν γὰρ γεν[ν]ητὸν οὐ διαφέρει, κἂν λέγῃ τις γέγονεν ἢ πεποίηται· τὰ δὲ γενητὰ, δημιουργήματα ὄντα, ἀδύνατον λέγεσθαι γεννητὰ, εἰ μὴ ἄρα μετὰ ταῦτα μετασχόντα τοῦ γεννητοῦ Υἱοῦ, γεγεννῆσθαι καὶ αὐτὰ λέγων- 108 M. ται· οὔ τι γε διὰ τὴν ἰδίαν φύσιν, ἀλλὰ διὰ τὴν μετουσίαν τοῦ Υἱοῦ ἐν τῷ Πνεύματι. καὶ τοῦτο πάλιν οἶδεν ἡ θεία γραφὴ, ἐπὶ μὲν τῶν γενητῶν λέγουσα "Πάντα δι' αὐτοῦ S.Joan. i. 3. "ἐγένετο" καὶ "Πάντα ἐν σοφίᾳ" ἐποίησεν· ἐπὶ δὲ τῶν Ps. ciii. 24. υἱῶν τῶν γεννητῶν "Ἐγένοντο τῷ Ἰὼβ υἱοὶ ἑπτὰ καὶ θυγα- Hiob. i. 2. "τέρες τρεῖς," καὶ "Ἀβραὰμ δὲ ἦν ἑκατὸν ἐτῶν ὅτε ἐγένετο Gen. xxi. 5. αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ." Cf. Thes. cap. xx. p. 202. οὐκοῦν εἰ τῶν μὲν γενητῶν ἄλλος ἐστὶ, τῆς δὲ τοῦ Πατρὸς οὐσίας μόνος ἴδιον γέννημα ὁ Υἱὸς, μεματαίωται τοῖς Ἀρειανοῖς ἡ περὶ τοῦ γενόμενος πρόφασις· κἂν γὰρ ἐν τούτοις αἰσχυνθέντες βιάζωνται πάλιν λέγειν, συγκριτικῶς εἰρῆσθαι τὰ ῥητὰ, καὶ διὰ τοῦτο εἶναι τὰ συγκρινόμενα ὁμογενῆ, ὥστε τὸν Υἱὸν τῆς τῶν ἀγγέλων εἶναι φύσεως, αἰσχυνθήσονται μὲν προηγουμένως ὡς τὰ Οὐαλεντίνου καὶ Καρποκράτους φθεγγόμενοι· ὧν ὁ μὲν τοὺς ἀγγέλους ὁμογενεῖς εἴρηκε τῷ Χριστῷ, ὁ δὲ ἀγγέλους τοῦ κόσμου δημιουργοὺς εἶναί φησιν· παρ' αὐτῶν γὰρ ἴσως μαθόντες καὶ οὗτοι, συγκρίνουσι τὸν τοῦ Θεοῦ Λόγον τοῖς ἀγγέλοις. ἀλλ' ἐντραπήσονται τοιαῦτα φανταζόμενοι, παρὰ μὲν τοῦ ὑμνῳδοῦ λέγοντος "Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν Ps. lxxxvi. i. 7. "υἱοῖς Θεοῦ," καὶ τίς "ὅμοιός σοι ἐν θεοῖς, Κύριε;" ἀκου- Ib. lxxxv. 8.

2. ἐπεὶ δὲ a. Ed. ἐπειδὴ b. 6. γεγεννῆσθαι a. 7. γεν[ν]ητὸν emendavi. γενητὸν Ed. 8. λέγει b. 10. λέγωνται a. λέγονται Ed. 12. πνεύματι a.b [per cast. manu prima]. πατρί b [prius scriptum]. Cram. unde et Maius. 15. ἰὼβ a.b. Ἰακὼβ Cram. unde et Maius. 20. βιάζωνται a. βιάζονται Ed.

[108 M.] σονται δὲ ὅμως, ἐὰν ἄρα μάθωσιν, ὡς ἐν μὲν τοῖς ὁμογενέσιν ὁμολογουμένως φιλεῖ τὸ τῆς συγκρίσεως γίνεσθαι, καὶ οὐκ ἐν τοῖς ἑτερογενέσιν.

Οὐδεὶς γοῦν Θεὸν συγκρίνοι πρὸς ἄνθρωπον, οὐδὲ πάλιν ἄνθρωπον πρὸς τὰ ἄλογα, οὐδὲ ξύλα πρὸς λίθους διὰ τὸ ἀνόμοιον τῆς φύσεως· ἀλλὰ Θεὸς μὲν ἀσύγκριτον ἐστὶ πρᾶγμα, ἄνθρωπος δὲ πρὸς ἄνθρωπον συγκρίνεται, καὶ ξύλον πρὸς ξύλον, καὶ λίθος πρὸς λίθον· καὶ οὐκ ἄν τις εἴποι ἐπὶ τούτων τό Κρείττων, ἀλλὰ τὸ μᾶλλον καὶ τὸ πλέον. οὕτως Ἰωσὴφ ὡραῖος μᾶλλον ἦν παρὰ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ Ῥαχὴλ τῆς Λείας· καὶ ἀστὴρ ἀστέρος οὐ κρείτ-
1 Cor. xv. 41. των, ἀλλὰ μᾶλλον "διαφέρει ἐν δόξῃ·" ἐπὶ δὲ τῶν ἑτερογενῶν, ὅταν τις ταῦτα παραβάλῃ πρὸς ἄλληλα, τότε τό κρείττων πρὸς τὸ διαλλάττον λέγεται, καθάπερ ἐπὶ τῆς σοφίας καὶ τῶν λίθων εἴρηται. εἰ μὲν οὖν εἰρηκὼς ἦν ὁ ἀπόστολος Τοσούτῳ μᾶλλον ὁ Υἱὸς τῶν ἀγγέλων προάγει, ἢ τοσούτῳ μείζων ἐστὶν, ἦν ἂν ὑμῖν πρόφασις ὡς συγκρινομένου τοῦ Υἱοῦ πρὸς τοὺς ἀγγέλους· νῦν δὲ λέγων κρείττονα αὐτὸν εἶναι καὶ τοσούτῳ διαφέρειν, ὅσῳ διέστηκεν Υἱὸς δούλων, δείκνυσιν αὐτὸν ἄλλον εἶναι τῆς τῶν ἀγγέλων φύσεως· λέγων δὲ πάλιν αὐτὸν εἶναι τὸν θεμελιώσαντα τὰ πάντα, δείκνυσιν αὐτὸν ἄλλον εἶναι πάντων τῶν γενητῶν· ἄλλου δὲ καὶ ἑτεροουσίου αὐτοῦ ὄντος παρὰ τὴν τῶν γενητῶν φύσιν, ποία τῆς οὐσίας αὐτοῦ σύγκρισις ἢ ὁμοιότης πρὸς τὰ γενητά;
S. Joan. xiv. 28. διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ Υἱὸς οὐκ εἴρηκεν Ὁ Πατήρ μου κρείττων μου ἐστὶν, ἵνα μὴ ξένον τις τῆς ἐκείνου φύσεως αὐτὸν ὑπολάβῃ· ἀλλὰ μείζων εἶπεν, οὐ μεγέθει τινὶ, οὐδὲ χρόνῳ, ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ τοῦ Πατρὸς γέννησιν· πλὴν ὅτι καὶ ἐν τῷ εἰπεῖν Μείζων ἐστὶν ἔδειξε πάλιν τῆς οὐσίας τὴν ἰδιότητα. καὶ ὁ ἀπόστολος δὲ, οὐ τὴν τοῦ Λόγου οὐσίαν προηγουμένως διακρῖναι θέλων πρὸς τὰ γενητὰ ἔλεγε

1. μὲν om. a. habent b. Cr. unde et Maius. 4. συγκρίνοι a. συγκρίνει Ed. 13. κρεῖττον a. 14. διαλλάτον a.b. 30. τοῦ λόγου post προηγ. transponit b.

[108 M.]

Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων· ἀσύγκριτον γὰρ, μᾶλλον δὲ ἄλλο ἐστίν· ἀλλὰ πρὸς τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Λόγου βλέπων καὶ τὴν τότε γενομένην παρ' αὐτοῦ οἰκονομίαν, ἠθέλησε δεῖξαι οὐχ ὅμοιον εἶναι τοῦτον τοῖς πρότερον, ἵνα ὅσῳ τῇ φύσει διαφέρει τῶν προαποσταλέντων παρ' αὐτοῦ, τοσούτῳ καὶ πλέον ἡ παρὰ τούτου καὶ δι' αὐτοῦ γενομένη χάρις κρείττων τῆς δι' ἀγγέλων διακονίας γένηται· δούλων μὲν γὰρ ἦν ἀπαιτεῖν μόνον τοὺς καρποὺς, Υἱοῦ δὲ (S. Matth. xxi. 34.) καὶ δεσπότου χαρίσασθαι τὰς ὀφειλὰς, καὶ μεταθεῖναι τὸν (Ib. 41.) ἀμπελῶνα.

Ἔστι μὲν οὖν ἱκανὰ ταῦτα δυσωπῆσαι τοὺς μαχομένους (109 M.) πρὸς τὴν ἀλήθειαν· εἰ δ' ὅτι γέγραπται Γενόμενος κρείττων, τό Γενόμενος οὐ θέλουσιν, ὡς περὶ Υἱοῦ λεγόμενον, ἴσον ἀκοῦσαι τῷ Ἐστὶν, ἢ διὰ τὸ γενέσθαι τὴν κρείττω διακονίαν τό Γενόμενος λαβεῖν καὶ νοεῖν ὡς εἴπομεν, ἀλλὰ νομίζουσιν ἐκ ταύτης τῆς λέξεως γενητὸν εἰρῆσθαι τὸν Λόγον, ἀκουέτωσαν πάλιν Εἰ μὲν ἐκ τῶν ἀγγέλων ἐστὶν ὁ Υἱὸς, ἔστω καὶ ἐπ' αὐτοῦ ὡς ἐπ' ἐκείνων τό Γενόμενος· καὶ μηδὲν αὐτῶν κατὰ τὴν φύσιν διαφερέτω, ἀλλ' ἔστωσαν ἢ καὶ αὐτοὶ υἱοὶ, ἢ κἀκεῖνος ἄγγελος· καὶ κοινῇ πάντες καθεζέσθωσαν ἐκ δεξιῶν τοῦ Πατρὸς, ἢ μετὰ πάντων καὶ ὁ Υἱὸς παρεστηκέτω ὡς λειτουργικὸν πνεῦμα εἰς διακονίας ἀποστελλόμενος καὶ αὐτὸς τὰς ὁμοίας ἐκείνων· εἰ δὲ διίστησι τὸν Υἱὸν ὁ Παῦλος ἀπὸ τῶν γενητῶν λέγων "Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων Υἱός (ver. 5.) "μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν Ἐγὼ "ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν" . . . .

Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον. 6

Πρωτότοκον δὲ αὐτόν φησιν οὐχ ὡς φασὶν οἱ τὰ ὀρθὰ δια-

5. διαφέρει τῇ φύσει inverso ordine a. 8. δούλων a. δοῦλον Cr. unde et Maius. 9. μεταθεῖναι a. μεταθῆναι Ed. 12. κρείττων τό Γενόμενος om. Ed. invitis a.b. 28–p. 374, 2. Hoc scholion breve, et adhuc non finitum, ex H. anno 1859 transcribebam, propter autem morbum febrilem tum id tum duo triave quae restabant finire mihi non concessum. Nec opem ad hoc scholion implendum (folio amisso) fert c.

[109 M.]

στρέφοντες τῇ κτίσει τοῦτο συντάττοντες ἀλλ' ἐπειδήπερ ἐστὶν ἐν πᾶσι πρωτεύων αὐτὸς . . . .

Es. lxiii. 1. Cf. Ep. ad Acac. Scyth. 129 b: in S. Joannem 1106 d. Es. lxiii. 2. Zach. xiii. 6.

. . . κὸς, θαυμάζοντες ἔλεγον "Τίς οὗτος ὁ παραγενόμενος "ἐξ Ἐδώμ· τουτέστιν ἐκ γῆς· ἐρύθημα ἱματίων ἐκ Βοσόρ;" ὅ ἐστι τῇ Ἕλλαδι φωνῇ συνοχῆς ἢ θλίψεως "ἱνατί σου "ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματα σου ὡς ἀπὸ πατητοῦ "ληνοῦ;" προσεπυνθάνοντο δὲ κἀκεῖνο λέγοντες "Τί αὗται "αἱ πληγαὶ αἱ ἀνὰ μέσον τῶν χειρῶν σου;" ὁ δὲ πρὸς αὐτούς "Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου." καὶ οὐ δήπου φαίη τις ἂν ὡς ἦν ἐξ ἀνάγκης αὐτῷ τοὺς τῶν ἥλων τύπους ἐνεῖναί τε μετὰ τὴν ἀνάστασιν καὶ σὺν αὐτοῖς ἀναβαίνειν εἰς τὸν οὐρανόν· ἐκεῖνο δὲ μᾶλλον εἰκότως περινοεῖν ἄξιον. ὥσπερ ἀπιστήσαντι τῷ Θωμᾷ τοὺς τύπους τῶν ἥλων καὶ αὐτὴν ἐπέδειξε τὴν πλευρὰν ἵνα λοιπὸν ἀναπείσῃ λέγειν

S. Joan. xx. 28.

ἐξ εὐμαθοῦς διανοίας "Ὁ Κύριός μου καὶ ὁ Θεός μου," οὕτω καθάπερ ἐγῷμαι τοῖς ἁγίοις ἀγγέλοις ἐμφανῆ καθιστὰς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον μετὰ τῶν τοῦ πάθους σημείων ἐφαίνετο, ἐρυθρὰ γοῦν τὰ ἱμάτια φέρων καὶ αὐτοὺς δὲ τοὺς τύπους τῶν ἥλων ἵνα καὶ αὐτοὶ πιστεύσειαν ὡς φύσει τε καὶ ἀληθῶς ὑπάρχων Θεὸς γέγονε καὶ υἱὸς ἀνθρώπου, σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου καὶ καθεὶς ἑαυτὸν

Cf. infra x. 5.

εἰς κένωσιν, ἵνα προσφορὰν καὶ θυσίαν ἑαυτὸν ὑπὲρ πάντων εἰς ὀσμὴν εὐωδίας ἀναθεὶς τῷ Θεῷ καὶ Πατρὶ διασώσῃ τὴν ὑπ' οὐρανόν· προσκυνεῖ τοιγαροῦν καὶ ἡ τῶν ἀγγέλων ἁγία πληθὺς, οὐ παραιτουμένη τὴν προσκύνησιν ὅτι πρωτότοκος ἦν καὶ ἐν πολλοῖς ἀδελφοῖς ἄνθρωπος, δεδιδαγμένη δὲ τὴν οἰκονομίαν καὶ τὸν ἐκ Θεοῦ κατὰ φύσιν ἐπιγινώσκουσα Υἱὸν καὶ ὅτε γέγονε σάρξ.

1. τοῦτο] Ita H. 3–28. Haec assumpta ex c. fol. 243, ita incipiente post folio amisso; cum folio amisso amissum et nomen, exhibeo tamen, S. Cyrilli esse vix dubitans. 11. ἐνεῖκαί (err.) Cr.

Πρὸς δὲ τὸν Υἱόν Ὁ θρόνος σου, ὁ Θεός. 8

Πῶς οὖν οὐκ ἀσύνετον καὶ θρασὺ τὸ περιεργάζεσθαι φύσιν, δι' ἧς τὰ πάντα παρήχθη πρὸς ὕπαρξιν, τὴν χρόνου παντὸς πρεσβυτέραν; γεγόνασι γὰρ δι' αὐτῆς, καὶ ἔστι πρὸ παντὸς αἰῶνος ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος· ἀλλ' οἱ πάντολμοι κατηγοροῦσιν αὐτοῦ τὸ νεώτερον, καὶ γενητὸν αὐτὸν εἶναί φασιν· οὐκ εἰδότες ὅτι τοῖς τοῦ Ἁγίου Πνεύματος ἀντιφέρονται λόγοις· δι' αὐτοῦ μὲν γὰρ πεποιῆσθαι τοὺς Supra i. 2. αἰῶνάς φασιν οἱ λαλοῦντες ἐν Πνεύματι· οἱ δὲ γενητὸν εἶναι διισχυρίζονται τὸν ἐπέκεινα καὶ νοῦ καὶ λόγου, καὶ οὐδ' ἐκεῖνο δέχονται κατὰ νοῦν· οὐ γὰρ ἐν χρόνῳ γέγονε πατὴρ ὁ Θεός, ἀλλ' ἦν ἀεί τε καὶ ἐν ἀρχῇ· τούτου δὲ οὕτως ἔχοντος, πᾶσά 110 M. πως ἀνάγκη συνυφεστάναι νοεῖν τὸν Υἱὸν, ἵνα καὶ ἀληθῶς ὑπάρχῃ πατὴρ ὁ Θεός. ἐπεὶ διδασκέτωσαν, εἰ Λόγος ἐστὶ τοῦ Πατρὸς ὁ Υἱὸς καὶ σοφία καὶ δύναμις καὶ χαρακτὴρ καὶ ἀπαύγασμα τῆς ὑποστάσεως αὐτοῦ, ποῖος ἦν ἄρα χρόνος καθ' ὃν ἦν ἄλογος ὁ Πατὴρ, οὐχ ὑπάρχοντος τοῦ Υἱοῦ; πότε δὲ ἦν δίχα τῆς ἑαυτοῦ σοφίας ἡ τῆς σοφίας πηγή; πότε δὲ δυνάμεως δίχα; πότε δὲ οὐκ ἦν ἐν Θεῷ τὸ ἀπαύγασμα τῆς δόξης αὐτοῦ; ἢ πῶς οὐκ ἂν εἴη σὺν αὐτῷ τε καὶ ἐν αὐτῷ διηνεκῶς ὁ χαρακτὴρ αὐτοῦ; εἰ μὲν οὖν ἐν χρόνῳ ταῦτα γέγονεν, οὐκ ἦν ἄρα πατὴρ πρὶν γένηται, ἄλογος ἦν καὶ ἄσοφος, καὶ ἰσχὺν οὐκ ἔχων, χαρακτῆρός τε δίχα καὶ ἀπαυγάσματος. ἀλλ' οἶμαι τοῦτο εἶναι δυσσεβὲς ἐννοεῖν, καὶ τῆς ἀνωτάτω δυσσεβείας ἀπόδειξιν ἔχει· ἀεὶ δὲ ἦν ὁ

2. Quae sequebantur in Maio Ἀνοηταίνουσι—ὁ χαρακτήρ, utpote ex homilia desumpta inter homiliarum fragmenta collocabuntur. πῶς] τοῦ αὐτοῦ in margine apponit b., homiliae fragmentum finiri indicans, in margine a., charta crassiore operto, legi potest nil. 4. ἔστη b. 6. αὐτὸν εἶναι] αὐτὸν αὐτοῦ (=αὐτὸν εἶναι) b. [αὐτοῦ pro εἶναι non raro, exemplar suum vix legens, exhibet codex hic b.; de quo errore animadvertit Maius, Cr. errorem esse opinans: at ita revera b.] 9. αὐτοῦ pro εἶναι b., vide notam praecedentem. 10. καὶ νοῦ καὶ λόγου a. καινοῦ λόγου b. καὶ νοῦ λόγον (sic) Ed. Statim καὶ omisit Ed. οὐδ' a.b. οὐδὲ Cr. unde Maius. ἐκείνω (sic) b. 22. οὐκ ἦν] οὐκοῦν b. γεγένηται (forte = πρίν γε γένηται) b.

[110 M.] Πατήρ· ἦν οὖν ἄρα καὶ ὁ Υἱὸς, συνυφεστηκὼς ἀεὶ τῷ ἰδίῳ γεννήτορι.

9 Ἠγάπησας δικαιοσύνην.

Ὁ θεσπέσιος Δαυεὶδ πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν κοινὴν ὥσπερ τινὰ ὑπὲρ πάσης τῆς ἀνθρωπότητος ἐξε-φώνει λιτὴν (Ps. lxvii. 29.) "Ἔντειλαι ὁ Θεὸς τῇ δυνάμει σου, δυνάμωσον "ὁ Θεὸς τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν." δύναμις δὲ τοῦ Πατρὸς ὁ Υἱὸς δι' οὗ ἐστερέωσε μὲν τοὺς οὐρανοὺς καὶ τὴν (Cf. Es. xlviii. 13.) γῆν τεθεμελίωκε, καὶ τὴν τοῦδε τοῦ παντὸς εἴργασται διακόσμησιν. καὶ πεποίηκε μὲν τὸν ἄνθρωπον κατ' ἰδίαν εἰκόνα καὶ ὁμοίωσιν, φθορᾶς καὶ θανάτου κρείττονα δικαιοσύνης ἐργάτην. ἐπειδὴ δὲ βεβασίλευκεν ὁ θάνατος διὰ τῆς ἁμαρτίας καὶ ὑπενηνέγμεθα τῇ φθορᾷ καὶ (Rom. iii. 12.) "πάντες ἐξέκλιναν, ἅμα "ἠχρειώθησαν," προενόησεν ἀναγκαίως τῶν ἑαυτοῦ κτισμάτων ὁ τῶν ὅλων γενεσιουργὸς καὶ Κύριος· ηὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ (Eph. i. 10.) "ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ "Χριστῷ" καὶ ἀνακαινίσαι εἰς τὸ ἐν ἀρχαῖς.

Ὁ Δαυεὶδ οὖν τὸ βαθὺ τῆς ἐνανθρωπήσεως διατρανοῖ μυστήριον, ἀναφωνῶν πρὸς τὸν ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν Υἱόν (Ps. xliv. 8.) "Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ "τοῦτο ἔχρισέν σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως "παρὰ τοὺς μετόχους σου." οἴονται δέ τινες οὐ τῷ Μονογενεῖ πρέπειν τὰς τοιάσδε φωνὰς, εἰρῆσθαι δὲ μᾶλλον ὡς πρὸς ἄνθρωπον ἁπλῶς τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννη-

2. Post haec duo sequentia scholia e Commentariis in Psalmos D. Cyrilli exhibet Maius: *Κατὰ πολλοὺς δὲ τρόπους ἡ ῥάβδος νοεῖται· ποτὲ μὲν γὰρ σημαίνει τὴν βασιλείαν, ὡς ἐνταῦθα· ποτὲ δὲ* [δὲ om. b.] *τὴν ἰσχὺν, ὡς ἐν τῷ* (Ps. cix. 2.) *Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι· λαμβάνεται δὲ καὶ εἰς ἐπιστήμην τὴν ποιμαντικὴν κατὰ τὸ πρὸς τὸν υἱὸν εἰρημένον* (Mic. vii. 14.) *Ποίμαινε τὸν* [τὸν om. b.] *λαόν σου ἐν ῥάβδῳ.——Βασιλεὺς μέντοι χρηματίζει Χριστὸς* [μέντοι χρηστὸς b.] *ὅτι καὶ ἐνανθωπήσας ἔμεινεν ἐν ταῖς ἰδίαις ὑπεροχαῖς· βασιλεύει γὰρ ἐν δικαιοσύνῃ· διὸ ὡς ἐκ παραδείγματος τῶν ἐπὶ γῆς βασιλέων σκηπτροφορεῖν εἰωθότων τὸ τοῦ λόγου σχῆμα πεποίηται· σύμβολον γὰρ βυσιλείας ἡ ῥάβδος.* Sequebatur in Maio schol. e hom. *Ὁρᾷς—ἀμφότερα ἕν* infra inter homiliarum fragmenta exhibendum. 4. e c. fol. 243 v. s. fin. qui *Ὁ δὲ μακάριος Κύριλλός φησιν* praemittit. 24. *γεγενημένον* Cr.

[110 M.]

μένον· ὕθλος δὲ τῷ οὕτω φρονοῦντι ὡς διὰ πολλῶν ἀποδέδεικται λόγων· οὐ γὰρ ἄνθρωπος ἡμῖν ἐγεννήθη κοινὸς ἢ τῆς πρὸς Θεὸν ἑνότητος ἐψιλωμένος ἵνα τις λέγοι κατὰ τὸν ἐκείνων λόγον προεγνωκέναι περὶ αὐτοῦ τὸν τῶν ὅλων Θεὸν ὡς ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀνομίαν ὡς ἀπὸ γνώμης ἰδίας τε καὶ μόνης· καίτοι τὴν τοῦ ψάλλοντος φωνὴν ἐφαρμόσωμεν ἂν εἰκότως ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότι τῷ Μονογένει, καὶ ταῖς Ἡσαΐου περὶ αὐτοῦ προφητείαις ἰσχνὸν ἐνιέντες τὸν νοῦν· ἔφη γὰρ ὧδε "Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ (Es. vii. 14–16.) "ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμ"μανουήλ· βούτυρον καὶ μέλι φάγεται πρὶν ἢ γνῶναι αὐτὸν "ἢ προελέσθαι πονηρὰ ἐκλέξεται τὸ ἀγαθόν. διότι πρὶν ἢ "γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκ"λέξασθαι τὸ ἀγαθόν." ἠγάπησέ τε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν ὡς αὐτόχρημα ὑπάρχων καὶ δικαιοσύνη καὶ Θεός· οὔπω γὰρ ἔχον ὡς ἀπό γε τοῦ καιροῦ τὸ παιδίον τὸ εἰδέναι μὲν τὸ κατεψεγμένον, ἐπαινεῖν δὲ τὸ μὴ οὕτως ἔχον, πῶς ἂν ἠπείθησε πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν; ἀλλ' ἦν ὡς ἔφην Θεὸς ἐν σαρκὶ τῶν ἐνόντων αὐτῷ φυσικῶν ἀγαθῶν ἔξω φέρεσθαι μὴ δυνάμενος. καὶ οὐκ ἐπαινῶ μὲν ὃ βούλομαι λέγειν, ἐχέτω δὲ εἰ δοκεῖ κατὰ τὸν τῶν ἐμπλήκτων λόγον καὶ ἰδίαν ἀρετὴν ὁ καταμόνας τῇ κατὰ πρόσωπον ἑνώσει τετιμημένος. πλὴν ἐκεῖνο λεγόντων ἐρήσομαι Ἐκ ποίων ἄρα κατορθωμάτων τοσοῦτος ἔσται τις καίτοι κατὰ φύσιν ἄνθρωπος ὢν ὡς καὶ αὐτῶν τῶν θείων ἀξιωθῆναι θρόνων καὶ συνεδρεῦσαι μὲν τῷ Θεῷ καὶ Πατρὶ, χρηματίσαι δὲ καὶ Κύριος ἐν ἴσῳ τῷ κατὰ φύσιν, καὶ ἀγγέλους μὲν ἔχειν προσκυνητὰς, λατρεύουσαν δὲ τὴν σύμπασαν, καίτοι τῆς γραφῆς λεγούσης "Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ (S. Matth. iv. 10 e Deut. vi. 13.) "μόνῳ λατρεύσεις," καὶ πρόσφατον ἐν ἡμῖν οὐκ ἐώσης εἶναι θεόν. ἀλλ' ἐπ' ἐκεῖνό που τάχα δραμοῦνται τὸ σύνηθες ἐπι-

15. ὡς] verba ἀπειθεῖ—ἀδικί- hic iterum exhibet c. Statim αὐτόχρημα c. τόχρημα (sic) Cr. 24. τοσοῦτο Cr.

[110 M.] κούρημα, καὶ δὴ καὶ ἐροῦσιν ὡς ἑνώσει τῇ πρὸς Θεὸν τὴν τῆς κατὰ φύσιν θεότητος περικείσεται δόξαν. ὁμολόγει τοίνυν ἀληθῆ τὴν ἕνωσιν καὶ μὴ σοφίζου τὸ χρῆμα, διιστὰς μὲν τὰς φύσεις καὶ ἀνὰ μέρος ἑκάστην τιθεὶς, ἀσυναφῆ τε εἶναι θατέραν λέγων καὶ μόνην ἡμῖν τῶν προσώπων τὴν ἕνωσιν οὐκ οἶδ' ὅπως ἐξευρηκώς.

Εἰρῆσθαι τοίνυν διαβεβαιούμεθα πρὸς τὸν ἐκ Θεοῦ κατὰ φύσιν Υἱὸν ὡς καθ' ἡμᾶς γεγονότα, τουτέστιν ἄνθρωπον Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέν σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος τὴν θείαν πεπάτηκεν ἐντολὴν, εἶτα νενόσηκεν ἡ ἀνθρώπου φύσις τὸ πολὺ λίαν εὐπαρακόμιστον πρὸς ἁμαρτίας· διὰ τοῦτο κατὰ φύσιν ἄτρεπτος ὢν ὁ ἐκ Θεοῦ Λόγος, ἅγιός τε καὶ δίκαιος καὶ μισῶν τὴν ἀδικίαν γέγονε καθ' ἡμᾶς καὶ κεχρημάτικε δοῦλος, καὶ Θεὸν ἐπεγράψατο τὸν Πατέρα διὰ τὸ ἀνθρώπινον καίτοι Θεὸς ὑπάρχων, καὶ ἐξ αὐτοῦ κεχρίσθαι λέγεται διὰ τοῦ Ἁγίου Πνεύματος, οὐχ ἑαυτῷ δεχόμενος τοῦτο· καὶ γάρ ἐστι κατὰ φύσιν ἅγιος ὡς Θεός· ἀλλ' οἷον δι' ἑαυτοῦ προσάγων ἡμᾶς τῇ χάριτι καὶ ἀξίους ἀποφαίνων τῆς παρὰ Πατρὸς εὐλογίας, καίτοι πάλαι προσκεκρουκότας διά τε τὴν ἐν Ἀδὰμ παράβασιν καὶ τὴν μετὰ τοῦτο καθ' ἡμῶν τυραν-
Es. lxiii. 9. νήσασαν ἁμαρτίαν· "Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος ἀλλ' "αὐτὸς" ὁ Κύριος ἔσωσεν ἡμᾶς. εἰ δὲ δή τις οἴεται τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον εἰς ἰδίαν φύσιν δέχεσθαι τὸν ἁγιασμὸν, εἰς πλατὺ καὶ μέγα δυσφημιῶν ἀποδημήσει πέλαγος. εἰ γὰρ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς πεπρᾶχθαι φαμὲν τὴν ἐνθάδε λεγομένην χρίσιν ἤτοι ἁγιασμὸν, πῶς οὐκ ἀναγκαίως καὶ οὐχ ἑκόντας ὁμολογεῖν ὡς οὐκ ἂν εἴη κατὰ φύσιν ἅγιος, μᾶλλον δὲ οὐδὲ ἅγιος κατά γε τοὺς ἐν ἀρχῇ καὶ πρὸ τῆς χρίσεως χρόνους ἤγουν ἀπεράντους αἰῶνας καὶ πρὶν γενέσθαι

2. ὁμολόγει emendavi. ὡμολογει Cr. 12. ἡ om. Cr. 23. ἀλλ'—ἡμᾶς omisit Cramerus.

[110 M.]

καθ' ἡμᾶς ἀμοιρήσας ἁγιασμοῦ; καὶ εἰ τοῦτό ἐστιν ἀληθὲς, οὐκ ἦν ἁμαρτίας ἐλεύθερος.

Πῶς δὴ οὖν φησιν ὁ σοφώτατος Παῦλος τὸν Υἱὸν ἀπαύγασμά τε εἶναι τῆς δόξης τοῦ Πατρὸς, χαρακτῆρα δὲ ὁμοίως τῆς ὑποστάσεως αὐτοῦ; διαμορφοῖ γὰρ πάντως ὁ χαρακτὴρ ἐφ' ἑαυτῷ τὸ ἀρχέτυπον· οὐκοῦν οὐδὲ αὐτὸς ἅγιος ὁ Πατὴρ κατὰ φύσιν. εἶτα τίς ὁ ἁγιάζων αὐτόν; ἐῤῥῶσθαι δὴ οὖν τοῖς ἐκείνων εἰπόντες ἐμέτοις, ἅγιον κατὰ φύσιν ὑπάρχειν ὁμολογήσομεν τὸν Υἱὸν καθάπερ ἀμέλει καὶ αὐτὸν τὸν Πατέρα, ἡγιᾶσθαι δὲ τότε κατὰ σάρκα φαμὲν, ὅτε κεκενῶσθαι λέγεται κεχρηματικὼς ἄνθρωπος, ᾧ κατὰ μέθεξιν τὴν παρὰ Θεοῦ καὶ οὐ κατὰ φύσιν ἰδίαν ἔνεστιν ὁ ἁγιασμός. καὶ θαυμαστὸν οὐδὲν εἰ τὰ τῆς ἀνθρωπότητος ἴδια Θεὸς ὢν ὁ Λόγος οἰκειοῦται φιλαγάθως τε ἅμα καὶ οἰκονομικῶς. ὁ γὰρ ὅλως τὴν κένωσιν ἐθελήσας παθεῖν, πῶς ἂν εἰκότως παραιτοῖτο τὰ αὐτῆς; οὐκοῦν εἰ μὲν νοοῖτο καθ' ἑαυτὸν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἀπροσδεής ἐστι παντὸς ἀγαθοῦ, καὶ ἴδιον αὐτοῦ φαμεν τὸ Ἅγιον Πνεῦμα. ἐπειδὴ δὲ ὡς ἔφην γέγονε σὰρξ αὐτὸς τῷ ἰδίῳ Πνεύματι τὸν αὐτοῦ καταχρίει ναόν· ἐνεργεῖ γὰρ ὁ Πατὴρ ἅπερ ἂν ἐργάζοιτο δι' οὐδενὸς ἑτέρου πλὴν διὰ μόνου τοῦ Υἱοῦ ἐν Ἰσραήλ. οὐκοῦν λέγεται μὲν λαβεῖν τὸ Πνεῦμα οἰκονομικῶς ὡς ἄνθρωπος· "Ἰησοῦν Acta SS. Ap. x. 38. "γὰρ τὸν ἀπὸ Ναζαρὲτ, φησὶν, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς "Πνεύματι Ἁγίῳ καὶ δυνάμει·" δίδωσι δὲ ὡς Θεὸς αὐτὸ τοῖς τοῦτο λαβεῖν ἀξίοις. καὶ γοῦν τοῖς ἁγίοις ἀποστόλοις ἐνεφύσησε λέγων "Λάβετε Πνεῦμα Ἅγιον," S. Joan. xx. 22. προσεφώνει δὲ καὶ τοῖς Ἰουδαίων δήμοις ὁ θεσπέσιος Πέτρος περὶ αὐτοῦ "Τῇ Acta SS. Ap. ii. 33. "δεξίᾳ οὖν τοῦ Θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ Πνεύ-"ματος λαβὼν παρὰ τοῦ Πατρὸς ἐξέχεε τοῦτο ὃ ὑμεῖς "βλέπετε καὶ ἀκούετε." ἀκούεις ἐν τούτοις καὶ μάλα σαφῶς ὑψῶσθαί τε αὐτὸν τῇ δεξιᾷ τοῦ Θεοῦ, λαβεῖν τε ἅμα καὶ

6. οὐδὲ] δὲ (err.) Cr. 9. ὁμολογήσομεν habet c. 21. ἐν Ἰσραήλ] Legendum omnino ἐν πνεύματι ut semper ait S. Cyrillus. Mendum utrum c., an mei ipsius codicem negligentius conferentis, nescio.

[110 M.] δοῦναι τὸ Πνεῦμα, ὑψοῦται δὲ δηλονότι ὅτε τεταπείνωκεν ἑαυτόν· ὥσπερ γὰρ καθῆκεν ἑαυτὸν εἰς τοῦτο ἑκὼν, οὕτω πάλιν ἑαυτὸν ὑψοῖ καὶ μετὰ σαρκὸς αὐτὸς ὢν ἡ χεὶρ τοῦ Πατρὸς, δι᾽ ἧς τὰ πάντα θεοπρεπῶς ἐργάζεται. ὑψοῦται τοίνυν δι᾽ ἑαυτοῦ κατὰ θέλησιν τοῦ Πατρὸς, ὅτε διαῤῥήξας τὰ τοῦ θανάτου δεσμὰ καὶ τοῖς κάτω πνεύμασιν εἰρηκὼς Es. xlix. 9. "Ἐξέλθετε," κεκάθικεν ἐν δεξιᾷ τοῦ Πατρός.

Κέχρισται τοίνυν τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως ὁ κατὰ φύσιν Υἱὸς, ὅτε καὶ Θεὸς αὐτοῦ κεχρημάτικεν ὁ Πατὴρ καθ᾽ ἡμᾶς γεγονότος. ἄτοπον δὲ τοῦτο λέγειν οὐδαμῶς· ἔφη γάρ S. Joan. xx. 17. που τοῖς ἁγίοις ἀποστόλοις "Πορεύομαι πρὸς τὸν Πατέρα "μου καὶ Πατέρα ὑμῶν καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν." ἰδοὺ δὴ σαφῶς Θεὸν ἑαυτοῦ διὰ τὸ ἀνθρώπινον τὸν ἴδιον ἔφη Πατέρα. ἐπειδὴ δὲ κεκλήμεθα δι᾽ αὐτοῦ πρὸς υἱοθεσίαν, κεχρήματικεν ἀδελφὸς τοῖς κατὰ φύσιν οἰκέταις, δέδωκεν ἡμῖν Πατέρα τὸν ἑαυτοῦ. ἀλλ᾽ ὥσπερ ἡμεῖς εἰ καὶ υἱοὶ κεκλήμεθα τοῦ Πατρὸς, ἐσμὲν εἰ ἐσμὲν, ἄνθρωποι δηλονότι, καὶ τὴν τοῦ τετιμηκότος οὐκ ἠγνοήκαμεν χάριν· οὕτως ὁ κατὰ φύσιν Υἱὸς καὶ Κύριος, κἂν ἐπέγνω διὰ τὴν σάρκα καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν Θεὸν ἑαυτοῦ τὸν Πατέρα, ἀλλ᾽ οὐκ ἔξω γέγονε τοῦ εἶναι ὅ ἐστιν, οὔτε μὴν τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοὺς πρέποντας λόγους ἡμεῖς ἀγνοήσομεν. πῶς δὲ ἄρα παρὰ τοὺς μετόχους αὐτοῦ κεχρίσθαι λέγεται, φέρε λέγωμεν ὡς ἔνι. ἡμεῖς μὲν γὰρ κεχρίσμεθα τῷ Ἁγίῳ Πνεύματι, διωρισμένων δὲ φυσικῶς τῶν καθ᾽ ἡμᾶς καὶ τοσοῦτον, ὅσον ἂν νοοῖτο θεότητος φύσις παντὸς γενητοῦ· ὁ δὲ δι᾽ ἡμᾶς γενόμενος ἄνθρωπος τοῦ Θεοῦ Λόγος τῷ ἰδίῳ Πνεύματι καταχρίει τὸν ἑαυτοῦ ναὸν, οὐ μερικὴν ἐνέργειαν ἐντιθεὶς, οὔτε μὴν ἐν ἀῤῥαβῶνος τάξει καθὰ καὶ ἡμῖν δωρούμενος, ἀναπιμπλὰς δὲ μᾶλλον ἁγιασμοῦ καὶ τῆς ἑαυτοῦ δυνάμεώς τε καὶ δόξης. τοιγάρτοι καὶ ἔφασκεν "Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν "ἵνα ὦσιν καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ."

12. καὶ secundum] + τὸν e suo Cramerus. 17. εἰ ἐσμὲν omisit Cr. Legendum ut videtur ὅ ἐσμεν.

[110 M.]

Ὅτι δὲ καίτοι κεχρίσθαι λεγόμενος παρὰ τοῦ Πατρὸς κατὰ τὸ ἀνθρώπινον, οὐ πέπαυται τοῦ εἶναι ὃ ἦν τε καὶ ἔστι καὶ ἔσται διαπαντὸς, τουτέστι Θεὸς, αὐτὸς ἡμᾶς ὁ θεσπέσιος Παῦλος ἐνδοιάζειν οὐκ ἐᾷ, κατὰ τοῦ αὐτοῦ προσώπου ἐντιθεὶς ἐφεξῆς Καὶ σὺ κατ' ἀρχὰς Κύριε τὴν γῆν ἐθεμελίωσας καὶ ver. 10. ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ ver. 11. διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ ver. 12. περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Εἶτα τούτοις ἐπισυνάπτων εὐθύς Πρὸς τίνα δὲ τῶν ἀγγέ- ver. 13. λων εἴρηκέ ποτε Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ οὐκ ἂν οἶμαι ὑπολάβοι τις σωφρονῶν ἕτερον εἶναι τὸν σύνεδρον τῷ Πατρὶ παρὰ τὸν ἐκ τῆς ἁγίας παρθένου κατὰ σάρκα γεγεννημένον. καὶ πρός γε τοῦτο ἡμᾶς αὐτὸς ἐμπεδοῖ λέγων ὁ Ἐμμανουὴλ τοῖς Ἰουδαίων καθηγηταῖς "Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ, τίνος S. Matth. xxii. 42. "υἱός ἐστιν; λέγουσιν αὐτῷ Τοῦ Δαυείδ·" εἶτα πρὸς αὐτοὺς ὁ Χριστός "Πῶς οὖν Δαυεὶδ ἐν πνεύματι καλεῖ αὐτὸν Ib. 43, 44. "κύριον λέγων Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου Κάθου ἐκ "δεξιῶν μου;" σύνες οὖν ὅτι τὸν κεχρισμένον ὡς ἄνθρωπον παρὰ τοὺς μετόχους αὐτοῦ καὶ κύριον ὀνομάζει καὶ κατ' ἀρχὰς ἔφη θεμελιῶσαί τε τὴν γῆν καὶ αὐτοὺς εἰργάσθαι τοὺς οὐρανοὺς, ὑπάρχειν δὲ καὶ διαπαντός· ἀΐδιος γὰρ κατὰ φύσιν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος καίτοι τῶν δι' αὐτοῦ γεγονότων οὐκ ἐχόντων οὐσιωδῶς τὸ ἄναρχον ἐν χρόνῳ, κέκληνται γὰρ εἰς τὸ εἶναι παρὰ Θεοῦ ὃς καὶ μόνος ἔχειν εἴρηται τὴν ἀθανασίαν· ἄφθαρτον γὰρ καὶ ἀνώλεθρον παρ' αὐτὸν οὐδέν. προσεπάγει δὲ τούτοις σαφῆ καὶ ἐναργεστάτην ἀπόδειξιν τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν ὑπεροχῆς Πρὸς τίνα γὰρ εἶπε τῶν ἀγγέλων Κάθου ἐκ δεξιῶν μου; οὐχὶ πάντες εἰσὶ λειτουργικὰ ver. 14. πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; εἰ γὰρ ὁ μὲν τοῖς τῆς θεότητος ἐνί-

10. e c. fol. 246 qui πάλιν ὁ μακάριος Κύριλλος praemittit. 30. μου] + ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου Cr. invito c.

[110 M.] δρυται θώκοις, τὸ δεσποτικὸν ἀξίωμα περικείμενος κἂν εἰ γέγονεν υἱὸς Δαυεὶδ σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, οἱ δὲ παρεστήκασιν ὡς Θεῷ τε καὶ βασιλεῖ τῶν ὅλων, τίνι τῶν ὄντων ἀσυμφανὴς ἡ μεταξὺ κειμένη διαφορὰ Χριστοῦ καὶ ἀγγέλων; ὁ μὲν γάρ ἐστιν Υἱὸς καὶ Θεὸς, οἱ δὲ τὸ δουλοπρεπὲς αὐχοῦσι μέτρον καὶ πρὸς εὐκλείας τῆς ἀνωτάτω λελόγισται παρ' αὐτοῖς τὸ γνήσιον εἰς ὑπακοήν. εἰ δὲ δή τις λέγοι Καὶ ποῖος ἡμᾶς ἀναπείσει τρόπος αὐτὸν οἴεσθαι τὸν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς διὰ τῆς ἁγίας παρθένου γεγεννημένον θεμελιῶσαί τε τὴν γῆν κατ' ἀρχὰς καὶ αὐτοὺς ἐγεῖραι τοὺς οὐρανοὺς, ἀντακούσεται παρ' ἡμῶν ὡς εἴπερ ἕλοιτο τὴν τῆς ἀληθοῦς ἑνώσεως ἐννοῆσαι δύναμιν, οὐ τὴν ἐν μόνοις προσώποις καὶ κατὰ θέλησιν ἤγουν εὐδοκίαν, ἴδια μὲν εὑρήσει γεγονότα διὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὰ ἀνθρώπινα, οὐκ ἀλλότρια δὲ τῆς ἀνθρωπότητος τὰ αὐτῷ καὶ μόνῳ πρέποντα τῷ ἑνωθέντι Λόγῳ· ἐπεὶ δέ ἐστιν εἷς καὶ μόνος καὶ ἀληθινὸς Υἱὸς ὁ Ἐμμανουὴλ, νοεῖται δὲ πρὸς ἡμῶν Θεός τε καὶ ἄνθρωπος.

Κεφ. β'. 7 Πάντα ὑπέταξας τῶν ποδῶν αὐτοῦ.

Ἄνιθι, φησὶ, ταῖς ἐννοίαις εἰς τὴν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου κατασκευὴν καὶ τίνα γέγονε πρῶτον, πολυπραγμόνει δὲ πῶς πεποιήμεθα παρὰ Θεοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ, τετιμήμεθα δὲ πλουσίως, ἄρχειν λαχόντες τῶν ἐπὶ τῆς γῆς. ἐπειδὴ δὲ ἡ τοῦ γένους ἀρχὴ, τουτέστιν Ἀδὰμ, τὴν θείαν λελύπηκεν ἐντολὴν, νενόσηκέ τε λοιπὸν ἡ ἀνθρώπου διάνοια τὸ λίαν εὐπάροιστον εἰς τὸ πλημμελὲς, ταύτῃτοι γυμνοὶ δόξης καὶ ἀφθαρσίας καὶ τῶν ἐν ἀρχαῖς ἀγαθῶν διετελοῦμεν ἐν κόσμῳ· σεσώσμεθα δὲ διὰ Χριστοῦ, καὶ τῇ παρ' αὐτοῦ χάριτι κεκτήμεθα τὰ πρὸς ἀνάληψιν τῶν πάλαι δεδωρημένων. τῶν τοιούτων διηγημάτων ὁ τῶν προκειμένων λόγος εἰσκομίζει τὸ πλάτος· κατατέθηπε γὰρ ὁ θεσπέσιος Δαυεὶδ

6. αὐχοῦσι Cod. ἔχουσι Cr. 16. καὶ alt. omisit Cr. 20. e c. fol. 249 qui ὁ μακάριος δὲ Κύριλλός φησιν praemittit.

[110 M.] τῆς ἐφ' ἡμῖν ἡμερότητος τὴν ὑπερβολήν· "Τί γάρ ἐστιν ἄν- [Supra ver. 6.] "θρωπος, φησὶν, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι "ἐπισκέπτῃ αὐτόν;" τὸ μικρὸν οὕτω καὶ εὐτελὲς καὶ ἀπὸ γῆς ζῷον. ἠλάττωσε γὰρ αὐτὸν βραχύ τι παρ' ἀγγέλους, ἡττή- [Ib. 7.] μεθα γὰρ ὡμολογουμένως τῆς τῶν ἁγίων ἀγγέλων φύσεώς τε καὶ δόξης. οὐκοῦν τιμῇ τε καὶ δόξῃ στεφανοῦν ἠξίωσε καὶ λαμπροὺς ἀπέδειξεν ὁ τῶν ὅλων Θεός· κεχειροτόνηκε γὰρ εἰς ἀρχὴν τῶν ἐπὶ τῆς γῆς καὶ κατέστησεν "αὐτὸν ἐπὶ [Ps. viii. 7.] "τὰ ἔργα τῶν χειρῶν" αὐτοῦ.

Καὶ τεθαύμακε μὲν εἰκότως τὰ ἐφ' ἡμῖν ὁ μακάριος Δαυείδ· τεχνίτης δὲ λίαν ὑπάρχων εἰς ἐννοίας πνευματικὰς ὁ σοφώτατος Παῦλος, περιτρέπει μὲν ἀστείως εἰς ἐξήγησιν μυστικὴν τῶν εἰρημένων τὴν δύναμιν, οἰκουμένην δὲ μέλλουσαν ὀνο- [Supra ver. 5.] μάζει τοῦ μετὰ τοῦτον αἰῶνος τὴν κατάστασιν, καὶ τὴν ἐσομένην κατὰ καιροὺς τῶν δοθέντων ἡμῖν ἐπανάληψιν ἤγουν ἐκπλήρωσιν. διαπεπτώκαμεν γὰρ, ὡς ἔφην, τῆς χάριτος ἐν Ἀδάμ· εἴρηται μὲν γὰρ ὡς ἐκείνῳ καὶ πρώτῳ τῇ ἀνθρώπου φύσει τό "Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ κατακυριεύσατε [Gen. i. 28.] "αὐτῆς·" νῦν δὲ οὔπω φησὶν ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτε- [ver. 8.] ταγμένα. οὐκοῦν τὸν τοῦ πράγματος καιρὸν ἕτερον ὄντα ζητήσωμεν καθ' ὃν ἔσται καὶ ἀληθὲς τὸ ἐφ' ἡμῖν εἰρημένον παρὰ τοῦ ψεύδεσθαι μὴ εἰδότος Θεοῦ. ταύτῃτοί φησι τὴν οἰκουμένην τὴν μέλλουσαν οὐκ ἀγγέλοις μᾶλλον ὑποτετάχθαι παρ' αὐτοῦ, δεδωρῆσθαι δὲ τοῦτο τοῖς ἐπὶ τῆς γῆς.

Ὅτι δὲ περὶ τῆς μελλούσης ἡμῖν οἰκουμένης οἱ μυσταγωγοὶ διαλέγονται, πῶς ἂν ἐνδοιάσειέ τις; ἀφιστάντες γὰρ τῶν ἐνεστηκότων, ζητεῖν ἀναπείθουσι τὰ ἐσόμενα καὶ "ἐπὶ [Phil. iii. 14.] "τὸ βραβεῖον τῆς ἄνω κλήσεως" ἐπείγεσθαι δεῖν συμβουλεύουσι καὶ τὴν τῶν ἁγίων ἐλπίδα διψῆν καθ' ἣν τὰ πάντα αὐτοῖς ὑποταχθήσεται καὶ κατακυριεύσουσι τῆς γῆς. καὶ αὐτὸς ὁ Σωτὴρ διεμέμνητο λέγων "Μακάριοι οἱ πραεῖς ὅτι [S. Matth. v. 5.] "αὐτοὶ κληρονομήσουσι τὴν γῆν." τίς οὖν ἄρα ἐστὶν ὁ δι'

6. τε prius om. Cr.

[110 M.]

οὗ γέγονε παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἡ τῶν καθ' ἡμᾶς ἀνακεφαλαίωσις; [forte ᾧ] δῆλον ὅτι Χριστὸς, ὃ καὶ ἡμᾶς ἀκόλουθον εἰπεῖν ὡς διὰ τῆς τοῦ ψάλλοντος λύρας [Ps. xv. 5.] "Κύριος μερὶς τῆς "κληρονομίας μου καὶ τοῦ ποτηρίου μου, σὺ εἶ ὁ ἀποκαθι-"στῶν τὴν κληρονομίαν μου ἐμοί·" δι' αὐτοῦ γὰρ ἐσχήκαμεν τῶν ἐν ἀρχαῖς τῇ φύσει δεδωρημένων ἀγαθῶν τὴν ἐπανάληψιν αὐτὴν καὶ τὸ βέβαιον εἰς κτῆσιν. ἀταλαίπωρον δὲ καὶ τοῦτο ἰδεῖν οὐχ ἑτέρως ἔχον, γεγραφότος περὶ αὐτοῦ τοῦ θεσπεσίου Παύλου [Infra ver. 9.] "Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλατ-"τώμενον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου "δόξῃ καὶ τιμῇ ἐστεφανώμενον."

Ἀκούεις ὅπως ἐπάνω πάντων ὑπέρτατον τὸν σύνθρονον τῷ Πατρὶ τὸν παρὰ τῶν ἄνω πνευμάτων ἐν τάξει Θεοῦ προσκυνούμενον, [Dan. vii. 10.] ᾧ χίλιαι μὲν χιλιάδες λειτουργοῦσιν ἀγγέλων, παρεστήκασι δὲ καὶ μύριαι μυριάδες, καταβιβάζει πάλιν ὁ μυσταγωγὸς ἐν τοῖς καθ' ἡμᾶς καὶ τὸν τῆς κενώσεως ἀφηγεῖται τρόπον προσεπάγων εὐθὺς καὶ ὅσα κατώρθωται δι' αὐτῆς τῇ ἀνθρωπείᾳ φύσει ἀγαθά. ἐννόησον γὰρ ἠλαττώμενον βραχύ τι παρ' ἀγγέλους αὐτὸν, ἵν' ἡμεῖς ἐν αὐτῷ πλουτήσωμεν τὰ ὑπὲρ φύσιν ἰδίαν ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρός· [Eph. ii. 6.] συνήγειρε γὰρ ἡμᾶς "καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις "ἐν Χριστῷ." [cf. infra p. sq. not.] συνεδρεύοντος γὰρ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἐφ' ὅλην δραμεῖται τὸ καύχημα τὴν ἀνθρώπου φύσιν. ἐπεὶ τίνα τρόπον ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πεπλουτήκαμεν, εἰ κατὰ μηδένα τρόπον τὸ καθ' ἡμᾶς ἐν ἀμείνοσιν, ὅτε γέγονε καθ' ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν; ἠλάττωται τοίνυν βραχὺ παρ' ἀγγέλους ἄνθρωπος γεγονὼς, ἵνα τὴν ἀνθρώπου τιμήσῃ φύσιν καὶ ἀνακομίσῃ πάλιν εἰς τὸ ἐν ἀρχαῖς, δόξῃ καὶ τιμῇ καὶ ἐν αὐτῇ στεφανούμενος καίτοι τῆς δόξης κύριος ὢν ὡς Θεός. ὥσπερ γὰρ ἡ τοῦ Ἀδὰμ παράβασις ἀτιμοτάτους ἀπέδειξεν, οὕτως δεδοξάσμεθα διὰ τῆς ὑπὲρ ἡμῶν ὑπακοῆς τοῦ Χριστοῦ καὶ αὐτὴν τεθεικότος τὴν ἰδίαν ψυχὴν [Rom. xiv. 9.] "ἵνα "καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ."

[110 M.]

Πῶς ἠλάττωται παρὰ τοὺς ἀγγέλους ὁ παρ' αὐτῶν προσκυνούμενος; ἢ ὅτι καθίκετο ἐν τοῖς τῆς ἀνθρωπότητος μέτροις, καὶ τὸ ἀποθνήσκειν πεφυκὸς σῶμα λαβὼν ἐν αὐτῷ πέπονθεν ἑκὼν, καὶ ταῖς ἀνωτάτω δόξαις στεφανοῦται διὰ τὸ πάθος, ὡς δι' αὐτοῦ καταργήσας τὸν θάνατον, καὶ ἄπρακτον ἀποφήνας τὴν φθορὰν, ἅτε ἀφθαρσία ὢν καὶ ζωή. τὰ δὲ τῆς ὑπεροχῆς τοῖς ἀγγέλοις, ὅτι καὶ ἔξω σαρκὸς καὶ τοῦ τεθνάναι κρείττους εἰσὶ, γεγονότος ἐν τούτοις τοῦ Υἱοῦ διὰ τὴν ἑκούσιον κένωσιν. ἀλλ' ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττωμένος διὰ τὸ τῆς ἀνθρωπότητος μέτρον, ἐν ὑπεροχῇ θεότητος ὢν προσκυνεῖται παρ' αὐτῶν, καὶ ἐνίδρυται θώκοις οὓς περιεστᾶσιν ἐκεῖνοι δοξολογοῦντες ἀεὶ, καὶ τῶν δυνάμεων αὐτὸν ὀνομάζοντες κύριον. 111 M.

1. Hoc scholion e Maio et Cramero. *παρ'* a. Ed. *πρὸς* b. 11. *θόκοις* (=*θώκοις*) b. 12. *περιεστῶσιν* b. 13. *κύριον*] Pergit *καὶ σὺ—ἀνώτερος γέγονεν* e Cramero 391. 4–14 Maius. Attamen in a. haec S. Cyrilli scholion praecedunt e S. Chrysostomi ad loc. Hom. iv. pp. 39 d, 40 a b desumpta.

Post haec scholion e Psalmis sequitur in Maio, quod subjungo: *Ἐστεφάνωσε δὲ ἡμᾶς δόξῃ καὶ τιμῇ, δι' ὧν ὑπάρχων θεὸς κατὰ φύσιν ἠλάττωται δι' ἡμᾶς, ὡς ἂν ἡμεῖς ὑπὲρ φύσιν πλουτήσωμεν ἐν αὐτῷ· "συνήγειρε γὰρ ἡμᾶς καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ·" συνεδρεύοντος γὰρ αὐτοῦ, ἐφ' ὅλην τὴν ἀνθρώπου φύσιν δραμεῖται τὸ καύχημα· οὕτω γὰρ τῇ αὐτοῦ πτωχείᾳ πεπλουτήκαμεν, δι' οὓς καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωται καίτοι τῆς δόξης κύριος ὢν ὡς θεός· ἄτιμοι γὰρ ἐν τῇ τοῦ Ἀδὰμ παραβάσει γεγενημένοι, ἐν τῇ ὑπὲρ ἡμῶν ὑπακοῇ τοῦ Χριστοῦ δεδοξάσμεθα.*

Scholion *Σὺ δέ μοι—τῶν ποδῶν μου* (Cr. 393. 8–19) ad Thesaurorum λογ. 32 (i.e. p. 290 e 291 a), scholion *Σὺ δέ μοι—τὸ ἔλαττον* (Cr. 395. 27–32) ad Thes. λογ. 11 (i.e. p. 93 d.) refert a. Verba *ἔπρεπε—ἡ ἀδελφότης* (Cr. 396. 17–397. 5) quum de R. Fide ad Reginas pp. 151, 152, 153 legantur omisit Maius, verba *καὶ τοῦτο—ἀκαταλύτον* (Cr. 399. 28–35) de quibus dicit Oecumenius, *οὕτως ὁ ἐν ἁγίοις κύριλλος καὶ σευῆρος ἐν τῷ ροδ κεφαλαίῳ τοῦ Φιλαλήθους* similiter omittit Maius. Post haec *ὁ—μορφῇ* ex homilia [hom. 25, a.] exhibent a.b. vide infra. Deinde post Maium omisimus *Λέγεται—ἐπάγει* (Cr. 401. 1–405. 10) libris ad Herm. 589 sqq. pertinens, *Ὄνομα δὲ—δηλοῖ τὸ ὄνομα* (Cr. 406. 9–25) ad psalmos pertinens (Maii Bibl. Nova iii. 211), *τὰ παιδία—σαρκί* (Cr. 407. 30–408. 15, quae sequuntur in Cr. 16–25 sunt anonyma in codice utroque, in b. vero S. Cyrillum praecedunt) tractatui de R. fide ad Reginas p. 134 pertinens: *Νοοῖτο—τοὺς ἐπὶ γῆς* ad homiliam pertinens, infra exhibituri hic omisimus; verba *Σπέρματος Ἀβραὰμ ἐπιλαβέσθαι φαμὲν τὸν τοῦ Θεοῦ Λόγον, ἀνέφυ γὰρ ἐξ Ἰούδα τὸ κατὰ σάρκα* (de r. f. 135 b) exhibet Cr. (416. 3, 4), reliqua tamen *τὴν πολλὴν—ἐπιλαμβάνεται* (ib. 4–34) sunt S. Chrys. Hom. v. ad loc.: denique *Ἀλλ' ἴδωμεν—διὰ τὸ ἀνθρώπινον* (Cr. 417. 15–424. 25) libro ad Theodosium Imperatorem idque recte refert a. Scholia *Ὡμοιώθη—καὶ σαρκί* (Cr. 425. 22–25), *Αὐτὸς—Χριστός* (Cr. 428. 8–12) et in Maio exhibita, quum ad tractum de Recta fide 135 b, 136 b pertineant, omitto. Sequebatur in Ed. Homiliae fragmentum *Οὐκ αὐτῇ—ἀγάπην* quod vide infra. Deinde verba *Τὸ δὲ πειρασθεὶς δύναται βοηθεῖν, ταπεινὸν σφόδρα, πλὴν οὐκ ἔξω τῶν τῆς ἑνώσεως* [*κενώσεως* recte b, ubi *σαρκώσεως* perperam Cr.] *μέτρων· ἔπειτα καὶ διὰ τὸ νηπιῶδες τῶν ἀκουόντων εἴρηται εἰς ψυχαγωγίαν ἐκείνων· ἐπειδὴ γὰρ, φησὶ,*

[114 M.]

9 Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

Τί τό Ἐγεύσατο παντί τῳ σαφὲς ὥς γε οἶμαι. δοὺς γὰρ τῷ θανάτῳ τὸ ἴδιον σῶμα καὶ οἷον ἀπογευσάμενος σαρκικῶς τοῦ συμβεβηκότος, ἀνεβίω πάλιν καὶ πεπάτηκεν εὐθὺς τοῦ θανάτου τὸ κράτος. οὐκοῦν ὁ βραχὺ παρ' ἀγγέλους ἠλαττῶσθαι λεγόμενος, αὐτός ἐστιν ὁ ἐκ Θεοῦ Λόγος, οὐκ εἰς ἰδίαν φύσιν παθὼν τὴν ἐλάττωσιν· ἀεὶ γάρ ἐστιν αὐτὸς καὶ ὡσαύτως ἔχων, ἄτρεπτός τε καὶ ἀναλλοίωτος, ὑπομεμενηκὼς δὲ καὶ τοῦτο δι' ἡμᾶς ἀνθρωπίνως· ἠνέσχετο γὰρ καίτοι Θεὸς ὢν φύσει τῶν τῆς ἀνθρωπότητος μέτρων διὰ τὴν οἰκονομίαν· καὶ τοῦτό ἐστι τοῦ κατ' αὐτὸν μυστηρίου τὸ ὅτι μάλιστα θαυμάζεσθαι πρέπον. οὕτω καὶ ὁ προφήτης ἔλεγεν Ἀμβακοὺμ "Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, "κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην·" ἔκστασις γὰρ ἀληθῶς καὶ τοῦ παντὸς ἐπέκεινα θαύματος τὸ γεγενημένον. ἀλλ' οὐκ οἶδ' ὅπως τὸ ἐπ' αὐτὸ μυστήριον οὐ νενοηκότες ὀρθῶς κενολογοῦσί τινες καὶ δὴ καὶ γεγράφασι τὰ ἐν τῷ ὀγδόῳ ψαλμῷ διερμηνεύειν ἐθέλοντες „Σκοπῶμεν τοίνυν τίς ὁ „ἄνθρωπος περὶ οὗ ἐκπλήττεται καὶ θαυμάζει ὅτι δὴ ὁ Μονο- „γενὴς κατηξίωσεν αὐτοῦ μνησθῆναί τε καὶ ἐπισκοπὴν ποιή- „σασθαι·" εἶτα τούτοις ἐπάγει καὶ μάλα ἐναργῶς ὡς οὐκ „εἴρηται μὲν ἐπὶ παντὸς ἀνθρώπου τό Τί ἐστιν ἄνθρωπος „ὅτι μιμνήσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; „ἀλλὰ περὶ μόνου τοῦ Υἱοῦ·" πειρῶνται δὲ τοὺς ἑαυτῶν λόγους ἐμπεδοῦν εἰς ἀλήθειαν περιενεγκεῖν λέγοντες τὸν μακάριον Παῦλον εἰς τὸ ἑαυτοῦ πρόσωπον τὰ ἐν τῷ ψαλμῷ,

Hab. iii. 1, 2.

πέπονθεν αὐτὸς εἰς τὸ οἰκεῖον σῶμα πειρασθεὶς, προθυμότερον βοηθήσει τοῖς πειραζομένοις, tanquam S. Cyrilli, codicis sui a. auctoritate fretus exhibet Maius; tanquam autem dubia, in nota exhibui ipse. Ea tanquam S. Chrysostomi exhibuit Cod. b. non sunt ut vid. ad loc., diversa tamen ss. patrum opera passim citat Niketas. Post haec verba S. Cyrilli *Ἄθρει—τοὺς ἁγιαζομένους* (Cr. 430. 32–431. 5) exhibet Maius quae cum ad tractum De R. fide 135 fin. 136 pertineant omisi. Sequitur in Maio *Ἀλλὰ γὰρ—λόγος* e homilia desumptum vide infra: fragmentum et sequens partim ex homilia. 1. e c. fol. 251 v. qui *ὁ μακάριος δὲ Κύριλλος τῷ μακαρίῳ Ἰωάννῃ ἀκολουθήσας κατὰ τό Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου, φησὶ* praemittit. 9. *ἠνείχετο* (errore) Cr.

διά τοι τὸ φάναι “Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττω- “μένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ “καὶ τιμῇ ἐστεφανωμένον.” εἶτα διιστάντες τὰς φύσεις, ὁλότροπον τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον εἶναί φασιν ἰδικῶς, περὶ οὗ καὶ θαυμάζει, φησὶν, ὁ Δαυεὶδ, ὅτι καὶ μνήμης καὶ ἐπισκοπῆς ἠξίωται· ἠξίωται δὲ καὶ τῶν ὑπὲρ φύσιν ἰδίαν, ὡς εὐεργετούμενος παρὰ τοῦ Θεοῦ Λόγου.

Ἠγνοήκασι δὲ ὡς ἔοικεν, ὅτι Χριστὸς Ἰησοῦς οὐ καθ' ἑαυτὸν ἄνθρωπος κοινῶς τε καὶ ἰδικῶς νοεῖται καὶ λέγεται πρὸς ἡμῶν, ἐνανθρωπήσας δὲ μᾶλλον ὁ ἐκ Θεοῦ Λόγος. ἵνα δὲ τῶν ἐννοιῶν ἡ ἀπόδοσις ἐν κόσμῳ τῷ δέοντι προϊοῦσα φαίνοιτο, φέρε καὶ πρό γε τῶν ἄλλων τῆς ἐν τῷ παροισθέντων ψαλμῷ θεωρίας ἀψώμεθα. ᾔδει ὡς προφήτης ὁ θεσπέσιος Δαυεὶδ ὅτι κατὰ τὴν ἀψευδῆ τε καὶ θείαν ὑπόσχεσιν “ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα” γενήσεται, Acta SS. Ap. ii. 30. πλὴν οὐκ ἠγνόηκεν ὅτι Θεὸς κατὰ φύσιν ὑπάρχων ἐν τοῖς καθ' ἡμᾶς ἑαυτὸν καθήσει κατὰ καιρόν. διαλέγεται τοίνυν ἐν τῷ ὀγδόῳ ψαλμῷ καὶ τοὺς πρὸς αὐτὸν ποιεῖται λόγους ὡς πρὸς ἄνθρωπον ἅμα καὶ Θεὸν ἕνα τὸν ἐξ ἀμφοῖν ἐπιγινώσκων Θεόν. ταύτητοί φησι “Κύριε ὁ Κύριος ἡμῶν, ὡς Ps. viii. 2. “θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, ὅτι ἐπήρθη ἡ “μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν·” ποῦ γὰρ ὅλως ἢ παρὰ τίσι Χριστὸς οὐ τεθαύμαστο; ἢ πῶς οὐκ ἐπήρθη καὶ ὑπεράνω τῶν οὐρανῶν ἡ μεγαλοπρέπεια αὐτοῦ καὶ τὸ τῆς δόξης περιφανές; εἴπερ ἐστὶν ἀληθὲς ὅτι “ἐν τῷ ὀνόματι Phil. ii. 10, 11. “Ἰησοῦ Χριστοῦ πᾶν γονὺ κάμπτει ἐπουρανίων καὶ ἐπι- “γείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται “ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.”

Ὅτι γὰρ ἐν ἀνθρωπείᾳ μορφῇ πεφηνότι τῷ Λόγῳ καὶ ἑνωθέντι σαρκὶ τὰ τοιαῦτά φησιν ὁ θεσπέσιος μελῳδὸς

4. γεγενημένον (err.) Cr. 7. ἰδίων Cr. 18. τοίνυν] οὖν perperam Cr.
21. Κύριε] Κύριος (err.) Cr.

[114 M.]

Ps. viii. 3. ἐκδείξειεν ἂν εὐκόλως τὰ ἐφεξῆς· ἔφη γὰρ ὅτι “ἐκ στόματος “νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον.” ἐπειδὴ γὰρ τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν, τεθαύμασται μὲν παρὰ πάντων, S. Joan. xii. 14. “εὑρὼν δὲ ὀνάριον ἐκάθισεν ἐπ' αὐτῷ,” ὅτε καὶ παῖδες Ib. 13. λαβόντες “τὰ βαΐα τῶν φοινίκων” ταῖς καθηκούσαις αὐτὸν S. Matth. xxi. 9. καταγεραίροντες εὐφημίαις ἔφασκον “Ὡσαννὰ τῷ υἱῷ “Δαυεὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.” Ib. 16. ἐπιτιμώντων δὲ αὐτοῖς τῶν ἄλλων, ἔφασκεν ὁ Χριστός “Οὐκ “ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρ-“τίσω αἶνον;” ἐνηνθρωπηκότα δὴ οὖν τὸν Υἱὸν μονονουχὶ καὶ ἐποχούμενον τῷ πώλῳ βλέπων κατατέθηπεν εἰκότως ἐκεῖνο διενθυμούμενος ὅτι πρὸς τοσοῦτο σμικροπρεπείας ἑαυτὸν ὁρᾶται καθεὶς καίτοι κατὰ φύσιν ὑπάρχων Θεὸς, εἶτα τοῦ κεκενῶσθαι τὴν ἀφορμὴν οὐχ ἑτέραν ὁρῶν ὁ μακάριος Δαυεὶδ, πλὴν ὅτι μόνους ἡμᾶς οὓς ἦν ἀναγκαῖον καὶ φθορᾶς ἐξελέσθαι καὶ ἁμαρτίας καὶ τυραννικῶν ἁρπάσαι χειρῶν, τῶν τοῦ διαβόλου φημὶ, τοῦ παντὸς ἀξιοῖ θαύματος τῆς μετὰ Ps. viii. 5. σαρκὸς οἰκονομίας τὸ μυστήριον. ταύτῃτοί φησι “Κύριε “τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου “ὅτι ἐπισκέπτῃ αὐτόν;” τίς γὰρ ἡ ἀνθρώπου φύσις ὡς πρὸς Θεόν; καὶ τί τοῦτο λέγω; τί τὸ γένος τὸ ἀνθρώπινον; μοῖρά τε ὅση καταλογισθεῖεν ἂν οἱ ἐπὶ γῆς ὡς πρός γε φημὶ τὰ τῶν ἁγίων ἀγγέλων τάγματα; ἀλλ' εἰ καὶ μηδὲν ὅλως ὁ ἄνθρωπος φύσει τε καὶ ἀριθμῷ, οὐχ ὑπερεῖδεν ἡμᾶς ὁ Δημιουργὸς, ἐμνήσθη γὰρ καὶ ἡμῶν καὶ ἐπισκοπῆς ἠξίωσεν, ὡς διολωλότων· ὁ καὶ ἐν ἀρχαῖς τοῦ παραγαγεῖν εἰς ὕπαρξιν, βραχὺ μὲν ἡμᾶς ἐλαττώσας παρὰ τοὺς ἀγγέλους, στεφανώσας δὲ τιμῇ τε καὶ δόξῃ καὶ καταστήσας μὲν ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, πάντα δὲ ὑποτάξας ὑπὸ πόδας ἡμῶν.

Καὶ τῆς μὲν ὅλης ᾠδῆς ὁ σκόπος ἐν τούτοις, φιλοσοφεῖ

2. καὶ om. Cr. 23. πρό Cr. 24. μηδενὶ (perperam) Cr.
25. ἐπισκοπῆς ἠξίωσεν] ἐπισκοπῆσαι ἐπηξίωσεν Cr.

[114 M.]

δὲ λίαν ὁ θεσπέσιος Παῦλος καὶ περιίστησιν εὐτέχνως νενοσηκότα τὰ καθ' ἡμᾶς εἰς καινότητα διὰ Χριστοῦ· καινὴ [2 Cor. v. 17.] γὰρ κτίσις τὰ ἐν αὐτῷ καὶ τὰ μὲν ἀρχαῖα παρῆλθε, γέγονε δὲ πάντα καινά· τοῦτό φησι καὶ δι' ἑνὸς τῶν προφητῶν τὸ Πνεῦμα τὸ Ἅγιον "Θάρσει Σιὼν, μὴ παρείσθωσαν αἱ [Soph. iii. 16, 17.] "χεῖρές σου· Κύριος ὁ Θεός σου ἐν σοὶ δυνατῶς σῶσαί σε "καὶ ἀνακαινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ."

Ἀποφαίνει τοίνυν ὁ Παῦλος γυμνοὺς ἡμᾶς τῆς δόξης τῆς πάλαι δεδωρημένης· διὰ τοῦτό φησι "Νῦν δὲ οὔπω ὁρῶμεν [Supra ver. 8.] "αὐτῷ τὰ πάντα ὑποτεταγμένα." καὶ οὐ δήπου φρονοῦμεν, ὀρθὰ φρονεῖν ᾐρημένοι περὶ ἑνὸς ἀνθρώπου τὰ τοιάδε λέγειν αὐτὸν, ἀλλ' ὡς ἐν ἑνὶ προσώπῳ τὸν καθόλου σημαίνων ἄνθρωπον, σεσυλῆσθαί φησιν αὐτὸν τῆς πάλαι δοθείσης εὐκλείας τὴν μέθεξιν. καὶ ποία τις ἐστὶν ἡ τοῦ παντὸς λόγου κατασκευὴ, τί δὲ τὸ τῆς εὐτεχνίας συμπέρασμα διειπεῖν ἀναγκαῖον. ἀποφαίνει γὰρ τῆς δόξης ἡμαρτηκότα διὰ τὴν ἐν Ἀδὰμ παράβασιν ἵνα καὶ τὸν τῆς ἐπαναλήψεως ἀφηγήσηται τρόπον καὶ οἷά τις ἦν ἐμφάνῃ τὴν τοῦ γένους πτωχείαν ἵνα δείξῃ πάλιν τὸν δι' οὗ πεπλουτίσμεθα. προσεπάγει γὰρ εὐθύς "Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους "ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανά-"του δόξῃ καὶ τιμῇ ἐστεφανωμένον·" Θεὸς γὰρ ὢν φύσει καθὰ πλειστάκις εἰρήκαμεν ὁ ἐκ Θεοῦ Λόγος, καθῆκεν ἑαυτὸν εἰς κένωσιν καὶ κεχρημάτικε μεθ' ἡμῶν ὡς ἄνθρωπος βραχὺ παρ' ἀγγέλους, ἵνα καὶ ὑπήκοος γεγονὼς τῷ Πατρὶ καὶ [Phil. ii. 8.] μέχρι θανάτου, δόξῃ καὶ τιμῇ στεφανώσῃ τὴν ἀνθρώπου φύσιν, ὡς εἷς ἐξ ἡμῶν στεφανούμενος καίτοι τῆς δόξης Κύριος ὤν.

Εἰ δὲ δή τις λέγοι μνήμης καὶ ἐπισκοπῆς ἠξιῶσθαι παρὰ τοῦ Θεοῦ Λόγου τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον, εὐεργετῆσθαί τε αὐτὸν καὶ ἠξιῶσθαι τιμῆς ὑπὲρ ἰδίαν φύσιν, κατακομιεῖ μὲν ὥσπερ εἰς γῆν τοῦ μυστηρίου

6. δυνατῶς] Ita Cod.

[114 M.] τὴν δόξαν, πλεῖστον δὲ ὅσον ὀφλήσει γέλωτα. ποῦ γὰρ εἰπέ μοι ψιλὸς ἄνθρωπος ὁ Χριστός; πότε δὲ δίχα τοῦ ἑνωθέντος αὐτῷ νοεῖται Λόγου; ἔστι γὰρ ἐκ μήτρας Ἐμμανουὴλ καὶ οὐ γέγονε τοῦτο κατὰ καιρούς. πῶς οὖν αὐτὸν ἐπισκοπῆς τε καὶ μνήμης ἠξιῶσθαί φασι παρὰ τοῦ Θεοῦ Λόγου; εἶτα διιστάντες τε καὶ διορίζοντες ὁλοτρόπως ἀλοῖεν ἂν καὶ ἀνὰ μέρος, ἡμῖν γυμνὸν τοῦ ἑνωθέντος Λόγου δεικνύντες ἕτερον Χριστὸν καὶ Υἱόν· ἕτερον γὰρ ἀνάγκη νοεῖσθαι τὸν ἐπισκοπῆς αὐτὸν καὶ μνήμης ἠξιωκότα παρὰ
Eph. iv. 5. τὸν ᾧ ταῦτα δέδοται παρ' αὐτοῦ· πῶς οὖν ἔτι Κύριος εἷς μία τε πίστις καὶ ἓν τὸ βάπτισμα; εἰ γὰρ καὶ πολλή τις τῶν φύσεων ἡ διαφορὰ, ἀλλ' ὅ γε τῆς ἑνώσεως τρόπος ἕνα τὸν ἐξ ἀμφοῖν ἔδειξεν Υἱόν. οὐκοῦν εἰ μνήμης ἠξιῶσθαί
S. Judae 19. φαμεν αὐτὸν παρὰ τοῦ Θεοῦ Λόγου, ψυχικοὶ δὴ πάντως ἐσμὲν πνεῦμα μὴ ἔχοντες καθὰ γέγραπται· διορίζομεν γὰρ εἰς δύο τὸν ἕνα. εἰ δὲ ἦν ἐν ἀρχαῖς ὅπερ ἐστὶ καὶ ἐξ αὐτῆς μήτρας Ἐμμανουὴλ, εἰ τὸν τῆς ἑνώσεως μὴ παραδεξόμεθα τρόπον, ἑαυτοῦ δὴ πάντως ὁ Λόγος διαμεμνήσεται, ἑαυτὸν ἠξίωσε τῆς ἐπισκοπῆς, ἑαυτὸν εὐεργετήσας ὁρᾶται, καὶ πολλὴν ἡμῖν ἐν τούτοις τὴν ἀτοπίαν εἰσκομιεῖ τῶν ἐννοιῶν ἡ δύναμις· οὐ γὰρ ἀλλότριον τοῦ Λόγου τὸ σῶμα αὐτοῦ, ἄλλως τε τίς ἄρα ἐστὶν ὁ κεκενῶσθαι λεγόμενος παρὰ τῆς ἁγίας γραφῆς;

Εἰ μὲν οὖν τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἀνὰ μέρος ἡμῖν ἱστάντες, αὐτὸν ὑπομεῖναί φασι τὴν κένωσιν, πῶς ἐκενώθη δεδοξασμένος, εἴπερ ἐστὶ καθ' ἡμᾶς ἀνθρώπῳ τιμὴ καὶ δόξα τὸ ἐπισκοπῆς ἀξιοῦσθαι καὶ μνήμης, ἑνώσεώς τε τυχεῖν τῆς πρὸς Θεόν· εἰ δ' ἐπ' αὐτοῦ λέγοιεν πεπράχθαι τὴν κένωσιν τοῦ Μονογενοῦς, κεκένωταί τι παθών· ᾧ γὰρ τὸ παθεῖν συμβέβηκε, πρέποι ἂν μᾶλλον καὶ τὸ τῆς κενώσεως χρῆμα. σεσώσμεθα τοίνυν δι' ἑαυτῶν, εἴπερ ἐστὶν ἄνθρωπος καθ' ἡμᾶς οὐχ ἑνωθεὶς καθ' ὑπόστασιν τῷ ἐκ

30. τὰ τῆς κενώσεως χρήματα Cr.

Θεοῦ φύντι Λόγῳ, καθάπερ αὐτοί φασιν, ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος. πῶς οὖν Θεὸς ὁ Χριστὸς, εἰ καὶ αὐτὸς μεθ' ἡμῶν ἠξίωται μνήμης τῆς παρὰ Θεοῦ καὶ γέγονεν εἷς τῶν εὐεργετουμένων; καίτοι πρόσιμεν ὡς Θεῷ προσευχόμενοι καὶ τῶν ἄνωθεν ἀγαθῶν αἰτούμενοι τὴν χορηγίαν, ὡς ὅλῃ τῇ κτίσει διανέμοντα θεοπρεπῶς τὰ αἰτήματα.

4. πρόσιμεν emendavi. πρόσειμεν Cod. 7. Quae sequuntur in codice foll. 254, 255, quum S. Cyrillum auctorem partim habere non videantur, partim forte habeant, hic subjungo Τεχνίτης τοίνυν ὑπάρχων ὁ Παῦλος τῆς μυσταγωγίας ὡς ἔφη, δέχεται μὲν ἔσθ' ὅτε εἰς θεωρίαν πνευματικὴν τὰ ἐκ τῆς θεοπνεύστου γραφῆς· χωρήσας δὲ κατὰ μόνων τῶν ὅτι μάλιστα τῷ λόγῳ χρησίμων, σιωπᾷ τὰ ἕτερα, πρέπειν αὐτὰ μᾶλλον ἐκείνοις εἰδὼς περὶ ὧν καὶ γέγραπται, οἷον φέρε εἰπεῖν ἔφη που περὶ τῆς Εὔας καὶ τοῦ Ἀδὰμ τὸ περὶ αὐτῶν γεγραμμένον "Διὰ τοῦτο καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·" προσεπάγει τούτοις αὐτός "Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν, πλὴν καὶ ὑμεῖς οἱ καθένα τὰς ἑαυτῶν γυναῖκας ἀγαπᾶτε, ὡς τὰ ἑαυτῶν σώματα." ἄθρει δὴ καὶ ἐν τούτοις, ὡς οὐκ ἀπίθανον μὲν τῆς εἰκόνος τὸ σχῆμα, πλὴν ἀνόσιον κομιδῆ τῆς Ἀδὰμ παρατροπῆς τὰ ἐγκλήματα περιθεῖναι Χριστῷ, κἂν εἰ γέγονεν ἐκεῖνος προανατύπωσις ὥσπερ τι καὶ μέρος τῆς ἐπ' αὐτῷ θεωρίας· ἀλλ' οὐδὲ ἐκεῖνο οἶμαι σοφὸν ἢ καὶ ἀληθὲς εἰπεῖν, ὡς ἠξίωται κατὰ πρόγνωσιν τὴν ἐν Θεῷ νοουμένην ἐπισκοπῆς τε [τε om. Cr.] καὶ μνήμης, ὁ ἐκ τῆς ἁγίας παρθένου γεγεννημένος ἄνθρωπος ἰδικῶς, κατά γε τὸ ἐκείνοις εὖ ἔχειν ὑπειλημμένον.

Ὅτι μὲν γὰρ προέγνωστο τῷ Θεῷ καὶ Πατρὶ καὶ μὴν καὶ αὐτῷ τῷ Υἱῷ τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, ἐνδοιάσειεν ἂν οὐδεὶς, καὶ ἐξ αὐτοῦ τοῦ εἰκότος καὶ τοῦ τῇ θεότητι πρέποντος ἀναπεπεισμένος. τί γὰρ ἄποπτον αὐτῇ; τί δαὶ τῶν ἐσομένων οὐκ ᾔδει καὶ πρὶν εἰς πέρας [ἑσπέρας Cr.] ἐλθεῖν; προσεμπεδοῖ δὲ ἡμᾶς καὶ ὁ μακάριος Παῦλος αὐτὸ τοῦτο γράφων ἐν τῇ πρὸς Ἐφεσίους Ἐπιστολῇ, κἂν τῇ δευτέρᾳ πρὸς Τιμόθεον ὁμοίως, προωρίσμεθα γὰρ ἡμεῖς δι' αὐτοῦ τοῦ Χριστοῦ πρὸς υἱοθεσίαν· καὶ γέγονεν ἡμῖν πρωτότοκος, ἵν' ἡμῖν ἀνθρωπίνως συντάττηται, καίτοι Θεὸς ὢν φύσει καὶ Υἱὸς ἀληθῶς. οὐχ εὑρήσομεν δὲ κατὰ πρόγνωσιν ἄνθρωπον αὐτὸν ὠνομασμένον ἁπλῶς, γυμνὸν δὴ λέγω καὶ δίχα τοῦ ἑνωθέντος αὐτῷ καθ' ὑπόστασιν Λόγου, καὶ οὐ μνήμης αὐτὸν ἢ ἐπισκοπῆς ὡς ἕνα τῶν καθ' ἡμᾶς ἠξιῶσθαί φαμεν· ἐκεῖνο δὲ μᾶλλον περινοήσωμεν εὐσεβῶς· ἐθελήσας γὰρ ὁ ἐκ Θεοῦ Λόγος ἐν εὐδοκίᾳ Πατρὸς ἄνθρωπος γενέσθαι καθ' ἡμᾶς, "ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου," ἴδιον ἐποιήσατο σῶμα τὸ τοῖς θανάτου δεσμοῖς ὑποκείμενον, ἵνα καὶ ὑπὲρ πάντων εἰς ὀσμὴν εὐωδίας ἑαυτὸν ἀναθεὶς, διὰ τῆς ἰδίας σαρκὸς καταργήσῃ θάνατον.

Φασὶ δὲ καὶ τοῦτο καὶ διατείνεσθαι τεθαρρήκασιν, ὅτι δὴ πάλιν ὁ ἐκ Θεοῦ Λόγος, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, τὸν ἐκ τῆς ἁγίας παρθένου γεγεννημένον ἄνθρωπον τετελείωκε διὰ παθημάτων, ὡς τῆς σωτηρίας ἡμῶν ἀρχηγόν· ψευδοεπῆ που πάντως ἀποφαίνοντες τὸν προφήτην λέγοντα "Οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς." ποῦ γὰρ ἔτι σέσωκεν ἡμᾶς αὐτὸς ὁ Κύριος, εἰ δι' ἑνὸς τῶν καθ' ἡμᾶς, καὶ ἐν ὁμοδούλῳ σεσώσμεθα; ἑνώσει μὲν γὰρ τῇ καθ' ὑπόστασιν ἐν Χριστῷ τὸ ἀνθρώπινον τῇ τῆς ἀληθοῦς κυριότητος στεφανοῦται τιμῇ. καθήκετο γὰρ ἐν τῇ τοῦ δούλου μορφῇ, καίτοι κατὰ φύσιν ἐλεύθερος ὢν ὁ ἐκ Θεοῦ Λόγος, ἵνα δοξάσῃ τὸ δοῦλον, καὶ τῆς ἐνούσης εὐγενείας αὐτῷ τὴν λαμπρότητα προξενήσῃ τῇ φύσει. εἰ δὲ δή τις ἀποστήσει ἐκ τῆς πρὸς Θεὸν ἑνώσεως ἀληθοῦς τὸ ἀνθρώπινον, ἕψεται δὴ πάντως οὐκ ἐν κυριότητι· πόθεν; ἀλλ' ἐν τοῖς τῆς δουλείας αὐτὸ καταθήσεται μέτροις. ὅτε τοίνυν σέσωκεν ἡμᾶς αὐτὸς ὁ Κύριος κατὰ τὰς γραφὰς, τί παραιτοῦνται τὸν σεσωκότα τῆς ὅτι μάλιστα πρεπούσης εὐκλείας αὐτῷ; παύσασθε διορίζοντες τοῦ Λόγου τὸ ἀνθρώπινον, ἵνα μὴ κοινὸν ἄνθρωπον σωτῆρα καὶ λυτρωτὴν τῷ βίῳ [τῶν βίων Cr.] κηρύττητε.

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς καὶ αὐτὸς παραπλησίως.

Ἀλλὰ ναί, φασί, τετελείωκε τὸν ἄνθρωπον διὰ παθημάτων ὁ Λόγος· αὐτὸς γάρ ἐστιν ὁ δι' οὗ τὰ πάντα, καὶ πρέποι ἂν μᾶλλον ἐπ' αὐτοῦ νοεῖσθαι τὰς τοῦ Παύλου φωνάς.

Τί δαί, εἰπέ μοι, τό Δι' οὗ τῷ πατρὶ προσνέμοντες ἀδικήσομεν; καίτοι γεγραφότος Παύλου "πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ" καὶ πάλιν "ἄρα οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς καὶ κληρονόμος διὰ Θεοῦ." ὅτι δὲ καὶ αὐτὸς ὁ μυσταγωγὸς ἐπ' αὐτοῦ τέθεικε τοῦ Πατρὸς τό "Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα," καὶ τὰ τούτοις ἐφεξῆς, ἐξ αὐτῆς εἰσόμεθα τῆς τῶν γεγραμμένων ἀκολουθίας· ἔφη γὰρ ὡδί "Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου" εἶτα Θεὸν ὀνομάσας τὸν Πατέρα, καὶ τὴν αὐτοῦ μνήμην εἰσκεκομικὼς, προσεπάγει πάλιν "ἔπρεπε γὰρ αὐτὸν δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα." Lacuna per rasuram cod. . . . . *"ἐξ αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα" κατὰ τὸ γεγραμμένον.*

Ἀλλ' ἴσως ἐκεῖνο φαῖεν ἂν Οὐ γάρ ἐστι Θεὸς ὁ Υἱός; πῶς οὖν τὸν Πατέρα φῂς σημαίνεσθαι μόνον, διά γε τοῦ Θεὸν ὠνομάσθαι, παρά γε τοῦ μακαρίου Παύλου;

Καὶ πρός γε τοῦτο ἐροῦμεν τοσὸν δὴ [δὲ Cr.] *τουτὶ, καὶ μάλα ὀρθῶς Οὐ γάρ ἐστι Θεὸς ὁ Πατήρ; εἶτα, πῶς ἄνω τιθεὶς τὸ Θεὸς ὄνομα πάντη τε καὶ πάντως τῷ Υἱῷ; ἀλλ' ὅτι μὲν τό Δι' οὗ πρέποι ἂν οὐχὶ μόνῳ τῷ Υἱῷ, τέθειται δὲ πλειστάκις καὶ ἐπ' αὐτοῦ τοῦ Πατρὸς ἀποχρώντως ἡμῖν ἀποδέδεικται· πλὴν ἐκεῖνό φαμεν· ἔθος τῷ μακαρίῳ Παύλῳ διαμνημονεύοντι τοῦ Υἱοῦ, τῇ τοῦ Θεοῦ κλήσει τὸν Πατέρα δηλοῦν ὅτε σιωπᾷ τό Πατήρ. ἐπιστέλλει γοῦν Κορινθίοις, Ἐφεσίοις, Κολοσσαεῦσι "Παῦλος Ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ·" καὶ μὴν καὶ Γαλάταις "Ὅτε εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι."*

Ὅτε τοίνυν ἐστὶ τὸ κωλύον οὐδὲν τῇ τοῦ Θεοῦ κλήσει κατονομάζεσθαι τὸν Πατέρα, Θεοῦ κατὰ φύσιν ὑπάρχοντος καὶ αὐτοῦ τοῦ Υἱοῦ· τί μὴ μᾶλλον παρὰ τοῦ Πατρὸς τετελειῶσθαί φαμεν διὰ παθημάτων τὸν Υἱόν; ἐνηνθρώπησε γὰρ αὐτὸς, καὶ μορφὴν δούλου λαβὼν πέπονθεν ὑπὲρ ἡμῶν σαρκὶ κατὰ τὰς γραφάς· καίτοι κατὰ φύσιν ἰδίαν ὑπομεμενηκὼς τῶν παθημάτων οὐδὲν, καθ' ὃ καὶ Θεὸς νοεῖται, καὶ ἔστι Λόγος τοῦ Πατρός. ταύτης ἕνεκεν τῆς αἰτίας σαρκὶ πεπονθέναι φαμὲν τὸν ἐπέκεινα τοῦ παθεῖν· ἔφη γάρ που καὶ ὁ μακάριος Πέτρος "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί." καὶ ἐπειδὴ ὁ πάσης ὁμοῦ τῆς κτίσεως κατὰ φύσιν ἰδίαν ἐξῃρημένος ὡς Θεὸς κεκενῶσθαι λέγεται, καὶ κατέβη πρὸς ἀνθρωπότητα, ταύτῃ τοι καὶ πολλοῖς ἀδελφοῖς συντέτακται, καὶ ὁ μόνον ἔχων τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς Υἱὸν, πολλῶν ἠξίωσε γενέσθαι Πατήρ. ἀλλ' ἐξῄρηται θεϊκῶς τοῖς ἄλλοις Χριστὸς Ἰησοῦς, εἰ καὶ ἀνθρωπίνως αὐτοῖς συντάττοιτο, οὕτω γὰρ ἔσονται "Καὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες·" ἕνα γὰρ ἐσχήκαμεν σὺν αὐτῷ τὸν Πατέρα, ὃς εἰ καὶ γέγονεν ἡμῶν φιλανθρωπίᾳ τε καὶ χάριτι πατὴρ, ἀλλ' οὖν ἐστιν ἰδικῶς καὶ μόνου Πατὴρ Ἰησοῦ Χριστοῦ, τουτέστι σαρκὸς γεγονότος τοῦ Λόγου κατὰ τὰς γραφάς. ἐπειδὴ δὲ, ὡς ἔφην, ἕνα Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς αὐτός τε καὶ ἡμεῖς ἐσχήκαμεν, "οὐκ ἐπαισχύνεται ἡμᾶς ἀδελφοὺς ἀποκαλεῖν, λέγων Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου·" καίτοι πῶς ἐναργὲς, ὡς εἴπερ ἦν ἀληθῶς μέχρι τῆς ἀνθρωπότητος μόνης τῆς Χριστοῦ δόξης τὸ μέτρον, οὐκ ἂν ἐπαισχύνθη καλεῖν ἀδελφοὺς, οἷς τοῦτο καὶ μόνη προὐξένησεν ἂν ἡ φύσις, καὶ οὐ διδόντος αὐτοῦ; ὡς γὰρ ὁ προφήτης φησί "Θεὸς εἷς ἔκτισεν ἡμᾶς, καὶ Πατὴρ εἷς πάντων ἡμῶν," ἔχοι ἂν τὸν εἰκότα λόγον τὸ ἐπαισχύνεσθαι καλεῖν ἀδελφοὺς τοὺς ἐν μέτραις ὄντας τοῖς οἰκετικοῖς, τὸν ἐκ Θεοῦ κατὰ φύσιν ἐλεύθερον· τοὺς ἐκ γῆς, τὸν ἄνωθεν· τοὺς ἐκ τοῦ κόσμου, τὸν μὴ ὄντα ἐκ τοῦ κόσμου τούτου, κατὰ τὴν αὐτοῦ φωνήν· τοὺς ἐν ἁμαρτίαις ὄντας, τὸν ἀνιέντα πλημμελήματα· τοὺς ἁγιασμοῦ δεομένους, τὸν ἁγιάζειν ἰσχύοντα· τοὺς ὑπὸ θάνατον καὶ φθορὰν, τὸν

[114 M.]

Ἀναγκαῖον οἶμαι πρό γε τῶν ἄλλων πολυπραγμονῆσαι
λεπτῶς περὶ ποίων αὐτῷ παιδίων ὁ λόγος, ἃ δὴ σαρκός τε
καὶ αἵματος κεκοινωνηκέναι φησὶ καὶ τίς ὁ παραπλησίως
μετεσχηκὼς τῶν αὐτῶν. ὅτε τοίνυν ὁ Μονογενὴς τοῦ Θεοῦ
Λόγος καίτοι Θεὸς καὶ Κύριος ὢν κατὰ φύσιν καὶ σύνεδρος
τῷ Θεῷ καὶ Πατρὶ καθῆκεν αὐτὸν εἰς τὸ τῆς ἀνθρωπότητος
μέτρον, συντέτακται δὲ διὰ τοῦτο καὶ ὡς ἀδελφὸς τοῖς
κεκλημένοις διὰ πίστεως εἰς υἱοθεσίαν Θεοῦ· τότε δὴ τότε
τῆς οἰκονομίας τὸ εὐτεχνὲς εὖ μάλα τετηρηκὼς ἔφασκε περὶ
ἡμῶν ποτὲ μὲν ὅτι "Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς Supra ver. 12.
"μου," ποτὲ δέ "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Ib. 13.
"Θεός."

Παραδέδοται γὰρ αὐτῷ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς τὰ
πάντα, καὶ κλῆρος αὐτοῦ γεγόναμεν καίτοι πάλαι "μερίδες Ps. lxii. 11.
"ἀλωπέκων" ὄντες, καθά φησιν ὁ Δαυείδ. ὑπεκείμεθα γὰρ
οὐχ ἑκόντες οἱ δείλαιοι τοῖς τῶν δαιμονίων ἀγέλαις· ἀλλ'
αἵματι τῷ ἰδίῳ πάντας ἡμᾶς κατεκτήσατο καὶ κεκληρονό-
μηκεν ὁ Χριστός. καὶ γοῦν ἔφη πρὸς τὸν ἐν τοῖς οὐρανοῖς
Πατέρα καὶ Θεόν "Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ S. Joan. xvii. 6.
"ἦσαν κἀμοὶ αὐτοὺς δέδωκας, κἀγὼ τὴν δόξαν ἣν δέδωκάς Ib. 22.
"μοι δέδωκα αὐτοῖς." καίτοι γὰρ Υἱὸς κατὰ φύσιν ὑπάρχων
χάριτι μεθ' ἡμῶν τῆς τοιᾶσδε δόξης μετεσχηκέναι φησὶ διὰ
τὸ ἀνθρώπινον, πλὴν μεμενηκὼς ὅπερ ἦν δέδωκεν ἡμῖν τὴν
ἑαυτοῦ δόξαν. κατεσφράγισε γὰρ τῷ ἰδίῳ Πνεύματι πρὸς
υἱοθεσίαν καὶ ἐν αὐτῷ "κράζομεν Ἀββᾶ ὁ πατήρ." οὐκοῦν Rom. viii. 15.
ἡμεῖς οἱ ἐν τέκνοις ἠριθμημένοι Θεοῦ κεκοινωνήκαμεν αἵμα-
τος καὶ σαρκὸς, τουτέστιν ἐν αἵματί τε ἐσμὲν καὶ σαρκὶ καὶ
ἐν φθαρτοῖς καὶ γηΐνοις σώμασι. ταύτης ἕνεκα τῆς αἰτίας

"ἐν ᾧ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν." ἐπειδὴ δὲ κεκένωκεν ἑαυτὸν, οὐκ ἐπαισχύνεται λέγων "Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου·" καὶ πάλιν "Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός." γεγόναμεν γὰρ υἱοὶ Θεοῦ, καὶ ἐσμὲν ὑπὸ χεῖρα τοῦ πάντων ἡμῶν Σωτῆρος.

1. e c. fol. 255 v. qui ὁ μακάριος κύριλλός φησιν praemittit. 25. κράξομεν Cr. 26–p. 394, 3 citant Cod. Sinaiticus aliique Catenam Oecumenicam continentes, vide et in Maio supra p. 104 e Cod. Vaticano 2062 fol. 187. 27. τε om. Catenae cet.

[114 M.] καὶ αὐτὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος ζωὴ κατὰ φύσιν ὑπάρχων μετέσχε τῶν αὐτῶν καὶ οὐ καθ' ἕτερον τρόπον ἀλλὰ παραπλησίως ἵνα καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.

Ἐπειδὴ γὰρ οὐχ ἑτέρως ἦν δύνασθαι τὸ θανάτῳ καὶ φθορᾷ καὶ ἁμαρτίᾳ κατισχημένον ἀνακομίζεσθαι πρὸς τὸ ἐν ἀρχαῖς πλὴν ὅτι διὰ μόνου Χριστοῦ, τῆς ἐνανθρωπήσεως τὸ μυστήριον ὡς ἐν καιρῷ καθήκοντι πληροῦσθαι λοιπὸν παρ- [Ps. ix. 22.] εκάλει λέγων ὁ μακάριος Δανείδ "Ἵνα τί, Κύριε, ἀφέστηκας "μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσι;" ταύτητοι Ἐμμανουὴλ κέκληται· οὐ γὰρ ἀφέστηκεν ἔτι μακρόθεν ἀλλὰ δὴ γέγονεν ἐγγύστερον μεθ' ἡμῶν ἄνθρωπος πεφηνὼς ὁ τοῦ Θεοῦ Λόγος. *παραπλησίως γὰρ ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς*, ἐπειδὴ θανάτῳ καὶ φθορᾷ κεκράτηται τὸ ἐπὶ γῆς γένος τουτέστιν ὁ ἄνθρωπος, καὶ τῷ Θεῷ τῷ πάντων ἐδόκει [Eph. i. 10.] διὰ πολλὴν ἡμερότητα καὶ φιλανθρωπίαν "ἀνακεφαλαιώσα- "σθαι τὰ πάντα ἐν τῷ Χριστῷ" ἵνα λοιπὸν ἀτονήσῃ θάνατος καὶ ὡς ἐν πρώτῳ τῷ Χριστῷ παραχωρῶν εὑρίσκηται [forte τὸ] τῷ νικᾶν τοῖς ἐπιγείοις σώμασιν.

Οὕτω γὰρ οὕτω εἰς ἅπαν ἡμῶν τὸ γένος ἡ τῆς ἀφθαρσίας δύναμις κατευρύνεται, καὶ πιστώσεται γράφων ὁ θεσπέσιος [1 Cor. xv. 21.] Παῦλος "Ἐπειδὴ δι' ἀνθρώπου θάνατος καὶ δι' ἀνθρώπου "ἀνάστασις νεκρῶν." ἔδει γὰρ ἔδει τὸ πεπονθὸς θεραπεύεσθαι καὶ διὰ τῆς τῷ θανάτῳ τυραννουμένης σαρκὸς καταργεῖσθαι θάνατον. ὥσπερ γὰρ ἐν Ἀδὰμ προσκρούσασα διὰ τὴν παράβασιν πέπτωκεν ὑπὸ θάνατον οὕτως ἐπειδὴ γέγονεν εὐδόκιμος ἐν Χριστῷ διὰ τὴν ὑπακοήν, τῶν τοῦ θανάτου βρόχων ἐξήρηται καὶ τῶν ἐκείνου δειμάτων ὡς [Ib. 55.] ἐπ' αὐτοῖς ἀνασκιρτῶντας ἡμᾶς ἐκεῖνο βοᾶν "Ποῦ σοι θάνατε "τὸ νῖκος, ποῦ σου ᾅδη τὸ κέντρον;" ζωὴ γὰρ ὑπάρχων

1. *καὶ αὐτὸς* om. Catt. cet. 3. *παραπλησίως*] + *ἡμῖν* (ita desinentes) Catt. cet. 6. *κατεσχημένον* Cr. 12. *ἐγγύστερον*] Aut *ἐγγύστερον* aut *ἐγγύς τὲ* exhibere videtur Cod. *ἐγγύτερον* exhibet Cr. 28. *ἐξήρτηται* Cr. 29. legendum ut videtur *σου*.

[114 M.]

οὐσιωδῶς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος ἥνωσεν ἑαυτὸν τῇ γηΐνῃ καὶ ἀποθνησκούσῃ σαρκὶ, ἵνα καὶ αὐτῇ καθάπερ τι τῶν ἀτιθάσων θηρίων ἐπιδραμὼν ὁ θάνατος ἀτονήσῃ λοιπὸν ἡττώμενος. οὐ γὰρ ἦν δύνασθαι παραχωρεῖν τῷ θανάτῳ τὴν ζωήν. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται ἀλλὰ σπέρμα- ver. 16. τος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ver. 17. ἀδελφοῖς ὁμοιωθῆναι. εἰ μὴ γέγονεν ἄνθρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, ἥνωσε δὲ μᾶλλον ἑαυτῷ τὸ ἀνθρώπου πρόσωπον, καθὰ δοκεῖ τοῖς διορίζουσιν ὡς ἐν εὐδοκίᾳ μόνῃ καὶ τῇ κατὰ θέλησιν ῥοπῇ, πῶς ὡμοίωται κατὰ πάντα τοῖς ἀδελφοῖς, μᾶλλον δὲ πῶς ἂν ὅλως νοοῖτο καὶ ἀδελφὸς ὁ παντὸς ἐπέκεινα γενητοῦ καὶ ἀσυγκρίτοις ὑπεροχαῖς, ταῖς κατὰ φύσιν λέγω, τὴν κτίσιν ὑπερκείμενος; πῶς κεκοινώνηκεν αἵματος καὶ σαρκὸς εἰ μὴ γέγονεν ἴδια ταῦτα αὐτοῦ καθὰ καὶ ἡμῶν; εἷς οὖν ἄρα ἐστὶν Υἱὸς καὶ Κύριος ἑνώσει τῇ καθ' ὑπόστασιν συνενεχθέντος τοῦ Λόγου πρὸς τὸ ἀνθρώπινον σαρκός τε καὶ αἵματος κεκοινωνηκότος, ὁμοιωθέντος τε κατὰ πάντα τοῖς ἀδελφοῖς.

Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς. 17 sqq.

Μωυσῆς μὲν ὁ θεσπέσιος διὰ τύπου καὶ σκιᾶς ἐνῆκεν εἰς θεογνωσίαν τὸν Ἰσραὴλ καὶ τῆς ἐν νόμῳ δικαιοσύνης παρέδειξε τὴν ὁδὸν, ἀλλ' ἦν ἰσχνόφωνος καὶ βραδύγλωσσος· διὰ τοῦτο γνωστὸς ἦν τὸ τηνικάδε τοῖς κατὰ μόνην τὴν Ps. lxxv. 2. Ἰουδαίαν ὁ τῶν ὅλων Θεὸς, καὶ ἀπὸ Δὰν καὶ ἕως Βιρσαβεὲ καὶ ποταμοῦ καὶ θαλάσσης· ὅροι γὰρ οὗτοι τῆς Ἰουδαίων γῆς· μέγα τε ἦν καὶ γνωριμώτατον τὸ ὄνομα αὐτοῦ. καὶ Ib. τοῦτο ἰδὼν ὁ προφήτης Δαυεὶδ ψάλλει που καί φησι πρὸς αὐτὸν περὶ τῶν ἐξ Ἰσραήλ "Ἄμπελον ἐξ Αἰγύπτου μετῆ- Ps. lxxix. 9. "ρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν·" προσεπάγει δὲ τούτοις, ποταμῷ Εὐφράτῃ καὶ μὴν καὶ θαλάσσῃ τῇ πρὸς

8. ἑαυτοῦ Cr. 10. ὁμοίωται Cr. 20. e c. fol. 258 v. qui ὁ μακάριος δὲ κύριλλος praemittit.

[114 M.] [Ps. lxxix. 12.] νότον καὶ Ἰνδικῇ τερματίζων τὴν Ἰουδαίων "Ἐξέτεινε τὰ "κλήματα αὐτῆς ἕως θαλάσσης καὶ ἕως ποταμῶν τὰς παρα- "φυάδας αὐτῆς." συνεσταλμένον οὖν ἄρα καὶ εἰς μόλις διῆκον ἔθνος τὸ τοῦ πανσόφου Μωυσέως ὁρᾶται κήρυγμα, προσετίθει δὲ τοῖς κεκλημένοις τῆς εὐπειθείας τὰ γέρα καὶ τῆς ἐν νόμῳ ζωῆς ἀμοιβὰς τὰ πρόσκαιρα καὶ εὐμάραντα· γῆν δέ φημι τὴν τῆς ἐπαγγελίας ὀνομάζειν πανταχῆ. καὶ δεδικαίωκε μὲν ὁ νόμος οὐδένα· δικαιοῦται γὰρ οὐδεὶς ἐν [Infra x. 4.] νόμῳ παρὰ Θεοῦ καί ἐστιν "ἀδύνατον αἷμα τράγων καὶ "ταύρων ἀφαιρεῖν ἁμαρτίας·" ὁ δέ γε Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐλεήμων γέγονε καὶ πιστὸς ἀρχιερεὺς εἰς τὸ ἱλάσκε- [ver. 18.] σθαι τὰς ἁμαρτίας τοῦ λαοῦ καὶ ἐν ᾧ γέγονεν αὐτὸς πειρασθεὶς βεβοήθηκε τοῖς πειραζομένοις. κέκληκε μὲν γὰρ ἁγίᾳ καὶ ἐπουρανίῳ κλήσει τὴν οἰκουμένην, ἐλεήμων δὲ γέγονεν ἀρχιερεὺς, ὅτι μὴ νόμου διάκονος ἦν τοῦ κατακρίνοντος, ἀμνησικάκῳ δὲ μᾶλλον χάριτι καὶ ἀγάπῃ δεδικαίωκε διὰ πίστεως καὶ τῶν ἀρχαίων ἡμῖν πταισμάτων δεδώρηται τὴν ἀπόνιψιν. ἐλεήμων γὰρ ὢν ἀεί τε καὶ φύσει, τέθειται μεσίτης ἡμῶν καὶ Θεοῦ διὰ τῆς ἐνανθρωπήσεως ὁ Μονογενὴς αὐτοῦ Λόγος, ἵν' ὥσπερ ἀεὶ χρηστός τε καὶ ἐλεήμων ἦν, οὕτω δὴ πάλιν ἀρχιερεὺς ἀναδεδειγμένος κατοικτείρῃ τοὺς ἐπὶ τῆς γῆς, τὰ φίλα τε αὐτῷ καὶ συνήθη δρῶν. καὶ τῶν ἰδίων οὐκ ἐξιστάμενος ἀγαθῶν, ἵλεω δὲ καὶ αὐτὸν ἡμῖν τὸν ἐν τοῖς οὐρανοῖς ἀποφήνῃ Πατέρα. γέγονε δὲ καὶ πιστὸς κατὰ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς, ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας προσαγαγὼν καὶ τὰς πάντων ἡμῶν ἁμαρτίας ἀνενεγκὼν [1 S. Pet. ii. 24.] "ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον," καθὰ γέγραπται· βεβοήθηκε γὰρ οὕτω τοῖς πειραζομένοις ἐν ᾧ πέπονθεν αὐτὸς [Ib.] πειρασθεὶς, τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, κατὰ τὸ γεγραμμένον. νοείσθω δὴ οὖν ἐν τούτοις τό πειρασθεὶς ἀντὶ τοῦ πεπονθὼς ἤτοι πειρασμὸν τὸν ἐκ τῶν σταυρωσάντων ὑπενεγκών· δοὺς γὰρ ὑπὲρ πάντων τὸ ἐν ᾧ πέπονθε σῶμα,

1. Ἰουδαίαν Cr. 4. ἔθνος] legendumne ἔθνος ἐν ? 11. ὁ omisit Cr.

πάντας ἡμᾶς ἠλευθέρου καὶ θανάτου καὶ ἁμαρτίας καὶ πειρασμῶν. οὐκοῦν βεβοήθηκε τοῖς πειραζομένοις εἷς ὑπὲρ πάντων ἀποθανὼν, ὁ πάσης τῆς κτίσεως ἀξιώτερος, “ἵν’ οἱ [2 Cor. v. 15.] ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.”

Ὅτι γὰρ ἁγίους ἡμᾶς ἀποτελῶν σαρκὶ πέπονθεν ὁ Χριστὸς, πληροφορήσει λέγων ὁ θεσπέσιος Παῦλος τοῖς ἐξ ἐθνῶν τε καὶ Ἰουδαίων “Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλο- [Col. i. 21–23.] τριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, εἴ γε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε.” σοφὸν οὖν ἄρα τοῖς κεκλημένοις εἰς ἐλπίδα ζῶσαν καὶ μένουσαν εἰπεῖν *Ὅθεν ἀδελφοὶ κλήσεως ἐπουρανίου μέτοχοι* [Cap. iii. 1.] *κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν καθὰ καὶ Μωυσῆς ἐν* [ver. 2.] *τῷ οἴκῳ αὐτοῦ.* ἐπουράνιον δὲ καὶ μάλα εἰκότως ὀνομάζει κλῆσιν τὴν διὰ Χριστοῦ· χαριεῖται γὰρ ὁ τῶν ὅλων Θεὸς τοῖς δι’ αὐτοῦ κεκλημένοις, οὐ πρόσκαιρα καὶ εὐμάραντα καὶ ὅσα τοῖς ἀρχαιοτέροις ὁ διὰ Μωυσέως ἐδίδου νόμος, ἀλλ’ ὅσα τοῖς ἅπαξ ἠξιωμένοις ἑλεῖν εἰς μακραίωνα βίον συνεκτείνεται καὶ ἀναπόβλητον ἔχει τὴν κτῆσιν. κεχρηματίκαμεν δὲ καὶ ἑτέρως ἐπουράνιοι, Χριστοῦ πρωτεύοντος καὶ ὁδοῦ καὶ θύρας ἡμῖν γεγονότος. καὶ γοῦν ὁ Παῦλός φησι “Καὶ καθὼς [1 Cor. xv. 49.] ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου,” καὶ πάλιν “Ὁ πρῶτος ἄνθρωπος [Ib. 47, 48.] ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι.” γεγόναμεν τοίνυν ἐπουράνιοι, μορφούμεθα γὰρ εἰς Χριστὸν διὰ Πνεύματος, ὅς ἐστιν ἐξ οὐρανοῦ· διὰ

27. φορέσωμεν exhibet c.

[114 M.]

Phil. iii. 20. τοῦτο καὶ περιπατοῦντες ἐπὶ γῆς, ἔχομεν "ἐν οὐρανοῖς τὸ "πολίτευμα." οὐ γὰρ τοῖς ἀρχαίοις ἐν ἴσῳ προσεληλύθαμεν Infra xii. 18. ἡμεῖς "ψηλαφωμένῳ πυρὶ καὶ γνόφῳ καὶ ζόφῳ καὶ θυέλλῃ "καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων," προσεληλύθαμεν Ib. 22–24. δὲ μᾶλλον "Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ "ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων πανηγύρει καὶ ἐκκλησίᾳ "πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς καὶ κριτῇ Θεῷ "πάντων καὶ πνεύμασι δικαίων τετελειωμένων καὶ διαθήκης "νέας μεσίτῃ Ἰησοῦ καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι "παρὰ τὸ Ἄβελ." τὸ μὲν γὰρ αἷμα τοῦ Ἄβελ κατεκέκραγει τοῦ φονευτοῦ καὶ ἀδελφοκτόνου, λαλεῖ δὲ τὰ ἐκείνου κρείττονα τὸ τίμιον αἷμα, μόνον γὰρ οὐχὶ καὶ ἐξαιτεῖ τῷ κόσμῳ τὸν ἐκ Πατρὸς ἔλεον καὶ ῥεραντίσμεθα δι' αὐτοῦ πρὸς δικαίωσιν.

Κατανοήσωμεν τοίνυν τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν· ἀρχιερέα δηλονότι καὶ ἀπόστολον, ὃς καὶ γέγονε πιστὸς καὶ μέχρι θανάτου καὶ σταυροῦ, καθεὶς ἑαυτὸν ἐν εὐδοκίᾳ Πατρὸς ἵνα καὶ ἡμᾶς ἑαυτοῦ καταστήσῃ μιμητὰς, οὐ δι' αὐτὸν δεδιότας ὑπομεῖναι τὸν θάνατον, εἰ προσίοι κατὰ καιροὺς δι' εὐσέβειαν καὶ ὑπακοήν τινος πρὸς Θεόν. συλλήψεται δὲ 1 S. Pet. ii. 21. πρὸς τοῦτο ἡμῖν καὶ ὁ μακάριος Πέτρος οὕτω λέγων "Εἰς "τοῦτο γὰρ καὶ ἐκλήθητε ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν "ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς S. Matth. xvi. 24. "ἴχνεσιν αὐτοῦ," καὶ αὐτὸς δέ φησιν ὁ Σωτὴρ "Εἴ τις "θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω "τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι."

Τὸ γεμὴν ὠνομάσθαι πιστὸν τὸν Υἱὸν, ἀδικήσειεν ἂν οὐδὲν τὴν δόξαν αὐτοῦ, θεοπρεπεστάτην γὰρ οὖσαν τὴν λέξιν κατίδοι τις ἂν καὶ ἐπ' αὐτοῦ δὲ κειμένην τοῦ Θεοῦ Deut. xxxii. 4. καὶ Πατρός· γέγραπται γοῦν ὅτι "Θεὸς πιστὸς καὶ οὐκ

13. ῥεραντίσμεθα exhibet c. 19. αὐτον (err.) Cr. 23. ἡμῶν ἡμῖν exhibet c. 27. αὐτοῦ (err.) Cr. 28. τὸ emendavi. τῷ Ed.

[114 M.]

“ἔστιν ἀδικία ἐν αὐτῷ, δίκαιος καὶ ὅσιος ὁ Κύριος·” ἔφη δέ τις καὶ τῶν Χριστοῦ μαθητῶν “Ὥστε καὶ οἱ πάσχοντες “κατὰ τὸ θέλημα τοῦ Θεοῦ πιστῷ κτίστῃ παρατιθέσθωσαν “τὰς ψυχὰς αὐτῶν,” καὶ μὴν καὶ ὁ Παῦλος “Πιστὸς ὁ “Θεὸς δι’ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ.” τί γὰρ ἕτερον ἐν τούτοις ἡμῖν σημαίνει τό Πιστὸς ἢ τὸ ἀσφαλής τε καὶ βέβαιος καὶ ἀξιόχρεως εἰς πίστιν ὧν ἂν λέγοι τυχὼν ἢ ὧν ἂν ἕλοιτο κατορθοῦν; γέγονε δὲ τοιοῦτος ὁ Υἱὸς τῷ Πατρὶ καὶ ἐν ἀνθρωπότητι καθιγμένος, καὶ σταυρὸν καὶ θάνατον ἀνατλὰς ἵνα κατορθώσῃ τὸ αὐτῷ δοκοῦν. ἔφη γοῦν “Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ “θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με· τοῦτο “δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με ἵνα πᾶν ὃ δέδωκέ μοι “μὴ ἀπολέσω ἐξ αὐτοῦ ἀλλ’ ἀναστήσω αὐτὸ τῇ ἐσχάτῃ “ἡμέρᾳ.” δεδόμεθα γὰρ ὡς Σωτῆρι καὶ ζωοποιῷ τῷ Υἱῷ, καὶ τοῦτο ἦν ἔργον αὐτῷ παρὰ τοῦ Πατρός· ἐνεργεῖ γὰρ δι’ Υἱοῦ πᾶν ὅτι ἂν βούλοιτο κατορθοῦσθαι θεοπρεπῶς ὅτι καὶ δύναμις αὐτοῦ ἐστι καὶ σοφία. διὰ τοῦτο καὶ αὐτὸς ἔφασκεν ὁ Υἱός “Ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ Ἰωάννου, τὰ “γὰρ ἔργα ἃ δέδωκέ μοι ὁ Πατὴρ ἵνα τελειώσω αὐτὰ τὰ “ἔργα ἃ ἐγὼ ποιῶ μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ Πατήρ με “ἀπέστειλε·” ψάλλει δέ που καὶ ὁ Δαυείδ “Ἔντειλαι ὁ Θεὸς “τῇ δυνάμει σου, δυνάμωσον ὁ Θεός τοῦτο ὃ κατειργάσω ἐν “ἡμῖν.”

[Marginal references: 1 S. Pet. iv. 19. — 1 Cor. i. 9. — forte τυχὸν — S. Joan. vi. 38, 39. — Ib. v. 36. — Ps. lxvii. 29.]

Φέρε δὲ πολυπραγμονήσωμεν εἰ δοκεῖ, τίς δὴ ἄρα καὶ ἐπὶ τίσι γέγονε τῷ Υἱῷ τῆς ἱερατείας ὁ τρόπος, πότερον δουλοπρεπὴς καὶ τῆς ἑτέρου δόξης ὑπουργὸς, ἢ μᾶλλον τῷ Υἱῷ τὰ κατὰ φύσιν ἁρμοδιώτατος καὶ τοῖς τῆς ἐνανθρωπήσεως λόγοις οὐκ ἀσύμβατος. οἱ μὲν γὰρ πάλαι κατὰ τὸν Μωσέως δοθέντα νόμον ἱερουργοῦντες Θεῷ ὡς ἐν τύπῳ καὶ σκιᾷ προσῆγον λατρείας, αὐτὸν ἱερωμένοι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ

4. καὶ alt. omittit Cr. 10. Theodoriti scholion e margine c. hic interpellit Cramerus. 15. δεδέμεθα (errore) Cr. 30. ἱερουργοῦντες] ἱερουργοῦν τῷ (mendose) Cr.

[114 M.] εἰς ὀσμὴν εὐωδίας ἀνακομίζοντες ὡς ἐν χιμάρῳ καὶ κριῷ καὶ μόσχῳ πλειστάκις. ἔριφος γὰρ ὑπὲρ ἁμαρτίας ἐσφάζετο κατά γε τὴν πίστιν τῶν ἱερῶν γραμμάτων ἀλλ' ἐν ἐκείνοις μὲν ἦν τῆς ἀληθείας ἡ μόρφωσις· γέγραφε δὲ ἡμῖν ὁ σοφώτατος Παῦλος "Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν "μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκη- "νῆς, οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, "οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου "αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια αἰωνίαν λύτρωσιν "εὑρόμενος." ἐπράττετο μὲν γὰρ δι' αἵματος ἀλλοτρίου τῆς λατρείας ἡ δύναμις τοῖς κατὰ νόμον ἱερουργοῖς· ὑποδείγματι γὰρ καὶ σκιᾷ λελατρεύκασι τῶν ἐπουρανίων· Χριστὸς δὲ οὐχ οὕτω, πολλοῦ γε καὶ δεῖ, σέσωκε γὰρ τὴν ὑπ' οὐρανὸν αἵματι τῷ ἰδίῳ καὶ "οὐ κατὰ νόμον ἐντολῆς σαρκίνης "γέγονεν ἱερεὺς ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου·" προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν, ἀτονούσης εἰς δικαίωσιν τῆς ἐν τύπῳ λατρείας, καὶ γὰρ ἦν "ἀδύνατον αἷμα ταύ- "ρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας," ὅθεν καὶ δευτέρας διαθήκης ἐξῃτήθη τόπος, οὐκ ἐχούσης ἐφ' ἑαυτῇ τῆς πρώτης τὸ ἄμεμπτον. εἰδὼς δὲ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ὁ ἐξ αὐτοῦ κατὰ φύσιν Υἱὸς, ἑαυτὸν ὑπὲρ ἡμῶν πάντων προσκομιῶν τε ἅμα καὶ ἱερουργήσων αὐτῷ γέγονεν ἄνθρωπος ὑπὲρ ἡμῶν. καὶ τούτου μάρτυς γένοιτ' ἂν ἡμῖν οὐ ψευδοεπὴς ὁ μακάριος Παῦλος, ἔφη γὰρ πάλιν περὶ αὐτοῦ "Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει Θυσίαν καὶ προσ- "φορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώ- "ματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας, τότε εἶπον Ἰδοὺ ἥκω, "ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι ὁ "Θεὸς τὸ θέλημά σου." τίς οὖν ἄρα ἐστὶν ὁ εἰς τὸν κόσμον εἰσερχόμενος; πῶς δὲ καὶ ὅλως εἰσβεβηκέναι λέγε-

Infra ix. 11, 12. Ib. viii. 5. Ib. vii. 16. Ib. x. 4. Cf. ib. viii. 7. Ib. x. 5–7.

10. *εὑρόμενος* hodie (ex *εὑρώμενος* aut *εὑράμενος* castigatum) exhibet c. Post hoc verbum scholion e margine c, iterum interpellit Cramerus. 13. *ὑπ' οὐρανὸν*] *ἐπουράνιον* Cr. 19. *ἐξῃτήθη τόπος*] *ἐξετέθη τύπος* Cr.

[114 M.]

ται; μὴ οὐχὶ δὴ πρότερον ἔξω τε ὑπάρχων αὐτοῦ καὶ οἷον ἀπῳκισμένος;

Εἰσβέβηκε τοίνυν εἰς τόνδε τὸν κόσμον ὁ ἐκ Θεοῦ Λόγος, οὐ τοπικῶς δὲ μᾶλλον ἀλλὰ φυσικῶς ὅτε καὶ αὐτὸς μέρος πέφηνε τοῦ κόσμου καταρτίσαντος αὐτῷ τὸ σῶμα τοῦ Θεοῦ Ps. xxxix. 7. καὶ Πατρὸς, ἵνα καὶ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα γένηται Cf. 1 S. Pet. iii. 18, iv. 1. τεθνεὼς σαρκὶ κατὰ τὰς γραφάς. γέγονε γὰρ "διὰ τοῦτο Infra ix. 15. "καινῆς διαθήκης μεσίτης ὅπως θανάτου γενομένου εἰς ἀπο-"λύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν "ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονο-"μίας." ὠνόμασται τοίνυν ἀρχιερεὺς καὶ ἀπόστολος τῆς ὁμολογίας ἡμῶν, εὖ μάλα πεποιημένος, προσκεκόμικε τῷ Πατρὶ καθάπερ ὀσμὴν εὐωδίας πνευματικῆς καὶ ὡς ἤδη κεκαθαρμένους, προσίομεν γὰρ λέγοντες τῆς πίστεως ἡμῶν τὸ μάθημα. ὅτε τοίνυν τῆς ἀκραιφνοῦς πίστεως τὴν ὁμολογίαν τε Excidisse videtur aliquid. καὶ ὁμοούσιον Τριάδα ποιεῖσθαι προστετάγμεθα, πῶς οὐχ ἅπασιν ἐναργὲς οὐχ ὡς ἑτέρῳ μᾶλλον αὐτὴν ἱερουργεῖ καὶ προὔχοντί τε καὶ ὑπερκειμένῳ κατὰ τὴν φύσιν, ἑαυτῷ δὲ μᾶλλον μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος. Θεὸς οὖν ἄρα καὶ ἐν σαρκὶ γεγονὼς νοοῖτ' ἂν εἰκότως· δεδικαιώμεθα γὰρ ὁμολογοῦντες ὅτι καὶ γέγονε σὰρξ καὶ μεμένηκε Λόγος καὶ πεπάτηκεν ὑπὲρ ἡμῶν τοῦ θανάτου τὸ κράτος, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς ἐκ ζωῆς τοῦ Πατρός.

Ὅτι γάρ ἐστι Θεὸς κατὰ φύσιν καὶ Υἱὸς ἀληθῶς ὁ Ἐμμανουὴλ, οὐδὲν ἧττον ἡμᾶς πιστώσεται λέγων ὁ μακάριος Παῦλος ὡς γέγονε μὲν ἀπόστολος καὶ ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, πιστὸς δὴ πρὸς τούτῳ τῷ ποιήσαντι αὐτὸν καθὰ καὶ Μωυσῆς ἐν τῷ οἴκῳ αὐτοῦ, πλείονος γεμὴν δόξης ver. 3. αὐτὸς ἠξίωται παρὰ Μωσέα, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. καί μοι πάλιν ἐν τούτοις καταθαυμάζειν ἔπεισι τὸν μυσταγωγὸν, ὑποτρέχει γὰρ εὐμηχάνως

2. Statim nomen Κυρίλλου iterum apponens, scholion novum inc. c. fol. 261. 3. Ἐκβέβηκε Cr. 4. τοπικῶς emendavi. τυπικῶς Ed. de quo nihil notavi codicem conferens ipse.

[114 M.] τὸν Ἰσραὴλ οὐ μετρίως ἀπονενευκότα πρὸς τὸ ἐξήνιον καὶ πρός γε τὸ δεῖν ἀντιφέρεσθαι τῷ Χριστῷ. καὶ τῶν εἰς Μωσέα τε λόγων καὶ ἐγκωμίων ἅπτεται, πιστὸν μὲν ἀποκαλῶν, συνεισάγων δὲ τούτοις ἀστείως τῆς τοῦ Σωτῆρος ἡμῶν ὑπεροχῆς τὸ πολὺ λίαν ἀνεστηκός· ἔφη γὰρ γενέσθαι Χριστὸν ἀπόστολον καὶ ἀρχιερέα καὶ πρός γε τούτῳ πιστόν, καθάπερ ἀμέλει καὶ αὐτὸς γέγονεν ὁ Μωυσῆς, εὐαφόρμως δὲ λίαν παρενεγκὼν εἰς μέσον τὸ Μωσέως ὄνομα καὶ τοὺς ἐπαίνους τοὺς ἐπ' αὐτῷ προκαταθεὶς τῷ Λόγῳ δέδειχεν εὐθὺς κατόπιν ὄντα τῆς δόξης Χριστοῦ· τετιμῆσθαι γὰρ ἔφη μειζόνως αὐτὸν καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Ὁρᾷς ὅπως καὶ ἐν σαρκὶ γεγονότα τὸν τοῦ Θεοῦ Λόγον καὶ ἐν τῇ τοῦ δούλου μορφῇ νοούμενον οἰκονομικῶς τῶν τῆς ἀνθρωπότητος ἀνακομίζει μέτρων καὶ τῶν τῆς δουλείας ὅρων ἐπέκεινα τιθείς, γενεσιουργὸν εἶναί φησι τῶν ὅλων καὶ αὐτοῦ δὲ δηλονότι Μωσέως, στεφανοῖ δὲ διὰ τούτων τῇ τῆς κατὰ φύσιν κυριότητος δόξῃ. εἰ γάρ ἐστιν ἀληθὲς ὅτι τῶν ποιημάτων οὐδὲν ταὐτὸν ἔσται κατ' οὐσίαν τῷ ποιητῇ, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι πάντῃ τε καὶ πάντως ἀμείνων ἔσται κατὰ τὴν δόξαν ὁ κατασκευάσας αὐτόν; ἐπιτήρει δὲ ὅτι τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν αὐτὸν ἔφη πιστὸν μὲν γενέσθαι τῷ ποιήσαντι αὐτὸν καθὰ καὶ αὐτὸς ἦν ὁ ἱεροφάντης Μωσῆς, πλείονος γεμὴν ἠξιῶσθαι δόξης παρ' ἐκεῖνον καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· προσεπάγει δὲ τούτοις, Θεὸν ὄντα κατα-
ver. 4. δεικνὺς τὸν Ἰησοῦν Πᾶς δὲ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ πάντα κατασκευάσας Θεός. οὐκοῦν εἰ μὲν ἦν τις ἄνθρωπος εἷς τῶν καθ' ἡμᾶς ὁ Χριστὸς, ἔδει κρίνεσθαι τὰ κατ' αὐτὸν ὡς ἀπὸ μόνου τοῦ χρόνου τῆς κατὰ σάρκα γενέσεως· ἐπειδὴ δὲ ὁ καὶ αὐτῶν αἰώνων πρεσβύτατος Μονογενὴς Υἱὸς ἐν εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς γέγονεν ἄνθρω-

17. διὰ τῶν τούτων Cr.

πος, κεχρημάτικέ τε οὗτος Χριστὸς Ἰησοῦς· καινὸν γὰρ forte οὕτως
ὄνομα τοῦτο αὐτῷ καὶ τοῖς τῆς οἰκονομίας καιροῖς συνεισβε-
βηκὸς, προσέσται πάλιν αὐτῷ καὶ εἰ γέγονε σὰρξ τὸ πρὸ
παντὸς εἶναι χρόνου καὶ τὸ δεῖν ὁμολογεῖσθαι πρὸς ἡμῶν ὅτι
τῶν ὅλων ἐστὶ γενεσιουργός· "Εἷς γὰρ Θεὸς ὁ Πατὴρ ἐξ οὗ 1 Cor. viii. 6.
"τὰ πάντα καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ
"πάντα," καὶ πάλιν "Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ Infra xiii. 8.
"αὐτὸς καὶ εἰς τοὺς αἰῶνας." πῶς οὖν αὐτὸς κατὰ τὴν χθὲς
ἂν εἴη καίτοι γεννηθεὶς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς; ὅτι
τῆς τοῦ Θεοῦ Λόγου φύσεως τὸ πρεσβύτατον, ὡς ἔφην,
ἀναπόβλητον αὐτῷ μεμένηκεν ἀναγκαίως καὶ ἐν χρόνοις τῆς
μετὰ σαρκὸς καὶ νεωτάτης οἰκονομίας. καὶ γοῦν ἐποιεῖτο μὲν
λόγους ποτὲ περὶ τοῦ προπάτορος Ἀβραὰμ πρὸς τὸν
Ἰσραὴλ λέγων "Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα S. Joan. viii. 56.
"ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδεν καὶ ἐχάρη." οἱ δὲ κατ'
οὐδένα τρόπον τὸ ἐπ' αὐτῷ συνιέντες μυστήριον, ἄνθρωπον
δὲ καθ' ἡμᾶς ἁπλῶς, καὶ πέρα τούτου μηδὲν, ὑπονοοῦντες
ὑπάρχειν αὐτὸν, ἀσυνέτως ἔφασκον "Πεντήκοντα ἔτη οὔπω Ib. 57.
"ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας;" ὁ δὲ πρὸς αὐτούς "Ἀμὴν Ib. 58.
"λέγω ὑμῖν πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι." ἔστι τοίνυν
αὐτοῦ τε τοῦ Ἀβραὰμ καὶ Μωσέως καὶ τῶν ὅλων τεχνίτης
καὶ γενεσιουργὸς, ἀνάγκη δὲ πᾶσα τῶν ἰδίων ποιημάτων
προϋφεστάναι λέγειν τὸν ποιητὴν, καὶ τῶν κατ' εἰκόνα τὴν
πρὸς αὐτὸν ἐκτισμένων προαναφαίνεσθαι τὸ ἀρχέτυπον κάλ-
λος. οὐκοῦν ἀσυγκρίτως τὸ Μωσέως ὑπερβαλεῖται μέτρον,
μᾶλλον δὲ καὶ παντὸς τοῦ κεκλημένου πρὸς γένεσιν ἡ δόξα
Χριστοῦ ὑπάρξει. καὶ καθ' ἕτερον δὲ τρόπον πειρᾶται πλη-
ροφορεῖν ὁ θεσπέσιος Παῦλος ὅτι γέγονεν αὐτῷ σοφός τε
καὶ ἀληθὴς ὁ περὶ τούτων λόγος· ἦν μὲν γὰρ, φησὶν, ὁ ver. 5.
Μωσῆς πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς μαρτύριον
τῶν λαληθησομένων, Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ οὗ ver. 6.
ὁ οἶκός ἐσμεν ἡμεῖς. ἄθρει δὴ οὖν ὅπως τῷ μὲν μακαρίῳ
Μωυσῇ μέτρον ἀπονέμει τὸ οἰκετικὸν τῷ γνησιότητος τρόπῳ

[114 M.]

κοσμούμενον. εἶναι γάρ φησιν ἐν τῷ οἴκῳ πιστὸν εἰς μαρτύριον τῶν λαληθησομένων, τουτέστιν εἰς διακονίαν τῶν παρὰ Θεοῦ λόγων, Χριστὸν δὲ οὐχ οὕτως· οὐ γὰρ ὡς ἐν οἴκῳ πιστὸν οἰκέτην, ἀλλ' ὡς Υἱὸν καὶ δεσπότην ἐπὶ τὸν οἶκον τοῦ Πατρὸς, τουτέστιν ἡμᾶς τοὺς ἐν πίστει δεδικαιωμένους καὶ ἡγιασμένους ἐν πνεύματι. πεπαιδαγώγηκε μὲν γὰρ ὁ Μωσῆς διὰ τῆς τοῦ νόμου σκιᾶς τοὺς ἀρχαιοτέρους καὶ τὰ τῆς οἰκετικῆς γνησιότητος ἐκομίζετο γέρα, Θεοῦ λέγοντος Deut. v. 31. πρὸς αὐτόν "Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ," πολὺ δὲ λίαν Supra i. 3. ἐν ἀμείνοσιν ἐπὶ Χριστοῦ. κεκάθικε γὰρ "ἐν δεξιᾷ τοῦ θρό- "νου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς," καὶ κατῴκηκεν ὡς Υἱὸς καὶ Κύριος ἐν τῷ οἴκῳ τοῦ Πατρὸς αὐτοῦ. ἐναυλίζεται γὰρ ἡμῖν ὡς Θεὸς διὰ τοῦ ἰδίου Πνεύματος, καίτοι τοῦ πανσόφου Μωσέως ἐν οὐδενὶ κατοικήσαντος, οὐ γὰρ μέτοχοι γεγόναμεν Μωσέως, ἀλλ' οὐδὲ ἑτέρου τινὸς τῶν ἁγίων, μετεσχήκαμεν δὲ τοῦ Χριστοῦ, διά τε τοῦ Πνεύματος καὶ τῆς εὐλογίας τῆς μυστικῆς. καίτοι γὰρ Θεοῦ λέγοντος δι' ἑνὸς τῶν 2 Cor. vi. 16 e Lev. xxvi. 12. ἁγίων προφητῶν "Ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπα- "τήσω καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός." ἐνεστηκότος ἤδη καιροῦ καθ' ὃν ἔδει τοῦτο πληροῦν, κατῴκηκεν ἐν ἡμῖν ὁ Χριστὸς κατὰ τὴν ἀρχαίαν ὑπόσχεσιν, ἵν' ἡμᾶς ἀποφήνῃ ναοὺς Θεοῦ ζῶντος, τουτέστιν αὐτοῦ, καὶ συνάψῃ δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρί. καὶ γοῦν ἔφη τοῖς S. Joan. xiv. 20. ἁγίοις ἀποστόλοις "Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὅτι ἐγὼ 1 Cor. vi. 17. "ἐν τῷ Πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν· ὁ γὰρ "κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι," κατὰ τὸ γεγραμμένον. παρατιθέμενος δὲ καὶ ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ S. Joan. xvii. 20–23. πάλιν οὕτω φησίν "Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον ἀλλὰ "καὶ περὶ πάντων τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν "εἰς ἐμὲ, ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ Πατὲρ ἐν ἐμοὶ κἀγὼ "ἐν σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν ἵνα ὁ κόσμος πιστεύῃ

3. εἰ pro οὐ Cr. 11. κατῴκησεν Cr. 13. ἡμῶν Cr. 19. καὶ αὐτοὶ ἔσονταί μοι λαός omisit Cr. 30. Πατὴρ Cr.

[114 M.]

" ὅτι σύ με ἀπέστειλας. κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι " δέδωκα αὐτοῖς ἵνα ὦσιν ἓν καθὼς καὶ ἡμεῖς ἕν, ἐγὼ ἐν " αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν."

Οὐκοῦν ἐν Χριστῷ τὸ τῆς ἑνώσεως ἀγαθὸν τῆς πρὸς Θεὸν καὶ Πατέρα κεκερδήκαμεν, καὶ μένει πάντως ἐν ἡμῖν, τὸ οὕτω λαμπρὸν καὶ περιφανὲς ἀγλάϊσμα τετηρηκόσι τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος, καὶ πρός γε τούτοις πιστεύουσιν οὐχ ὅτι παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς ἕτερός ἐστιν ἰδικῶς τε καὶ ἀνὰ μέρος υἱὸς ὁ ἐκ τῆς ἁγίας παρθένου γεγενημένος ναὸς, ἀλλ' ὅτι γέγονε μὲν κατὰ τὰς γραφὰς, " σὰρξ " ὁ Λόγος καὶ ἐσκήνωσεν ἐν ἡμῖν," οὐ πέπαυται δὲ τοῦ εἶναι Θεὸς, ἀλλ' ἔστιν Υἱὸς εἷς καὶ Κύριος εἷς Ἰησοῦς ὁ Χριστός. S. Joan. i. 14.

Καὶ διικνούμενος ἄχρι μερισμοῦ. Κεφ. δ'. 12

Τὸ γεμὴν Διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος 115 M. ἔστι καὶ οὕτως νοῆσαι, ὅτι τὸ παρὰ Θεοῦ κήρυγμα διαιρεῖ καὶ μερίζει τὰ τῆς ψυχῆς μέρη, δεκτικὴν ποιοῦν καὶ χωρητικὴν τῶν ἀκουομένων.

13. Scholion sequens e Maio et Cr. citatur et in Oecumenio qui περὶ legit pro παρὰ quod exhibent a.b. 15. τὰ pro τὸ (sic) a. 17. Sequebantur in Maio scholia tria, nempe Καθ' ἡμᾶς—οἰκονομικῶς ex a. solo, εἰ καὶ μὴ—περὶ αὐτοῦ ex a.b. [Cr. 470. 11–19], καθεὶς—ἀνθρωπίνως ex a.b. [Cr. 477. 21–478. 5] quae cum ad Reginas tractatui [158 d, 159 a b d] pertineant omisi. Deinde in verba ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον est scholion S. Cyrillo tributum Βαβαὶ πόση διαφορά· ὀφείλοντες ἄλλους διδάσκειν οὐδὲ ἁπλῶς μαθηταί εἰσιν ἀλλὰ μαθηταὶ ἔσχατοι [S. Chrys. Hom. 8. 86 b] καίτοι δι' ὃ μάλιστα ἐξελύθητε καὶ ὑπτιοι γεγόνατε διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροὶ [ὠφείλετε ἰσχυροὶ εἶναι a] διὰ τὸν χρόνον [ib. 87 b] hic apponit κυρίλλου nomen a., perguntque οἱ διδασκόμενοι οὐ διὰ παντὸς ἐπὶ τὸ [τῷ a.] μαθεῖν διατρίβουσιν, ἐπεὶ οὐ διδάσκονται· ἂν ἀεὶ μανθάνῃς, οὐδέποτε μαθήσῃ· μὴ οὕτως ἔρχου ὡς ἀεὶ μαθησόμενος, ἐπεὶ οὐδέποτε εἴσῃ, ἀλλὰ καὶ ὡς διδάξων ἕτερον· ἂν δὲ ἀεὶ μανθάνῃς, τεκμήριόν ἐστι τοῦ μηδὲν 116 M. μαθεῖν· τοῦτο τοῖς Ἰουδαίοις ὁ θεὸς ὀνειδίζων, εἶπεν Αἰρόμενοι ἐκ κοιλίας καὶ παιδευόμενοι ἕως γήρως· ὅρα γοῦν καὶ Παῦλον διὰ τοῦτο δυσανασχετοῦντα, ὅτι πολὺν χρόνον τοῖς προτέροις ἐνδιέτριβον μαθήμασιν οἱ ἀκροαταὶ, καὶ ἔτι τῶν πρώτων εἴχοντο στοιχείων, ὅπερ ἱκανὸν τῷ διδάσκοντι πολὺν ἐνθεῖναι τὸν ὄκνον· στοιχεῖα δὲ ἐνταῦθα τοὺς περὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ λόγους φησίν a.b., quae cum S. Cyrilli esse vix videantur, nec in S. Chrysostomi Homilia reperire possim, hic exhibeo: pergit ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων, πρῶτα τὰ στοιχεῖα δεῖ μαθεῖν οὕτω καὶ ἐνταῦθα πρῶτον περὶ τῆς ἀνθρωπότητος ἐδιδάσκοντο (e S. Chrys. p. 86 c) καὶ τοὺς ταπεινοτέρους περὶ τοῦ Χριστοῦ λόγους (e Theod ad loc., cujus scholion in a. sequitur, scholion breve e S. Cyrilli Glaphyra praemittente b.) Maius, de quibus adnotat ille "Consentit partim cum hoc fragmento Chrysostomus Homil. viii. p. 86; nihilominus textus hic Cyrilli satis adhuc differt."

Κεφ. ς΄. 8 Γῆ ἐκφέρουσα ἀκάνθας.

Ἡ γεμὴν ῥάθυμος ψυχὴ παρεικάζοιτο ἂν εἰκότως γῇ πονηρᾷ καὶ ἁλμάδι, δεχομένῃ μὲν πολλάκις παρὰ τῶν γηπονεῖν εἰωθότων τὰς τῶν σπερμάτων καταβολὰς, τικτούσῃ δὲ τὸ σύμπαν οὐδέν· εἰς ποῖον δὲ αὐτῇ τέλος ἡ ῥαθυμία ἐκβήσεται, ἄπρακτον ἀποφηνάσῃ τὴν δοθεῖσαν αὐτῇ παρὰ τοῦ Θεοῦ δωρεὰν, διδάξει λέγων ὁ Παῦλος, ὅτι τὸ τέλος αὐτῆς εἰς καῦσιν. βούλει καὶ διὰ πραγμάτων τὸ εἰρημένον ἰδεῖν
Hos. x. 1. ἀληθές; γέγονέ ποτε γῆ καρποφόρος ὁ Ἰσραὴλ "Ἄμπελος "εὐκληματοῦσα," κατὰ τὸ γεγραμμένον· ταύτῃ γεγόνασιν ἐν τάξει νεφῶν οἱ μακάριοι προφῆται, καὶ θείοις αὐτὴν
Es. v. 4. καταρδοντες λόγοις, ὠφελεῖν ἐσπούδαζον, ἀλλ' "ἐποίησεν "ἀκάνθας," ἀγρία γέγονε καὶ ὑλομανής· δέδοται τοίνυν εἰς καῦσιν, τουτέστιν ἠχρειώθη παντελῶς, καὶ τῷ πυρὶ τεταμίευται.

117 M.
Κεφ. θ΄. 4 Χρυσοῦν ἔχουσα θυμιατήριον κ.τ.λ.

Ἀλλὰ ταῦτα μὲν διὰ μακροῦ περὶ τῆς σκηνῆς καὶ τῶν ἐν αὐτῇ εἴρηται· ἀναλαβόντες δὲ διὰ βραχέων αὖθις ἐροῦμεν ὅτι τρεῖς ἦσαν τόποι τῆς σκηνῆς· ὁ μὲν ἔξω ἀφωρισμένος πᾶσι, μεθ' ὃν τὸ πρῶτον καταπέτασμα, τὸ καὶ ἐπίσπαστρον

1. Hoc scholion e Maio et Cramero. 6. τοῦ om. a. 15. Sequebantur scholia duo, nempe Καὶ οἱ μὲν—φρονεῖν ἠρημένοις [Cr. 573. 9–32], ἐγήγερται—ἀνθρωπίνως [Cr. 575. 27–576. 13] ad tractatum de R. Fide ad Reginas 164, 165 spectantia. Post haec scholion exhibent, sub Cyrilli nomine rectissime a., anepigraphum b. [Cr. 577. 26–578. 3], quod omisit inter scripta S. Cyrilli edita ut verisimile reperiens Maius, non reperiens ego exhibeo: Πῶς δὲ ἄρα τὸν Ἰησοῦν ἀρχιερέα θεωρήσομεν [θεωρήσωμεν b.]; ἆρα κατὰ τὸν Ἀαρών; ἆρα κατὰ τὸν Μωσέως νόμον βουθυτοῦντα καὶ τοὺς ἐξ ἀγέλης [ἀνάγκης (sic) b.] ἀμνοὺς τῷ Θεῷ καταθύοντα, ἢ πτηνὰ προσάγοντα ἢ σεμίδαλιν; καίτοι τῶν τοιούτων οὐδὲν πέπραχεν ὁ Ἐμμανουήλ· ἱερατεύει γὰρ ὑπὲρ νόμον, αὐτὸς ἦν τὸ θῦμα, ὁ ἀμνὸς ὁ ἀληθινὸς καὶ [καὶ om. b.] ὁ ἄμωμος ἀρχιερεὺς οὐχ ὑπὲρ ἰδίων πλημμελημάτων ἱερουργῶν, κρείσσων γὰρ ἦν ἁμαρτίας ὡς Θεὸς ἀλλ' ἵνα λύσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου. γέγονε τοίνυν αὐτὸς τῆς ἰδίας προσφορᾶς ἱερουργός· οὐ γὰρ ἔδει κοινὸν ἄνθρωπον τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς θυσίαν προσενεγκεῖν, καὶ γεγονὼς δὲ ἀρχιερεὺς διὰ τὸ ἀνθρώπινον καὶ ἐν τοῖς τῆς θεότητος ὁρᾶσθαι θρόνοις, ἱερατεύων [ἱερατεύειν b.] μὲν ἀνθρωπίνως ὅτι γέγονεν ἄνθρωπος, συνεδρεύων δὲ θεϊκῶς ὅτι μεμένηκε Λόγος. Post haec desinit b., reliqua exhibet solus a. [κυρίλλου nomen, Cr. 549. 13, erratum est pro Νείλου]. 17. Verba ἔσονται—τὸ τετηρημένον Maio hic exhibita utpote e Glaph. 291 c d abbreviata omisi.

[117 M.]

ἀπὸ τοῦ ἐφέλκεσθαι καλούμενον, ὃ διεῖργε τὴν αὐλὴν, εἰς ἣν πάντες κοινῶς εἰσῄεσαν, ἐν ᾗ καὶ ἔθυον κατὰ τοῦ χαλκοῦ θυσιαστηρίου· ὁ δὲ μέσος μετὰ τὸ ἐπίσπαστρον, οὗ ἔνδον εἰσήρχοντο οἱ ἱερεῖς, τὰς λατρείας καθεκάστην ἐπιτελοῦντες· οὗτος δὲ ὁ τόπος ἐκαλεῖτο Ἅγια, ἃ τύπος ἦσαν τῆς παλαιᾶς, ἅτε τῶν δι' αἵματος θυσιῶν ἐκεῖ τελουμένων· ὁ δὲ ἐνδότερος ὠνομάζετο Ἅγια ἁγίων, ἃ τύπος ἦν τοῦ παρ' ἡμῖν μυστηρίου. ver. 2.
τὴν μὲν οὖν μετὰ τὸ χαλκοῦν θυσιαστήριον σκηνὴν πρώτην ὁ ἀπόστολος λέγει, ὡς πρὸς τὰ ἅγια τῶν ἁγίων· ἐπεί τοι μέση ἦν τῷ ἐπισπάστρῳ ἀπὸ τῆς αὐλῆς διειργομένη· μετὰ δὲ τὴν μέσην ταύτην σκηνὴν αὖθις τὸ καταπέτασμα ἐτέτατο· καὶ ἔνδον τούτου ἦν ἡ σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, εἰς ἣν οὐδεὶς εἰσῄει ἢ μόνος ὁ ἀρχιερεὺς, καὶ οὗτος ἅπαξ τοῦ ἐνιαυτοῦ· ἀπέκειτο δὲ ἐν ταύτῃ ἡ κιβωτὸς τὰς πλάκας τοῦ νόμου φέρουσα, καὶ τὴν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρών. καὶ μὴν αἱ βασιλεῖαί φασιν ἐν τῇ κιβωτῷ μόνας 3 Reg. viii. 9.
τεθεῖσθαι τὰς πλάκας, ἐκ παραδόσεως δὲ ἴσως ὁ Παῦλος καὶ τὴν ῥάβδον καὶ στάμνον προσέθηκεν.

118 M.

Ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. 5

Σύνες οὖν, ὅπως ἐποίει τὸ μὲν ἱλαστήριον εἰς εἰκόνα ἐνανθρωπήσαντος τοῦ Υἱοῦ· τότε γὰρ γέγονεν ἱλαστήριον· πλὴν κύκλῳ περιεστάναι προστάττει τὰ χερουβὶμ, καὶ συσκιάζειν ταῖς πτέρυξιν, ἀεὶ πρὸς αὐτὸν τετραμμένα τε καὶ βλέποντα· εἶτά πως ἡμῖν αὐτὸν ὁ προφήτης τεθεᾶσθαί φησιν, "ὅτε εἶδε τὴν S. Joan. xii. 41.
"δόξαν, καὶ ἐλάλησε περὶ αὐτοῦ." εἶδον, γάρ φησι, "τὸν Es. vi. 1.
"Κύριον σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ τε καὶ

5. ὁ assumptum ex a., omisit Maius. 12. τούτου a. τοῦτο Ed. 14. τοῦ assumptum ex a. 18. προσέθηκεν] pergit ὑπεράνω δὲ αὐτῆς, τῆς κιβωτοῦ δηλαδὴ, χερουβὶμ δόξης ἤτοι τὰ ἔνδοξα, ἢ τὰ ὄντα τῆς δόξης, τουτέστι τοῦ θεοῦ· ἐπίτηδες δὲ ταῦτα ἐπαίρει τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα τὰ μετὰ ταῦτα, τουτέστι τὰ καθ' ἡμᾶς· κατασκιάζοντα τὸ ἱλαστήριον· ἱλαστήριον ἐλέγετο τὸ ἐπίθεμα, ἤτοι τὸ πῶμα τῆς κιβωτοῦ, ὅπερ οἱονεί τις τράπεζα ἦν τετράγωνος, τυποῦσα Χριστὸν τὸν γενόμενον ἡμῖν ἱλασμόν Maius, omisi ipse, quum ad S. Chrys. ad loc. 149 d. pertineant priora.

[118 M.]

Es. vi. 2. "ἐπηρμένου" καὶ τὰ σεραφὶμ εἱστήκει κύκλῳ αὐτοῦ, καὶ τὸν ἐπὶ θρόνου Κύριον ἐδοξολόγουν, τὰς πτέρυγας τείνοντα· οὕτω τετάχατο καὶ ἐν τῇ ἁγίᾳ σκηνῇ συσκιάζοντα ταῖς πτέρυξιν ἐπὶ τὸ ἱλαστήριον· εἰ δὲ ἦν τις τοῖς χερουβὶμ τοῖς ἐκ χρυσίου πεποιημένοις βοή τε καὶ λόγος, ἐδοξολόγησαν ἂν ὡς κύριον σαβαὼθ, τὸν ἐν τῇ δούλου μορφῇ πεφηνότα Υἱὸν Μονογενῆ τὸν ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν.

7. Sequebatur ver. 10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι cum scholio, quod quum S. Cyrillum auctorem non habeat, nec alibi reperiam, nota exhibeo: Ἐκέλευσε δὲ ὁ θεὸς μὴ ἐσθίειν τὸν χοιρογρύλλιον, τὴν [ita cod. τὸν Ed.] κάμηλον, τὸν καλαβώτην, καὶ τὰ ὅμοια· ταῦτα δὲ οὐ τὰ ζῷα κακίζων λέγει, ἀλλὰ βίους καὶ πράξεις ἀτόπους ἀπαγορεύων πράττεσθαι. ἢ γὰρ οὐχὶ καὶ ἡμεῖς ταῦρον λέγομεν κερατιστὴν τὸν πονηρόν; λέοντα, τὸν θυμώδη; χοῖρον, τὸν βορβορώδη; κελεύει δὲ κτήνη ἐσθίειν τὰ διχηλοῦντα καὶ μηρυκισμὸν ἀνάγοντα. διττὴ γὰρ πᾶσα ἀρετή· ἢ γὰρ εἰς ἑαυτοὺς δρῶμεν τὸ ἀγαθὸν, οἷον ἡδονὰς ἐκτέμνοντες, καρδίαν καθαίροντες, πάθη καταπραΰνοντες· ἢ εἰς τοὺς ἀδελφοὺς, ἀγαπῶντες μισοῦντας, μνησικακοῦντας ἱλαρύνοντες, ἐλεοῦντες, συμπαθοῦντες· διφυὴς οὖν ἄρα ἐστὶν ὁ τῆς δικαιοσύνης τρόπος, εἰς ἡμᾶς αὐτοὺς, καὶ εἰς ἑτέρους κατορθούμενος· τῆς μὲν οὖν ἐν ἔργοις πορείας τύπος ὁ πούς, κατὰ τό Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, καί Ὁ πούς σου οὐ μὴ προσκόψῃ· καί Τροχιὰς ὀρθὰς ποίησον σοῖς ποσί. διχηλεῖν δέ ἐστι τὸ ὀρθῶς ἐθέλειν βαίνειν ἡμᾶς, εἴς τε τὴν καθ' ἡμᾶς αὐτοὺς ἐργασίαν, καὶ εἰς τὴν ἑτέρων εὐποιΐαν. ὁ οὖν τὸν βίον ἔχων ὀρθὸν, καὶ τὰ ἤθη κατορθώσας τὰ ἑαυτοῦ, καὶ τὰς πρὸς τοὺς ἑτέρους ἀρετὰς, πρὸς δὲ τούτοις ἐν τῇ ἑαυτοῦ πάλιν καρδίᾳ στρέφων τὰ θεῖα δόγματα, καὶ τοὺς θείους λόγους ἀναμηρυκώμενος καὶ γινώσκων καὶ ἐπιγινώσκων, τρέφων τε ἑαυτὸν ἐξ αὐτῶν, καὶ διδάσκων καὶ ἑτέρους· οὗτος καὶ διχηλεῖ ὁπλὴν, καὶ μηρυκισμὸν ἀνάγει, καὶ ἔστι καθαρὸς ὡς λόγῳ καὶ ἔργῳ τέλειος, καὶ λεπτοκοπῶν τὰς γραφὰς καὶ ἀκριβῶς ἐρευνῶν· τὸν δὲ ἓν μόνον ἔχοντα τούτων, ἀκάθαρτον ἀποκαλεῖ· ὁ γὰρ βίον μὲν ἔχων ὀρθὸν, δόγμα δὲ διεστραμμένον, ἀκάθαρτος· ὁμοίως καὶ ὁ λόγον ἄνευ βίου· τούτων οὖν τοὺς τὸ ἓν ἔχοντας φύγειν ἡμᾶς προσήκει· τῶν κρεῶν γὰρ, φησὶν, αὐτῶν οὐ φάγεσθε, καὶ τῶν ὀστῶν αὐτῶν οὐχ ἅψεσθε· ἤγουν τῶν διδασκαλιῶν τῶν αἱρετικῶν, οὐδὲ μετὰ τὸν θάνατον αὐτῶν, προσψαύσετε. κάμηλον δὲ λέγει τὸν ἔνδοξον καὶ πλούσιον· λαγωὸν δὲ ἤγουν δασύποδα τὸν πτωχόν· φησὶ γοῦν, ὅτι οὔτε πτωχὸς οὔτε πλούσιος σωθή-
119 M. σεται ἄνευ τῶν δύο τούτων. ὅσα δὲ, φησὶν, ἐν τοῖς ὕδασιν ἔχει πτέρυγας καὶ λεπίδας, ταῦτα φάγεσθε. θάλασσα δηλονότι ὁ βίος ἐστίν· ἰχθύες δὲ οἱ ἐν τῷδε τῷ βίῳ τὰ γήϊνα φρονοῦντες, καὶ τῇδε κἀκεῖσε τοῖς περισπασμοῖς στρεφόμενοι, πρὸς οὐρανὸν διαβλέψαι μὴ δυνάμενοι. οἱ οὖν ἔχοντες λεπίδας καὶ πτέρυγας ἰχθύες εὔδρομοί εἰσι, κόπτοντες κραταιῶς τὴν θάλασσαν, καὶ ἀναπηδῶντες, καὶ τὸν ἥλιον βλέποντες, καὶ τὸ μὲν βάθος παραιτούμενοι, ἄνω δὲ πλέοντες, καὶ οὐχ, ὥσπερ τὰ λοιπὰ ὀστρακόδερμα, ἐγγὺς τῆς γῆς τὴν ὕλην ἀεὶ τῆς θαλάσσης ἐσθίοντες· λεπιδωτοὺς δὲ λέγει τοὺς ἁμαρτάνοντας μὲν μικρὰ, διὰ τὸ ὑπὸ τὴν θάλασσαν εἶναι τοῦ βίου, ὅμως δὲ οὐκ ἀναφανδὸν οὕτως ἀλλὰ μετὰ συστολῆς καὶ περικαλύψεως ἁμαρτάνοντας, τοὺς ποτὲ δὲ ἀναθρώσκοντας καὶ τὸν ἥλιον βλέποντας· οὐκ ἔχοντας δὲ λεπίδας ἀλλὰ ἀπερικαλύπτους ὄντας, ἤγουν τοὺς μεμερισμένους θεῷ καὶ κόσμῳ, ἢ παρθενίαν μὲν καὶ σωφροσύνην οὐκ ἔχοντας, ἑτέρας δὲ ἀρετάς τινας, καὶ τούτους ἀκαθάρτους καλεῖ. τῶν δὲ πετεινῶν ἀποβάλλει τὰ πετόμενα τὰ ὕψη, καὶ τοῖς ταπεινοῖς μὴ συναπαγόμενα, ἤγουν τοὺς ἀλαζόνας· τὸν δὲ κόρακα καὶ γύπα, ὡς ἅρπαγας καὶ δεινοὺς εἰς κακουργίαν· στρουθὸν δὲ καὶ λάρον, ὡς ἄπληστα, πάντα γὰρ ἐσθίει· τὸν ἱέρακα, ὡς ἐπιβαίνοντα παντὸς ἀσθενεστέρου πτηνοῦ καὶ θάνατον ἐπάγοντα· ὁ δὲ πορφυρίων καὶ ἶβις καὶ ἰκτὶν τὰ ἐν τοῖς ὕδασιν ἐσθίουσιν ἰχθύδια· οὗτοι δέ εἰσιν οἱ φιλήδονοι καὶ τὰς ἡδονὰς μεταδιώκοντες· νυκτερὶς δὲ καὶ ἔποψ καὶ ἐρωδιὸς, νυκτοχαρῆ ζῷα, καὶ ἐν τῷ σκότει διαιτώμενα· τοιοῦτοι δὲ οἱ μέθυσοι, οἱ κλέπται, καὶ πάντες οἱ τὰ τοῦ σκότους ἔργα φιλοῦντες. ἀκάθαρτα δὲ καὶ τὰ θηρία, οἱ λῃσταὶ, οἱ φονεῖς, οἱ θυμώδεις καὶ ἀνήμεροι·

Καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασι σαρκὸς μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. 10

Τετελείωκεν ὁ νόμος οὐδένα κατὰ συνείδησιν, εἰσκεκόμικε δὲ μᾶλλον βαπτισμῶν διδαχὰς, ἀφηγήσεις περιῤῥαντηρίων "πρὸς τὴν τῆς σαρκὸς καθαρότητα·" καταλήγει γὰρ εἰς τοῦτο μόλις τῆς νομικῆς ἱερωσύνης ἡ δύναμις· κἂν γὰρ νεκροῦ τις ἥψατο, κἂν λεπροῦ, κἂν γονοῤῥυὴς ἐγένετο, ἐβαπτίζετο, καὶ οὕτως ἐδόκει καθαρίζεσθαι· ταῦτα δὲ δικαιώματα ἦσαν σαρκὸς, τουτέστιν ἐντολαὶ σάρκιναι, σαρκικῶς δικαιοῦσαι τοὺς κατὰ σάρκα δοκοῦντας ἀκαθάρτους.—Ὅτι δὲ ταῖς κατὰ νόμον σκιαῖς τοὺς ἐξ αἵματος Ἰσραὴλ ἀσυνέτως ἐμφιλοχωρεῖν οὐκ ἠφίει Θεὸς, ἐξ αὐτῶν εἰσόμεθα τῶν ἱερῶν γραμμάτων· προστέταχε μὲν γὰρ καταθύεσθαι τὸν ἀμνὸν εἰς τύπον Χριστοῦ, ὁδοιπορικῶς δὲ ἐσταλμένους σιτεῖσθαι, σημαίνων ὡς μέχρι παντὸς οὐ στήσεται τὰ ἐν τύποις, ἀλλ' οἱονεὶ δραμεῖται πρὸς ἀλήθειαν.

Supra vi. 2. Infra ver. 13. Exod. xii. 11.

γαλῆν δὲ καὶ μῦν καὶ καλαβώτην ἀπαγορεύει ὡς ψοφοδεῆ, ὡς κλέπτας καὶ ὑποκριτάς· καὶ ὁ ἁπτόμενος αὐτῶν, φησὶν, ἀκάθαρτος· ὁ κοινωνῶν γὰρ κλέπτῃ καὶ λῃστῇ καὶ αὐτὸς συγκολάζεται· ἢ πλυνεῖ τὰ ἱμάτια. καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας τουτέστιν ἕως τῆς Χριστοῦ παρουσίας· ἐν ἑσπέρᾳ γὰρ τὸ αὐτοῦ γεγονὸς μυστήριον ἀπήλλαξε πάντας τῶν [τῶν om. Maius] ἁμαρτιῶν. ταῦτα τοίνυν αἰνιττόμενος ὁ ἀπόστολος εἴρηκεν, ὅτι τὰ κατὰ νόμον τελούμενα ἐπὶ βρώμασιν ἦν καὶ μέντοι καὶ πόμασιν· εἶπε γὰρ, φησὶ, Κύριος πρὸς Ἀαρών Οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου ἐν τῷ εἰσπορεύεσθαί σε εἰς τὴν σκηνήν· εἶτα ἐπάγει. 16. Sequebatur scholion πῶς οὖν—τὸν Ἐμμανουήλ, quod quum tractatui de recta fide ad Reginas p. 166 c d pertineat, praetermisi, deinde scholion longum, quum 120 M.
S. Cyrillum auctorem vix habeat, hic exhibeo: Οὕτω γὰρ γέγραπται ἐν τῷ λευιτικῷ· ὅτι εἰσελεύσεται Ἀαρὼν εἰς τὰ ἄδυτα, λαβὼν μόσχον περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύτωμα· λήψεται δὲ καὶ παρὰ τῆς συναγωγῆς δύο χιμάρους περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύτωμα· καὶ προσάξει τὸν μόσχον· καὶ στήσει τοὺς χιμάρους ἔναντι κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ τοῦ χιμάρου τῷ δακτύλῳ ἑπτάκις ἐπὶ τὸ ἱλαστήριον, εἶτα καὶ ἐπὶ τὸ θυσιαστήριον. λαμβάνεται μὲν οὖν ὁ μόσχος εἰς τύπον Χριστοῦ, ὡς ἄμωμος καὶ μὴ πεπληγμένος ἐξ ἁμαρτίας· προσάγεται δὲ πρὸς αὐτὰς τὰς θύρας τῆς σκηνῆς, τὸ παθεῖν οὐ παραιτούμενος ὑπὲρ τῆς ἑαυτοῦ ἐκκλησίας, κατὰ τό Ὑπὲρ αὐτῶν ἁγιάζω ἐγὼ ἐμαυτὸν, τουτέστι προσάγω καὶ προσφέρω· ἐπιτιθεμένων δὲ τῶν χειρῶν τοῦ ἡμαρτηκότος, ἡ σφαγὴ γίνεται· αὐτὸς γὰρ ἡμῶν αἴρει τὰς ἁμαρτίας, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται, καὶ ὑπὲρ τῶν ἡμετέρων ἔργων· ἔργου [ita Cod. Migne ἔργον Ed.] γὰρ καὶ πράξεως τύπος ἡ χείρ· ἐνώπιον δὲ κυρίου ἐσφάζετο ὁ ἀμνός· θελήσει γὰρ πατρὸς τοῦ σωτῆρος Χριστοῦ τὸ πάθος ἐγένετο. λαμβάνει δὲ ἀπὸ τοῦ αἵματος αὐτοῦ, καὶ ῥαίνει ἑπτάκις ἐπὶ τὸ ἱλαστήριον τῆς κιβωτοῦ· γέγονε γὰρ ἡμῖν Χριστὸς ἱλασμὸς ἐν αἵματι διαθήκης αἰωνίου· ἑπτάκις δέ· τελεία γὰρ ἡμῖν ἡ ἄφεσις ἐδόθη ἐν τῷ αἵματι αὐτοῦ· τέλειος γὰρ ἀριθμὸς ὁ ἑπτά· χρίει δὲ καὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ

[122 M.]

Κεφ. ι'.

29 Καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας.

Ὥσπερ γὰρ στρατιώτην τὸν ῥιψάσπιδα καὶ φυγοπόλεμον οὐ δευτέροις τιμᾶσθαι σημάντροις, ἀλλ' ἤδη κολάζεσθαι χρὴ, καὶ τῆς ἀνανδρίας ἀποτιννύναι λόγον, τὸν αὐτὸν οἶμαι τρόπον τὴν οὕτω σεπτήν τε καὶ ἀξιάγαστον περιυβρίζοντας χάριν οὐ δευτέρου τιμᾶσθαι Πνεύματος δόσει, τῆς πρώτης ἀθετουμένης, ἀλλ' ἤδη ποιναῖς ὑποκεῖσθαι πρέπει· οὐ γάρ

Rom. iii. 3. *"ἡ αὐτῶν ἀπιστία τὴν πίστιν τοῦ Θεοῦ καταργήσει," οὐδ' ἐπείπερ καταπεφρονήκασί τινες ἀνόπιν ἰόντες, τῆς θείας χάριτος τὸ ἀβέβαιον καταγράψομεν· ποιναῖς δὲ μᾶλλον ὁ τῶν ὅλων ὑποθήσει Κριτὴς τοὺς εἰς τοῦτο δυσσεβείας κατολισθεῖν οὐ παραιτουμένους, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ καταπατῆσαι, καὶ τὸ Πνεῦμα τῆς χάριτος ὑβρίσαι, ἐν ᾧ ἡγιάσθησαν καὶ τῆς θείας φύσεως γεγόνασι κοινωνοί.*

θυμιάματος· εὐωδία γὰρ αὐτοῦ ὁ θάνατος τῆς τοῦ κόσμου σωτηρίας· καὶ τὸ λοιπὸν δὲ αἷμα ἐχεῖτο [ita Cod. *ἐχέετο* Ed.] *ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων· ἔπαθε γὰρ οὐχ ὑπὲρ τῶν ἐθνῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν Ἰουδαίων· ἵνα σώσῃ Ἰουδαίους τε καὶ ἕλληνας· αἰρομένων δὲ αὐτοῦ τῶν ἐντοσθίων προσεφέρετο· ὁ γὰρ Χριστὸς τὴν μὲν σάρκα ἔξω τῆς πύλης ἔπαθε, τὴν δὲ ψυχὴν τῷ πατρὶ παρατίθησι· χρίεται δὲ καὶ τὸ ἔξω θυσιαστήριον· ἅγιος γὰρ ὁ νόμος, καλῶν πρὸς ἐπίγνωσιν Χριστοῦ τοὺς ἀκούοντας· πλὴν ὁ μὲν κατὰ νόμον ἀρχιερεὺς ἅπαξ εἰσῄει εἰς τὰ ἄδυτα, μετὰ αἵματος ταύρων καὶ τράγων· ὁ δὲ Χριστὸς διὰ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφ' ἅπαξ εἰς τὰ ἅγια, τουτέστιν εἰς τὸν οὐρανόν· ἅγια γὰρ νῦν αὐτὸν ἐκάλεσε.*

Sequebantur Τοῦ *θεοῦ—παρειλημμένους* e tractu de R. fide ad Reginas 167 b c d e desumptum; Καθοριοῦμεν—*ἀπηλλάγμεθα* e libro nono adv. Julianum Apostatam 304 d, post haec *βεβαιότερον οὖν ποιεῖ τὸν λόγον ἀπὸ τῆς εὐτελείας τῶν προσαγομένων καὶ τοῦ μεγέθους τοῦ νοσήματος· τὸ μὲν γὰρ νόσημα ἰσχυροτέρου ἐδεῖτο τοῦ βοηθήματος τὸ δὲ αἷμα ψιλὸν οὐδὲν μέγα*, quae S. Cyrillum auctorem non habent, *τίνα—οὐκ εὐδοκήσεις* e Theodorito ad loc. [cap. x. 4]; Νενο*μοθέτηκε—τῶν νοητῶν* e libro nono adv. Julianum Apostatam 309: sequitur Ἀναβαίνει *δὲ εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρὶ διὰ τοῦ ἰδίου σώματος ὅπερ αὐτὸς εἰληφέναι ἔλεγε παρὰ τοῦ πατρός· σῶμα γάρ, φησὶ, κατηρτίσω μοι* (cf. fragmenta in psalmos, Nova Bibl. Patrum iii. 295. 29.); Μιᾷ *προσφορᾷ—καὶ πατρί* e tractatu de R. fide ad Reginas 164 init. Reliquum *ὅρα δέ· εἶπεν ὅτι ἐκεῖναι αἱ θυσίαι οὐ προσφέρονται· συνελογίσατο τοῦτο ἀπὸ τῶν ἀγράφων· παρέστησε δὲ καὶ ῥητὸν προφητικὸν λέγον, ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας, καὶ πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται εἰπών· μαρ-*

122 M. *τυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον· τί μαρτυρεῖ; ὅτι ἀφέθησαν αἱ ἁμαρτίαι ἡμῶν, ὅτι τελείως ἡμᾶς ἀπήλλαξεν ὁ Χριστὸς διὰ τῆς μιᾶς προσφορᾶς, ὥστε μὴ δεηθῆναι δευτέρας* S. Cyrillum auctorem non habet: scholion breve Μοιχοὺς—*προστέταχε* e libro nono contra Julianum Apostatam 304 b.

[122 M.]

Ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. 35

Ὅτι δι' ὑπομονῆς καὶ τοῦ μὴ ἀψικόρως ἔχειν περὶ τὸ πληροῦν τὰ ἐξαίρετα τῶν κατορθωμάτων, ἀλλὰ διψῆν μὲν ἀεὶ, καὶ ἀκορέστως ἔχειν, καὶ ἀπλήστως ἐρᾶν παντὸς ἀγαθοῦ πράγματος, καὶ κατασωρεύειν ἑαυτοῖς τὴν ἐκ πράξεων εὐδοκίμησιν, ἐν τοιαύταις δὲ εἶναι προθυμίαις, ἐν αἷσπερ ἂν εἶεν καὶ οἱ τοῦ πλουτεῖν ἐρασταὶ, περὶ ὧν γέγραπται "Ἀγαπῶν Eccl. v. 9. "ἀργύριον οὐ πλησθήσεται ἀργυρίου·" εἰ δὲ οὐ κορέννυσιν ἐκείνους τὰ γήϊνα καὶ πρόσκαιρα καὶ εὐμάραντα, πῶς οὐκ ἀναγκαῖον ἡμᾶς θερμοτέραις κεχρῆσθαι ταῖς ἐπιθυμίαις, ἵνα κερδάνωμεν τὰ παρὰ Θεοῦ, ἃ καὶ εἰς ἀπεράντους αἰῶνας ἐκτείνεται, καὶ ἀκατάληκτον ἔχει τὴν εὐθυμίαν;

Κεφ. ια΄.

Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. 3

Μέγα δὴ οὖν καὶ ἐξαίρετον ἀγαθὸν ἡ πίστις· πλουτεῖ γὰρ ἁμαρτιῶν ἀπόθεσιν, ῥύπου παντὸς ἀποκάθαρσιν· ἔστι δὲ καὶ μνηστείας πρόξενος τῆς παρὰ Θεοῦ, καὶ ὁδὸς εἰς ἁγιασμὸν καὶ υἱοθεσίαν, καὶ ἁπαξαπλῶς παντὸς ἀγαθοῦ προμνήστρια· οὕτως εὐδόκιμοι γεγόνασιν οἱ πατέρες, οὕτως λαμπρὰν καὶ ἀοίδιμον ἐσχήκασι δόξαν· κατηνδρίσαντο δὲ καὶ αὐτοῦ θανάτου πολλοὶ, καὶ τὸν ἀμάραντον τῆς δόξης ἀνεδήσαντο στέφανον.

123 M.

Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ. 7

Ἐπειδὴ γὰρ ἡ σύμπασα γῆ τὴν ὁδὸν αὐτῆς διέφθειρε, Gen. vi. 12. καθὰ γέγραπται, καὶ ἀπονένευκεν ἡ καρδία "τοῦ ἀνθρώπου Ib. viii. 21.

1. Schol. hoc dicitur Cyrilli et Theodoreti ut adnotat Maius. Verba priora Διδάσκει δὲ καὶ πῶς τῶν ἐπάθλων τυχεῖν δυνατόν e Theod. ad loc. desumpta praetermitto. 12. Post haec sequebatur Τὸ γεμὴν—ἐλεύθερον e lib. 2 ad Herm. 443 c desumptum, ut tantum non adnotavit Maius. 22. στέφανον] + καὶ τί ταῦτα λέγω τὰ ἀρχαῖα παραδραμών; ἡκέτω βοῶν ὁ θαυμάσιος παῦλος Cod., S. Cyrilli tamen esse non videntur.

[123 M.] "ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος," κατακλυσμὸν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐπηφίει Θεὸς, οἷόν τινα κῆπον ὑλομανήσαντα καὶ κεχερσωμένον ἀνακτώμενος, καὶ φυτὸν ἐν αὐτῷ τηρήσας εὐγενὲς, τὸν πανάριστον Νῶε, ἵν' ἐξ αὐτοῦ τὸ γένος τὸ ἀνθρώπινον, εἰς ἑτέραν ὥσπερ ἀρχὴν μεταστοιχειούμενον, σώζηται πάλιν ἐπὶ τῆς γῆς. πίστει οὖν χρηματισθεὶς Νῶε κατεσκεύαζε τὴν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, "εἰς "ἣν ὀλίγαι τουτέστιν ὀκτὼ ψυχαὶ διεσώθησαν δι' ὕδατος·" μία μὲν γὰρ ἐξενήνεκται θανάτου ψῆφος κατὰ πάντων τῶν ἐπὶ τῆς γῆς, πεπληθυμένης δηλονότι τῆς ἁμαρτίας καὶ εἰς ἀβούλητον ὀργὴν καλεσάσης τὸν Δημιουργόν· ἀλλ' ἐσώζετο πανοικὶ δίκαιος ὢν ὁ Νῶε· πεπίστευκε γὰρ τῷ Θεῷ προστάττοντι κατασκευάσαι τὴν κιβωτὸν, καὶ βεβάπτιστο μὲν ἡ σύμπασα γῆ, ἡ δὲ τοῖς ὕδασιν ἐπενήχετο, κυβερνήτην λαβοῦσα τὸν τῶν ὅλων σωτῆρα Θεόν· καὶ ἦν ἐν αὐτῇ λείψανον ἀνθρωπότητος ὁμοῦ γυναιξὶ καὶ τέκνοις· ὁ πίστιν ἔχων τὸ καύχημα.

1 S. Pet iii. 20. Cf. Glaph. 36 d.

17 sqq. Πίστει προσήνεγκεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος.

Ἀλλ' οὐ δύναμαι τοῦ μεγάλου τούτου ἀποστῆναι θαύματος· πρεσβύτης ἦν ὁ μακάριος Ἀβραὰμ, ἐθρήνει τὴν ἀπαιδίαν, ἐζήτει παρὰ Θεοῦ κληρονόμον ἐξ ἐλευθέρας· εἶτα λαβὼν, καὶ ἐπ' αὐτῷ πᾶσαν ἔχων τὴν τοῦ γένους ἐλπίδα καὶ τὸ τῆς θείας ὑποσχέσεως τέλος, προσετάττετο θύειν αὐτόν· τί οὖν ὁ πρεσβύτης; ἐννοῶ μὲν ἐν ὅσαις γέγονε δυσθυμίαις· ἡ φύσις αὐτὸν ἐβιάζετο πρὸς φιλοστοργίαν, τὸ θεῖον ἐκάλει πρόσταγμα πρὸς ὑπακοήν· προσέκειτο τῷ παιδὶ μόνον ἔχων αὐτὸν, ἐδεδίει προσκροῦσαι Θεῷ· καὶ καθάπερ τι δένδρον μέγα τε καὶ εὐμηκέστατον ταῖς τῶν ἀνέμων ἀντιπνοίαις τῇδε

13. ἡ omisit Maius. 17. καύχημα] "Abhinc in codice lacuna fit duorum circiter foliorum quae perierunt" adnotat (sed errore) Maius. 19 sqq. Haec retinui ex edd. et catena: mihi tamen ad Homiliam cujusdam S. Cyrillum legentis verbisque illius utentis magis pertinere quam ad S. Cyrilli opera videntur.

[123 M.]

κἀκεῖσε διαῤῥιπτούμενον μονονουχὶ μεθύει καὶ σείεται, οὕτω
γέγονεν ἡ τοῦ δικαίου ψυχή· πῶς οὖν ἄρα τὸν τοῦ πειρα-
σμοῦ χειμῶνα νενίκηκεν; ὁ νομομαθέστατος Παῦλος διδάξει
λέγων Πίστει προσήνεγκε τὸν Ἰσαὰκ πειραζόμενος, λογισά- ver. 19.
μενος ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δύναται ὁ Θεός. ὦ πίστεως
ἑδραιότης· ὦ λογισμῶν ἁγιοπρεπῶν ἀσφάλεια· δέδωκε τῷ
Θεῷ τὸ πάντα δύνασθαι κατορθοῦν· καὶ τί τὸ ἐντεῦθεν; εἰς
ποῖον αὐτῷ τέλος ἐκδεδράμηκεν ἡ πίστις; τὸ γράμμα διδάξει
τὸ ἱερόν· "Ἐπίστευσε γάρ, φησίν, Ἀβραὰμ τῷ Θεῷ, καὶ Rom. iv. 3.
"ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην."

Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας. Κεφ. ιβ'. 2

Μᾶλλον δὲ ὧδε νοεῖν οἰκειότερον, ὅτι καίτοι ἐνὸν αὐτῷ τοῖς τῆς ἰδίας φύσεως ἀξιώμασιν ἐντρυφᾶν, καὶ ταῖς κατὰ πάντων ἀσυγκρίτως ὑπεροχαῖς θεοπρεπῶς ἐναβρύνεσθαι· τοῦτο γὰρ εἶναί φαμεν τὴν προκειμένην αὐτῷ χαράν· κεκένω- 124 M.
κεν ἑαυτὸν καθεὶς ἐν τοῖς καθ' ἡμᾶς, ἵν' ὑπὲρ παντὸς τὸν κατὰ σάρκα θάνατον ἀνατλάς, εἶτα πατήσας αὐτὸν διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, βάσιμον καὶ ἡμῖν ἀποφήνῃ τὸ παλινδρομεῖν δύνασθαι πρὸς ζωήν· καὶ γέγονε μὲν αὐτῷ πρὸς ἐντροπῆς τε καὶ ἀδοξίας τὸ παθεῖν· ἐπειδὴ δὲ ἀνέστησε τὸν ἑαυτοῦ ναόν, καινοτομήσας τὸν θάνατον καὶ πλεονεκτήσας τὴν φθοράν, ὡς Θεὸς ἐκ Θεοῦ καὶ εἰ πέφηνε μετὰ σαρκός, τὸ ἐν ἐκείνοις αἶσχος καὶ τὸ ἐκτροπῆς ἀκαλλὲς κατηφάνισται τοῖς δευτέροις, καὶ δεδόξασται διὰ τὴν ἀνάστασιν ὁ Υἱός, καίτοι πρὸ αὐτῆς τὸν ἀτιμότατόν τε καὶ ἀκλεᾶ μὴ παρωσάμενος θάνατον διὰ τὴν ἑκούσιον κένωσιν.

7. τὸ prius omisit Maius. 10. Sequebatur in v. 38 (Κυρίλλου, Βασιλείου, Χρυσοστόμου nomina in margine exhibente Cod.) Εἰ τοίνυν ἐκεῖνοι ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος (παραχωρεῖ γὰρ τὸ προὔχειν τῇ τῶν κατορθωμάτων ὑπερβολῇ νικώμενος, κόσμον δὲ ἐνταῦθα τοὺς ἐν τῷ κόσμῳ νοεῖσθαι πρέπει haec inter uncos e S. Cyrilli lib. vi. contra Julianum Apostatam 189 b). εἰ οὖν ἐκεῖνοι διὰ μεγάλων θλίψεων πυρωθέντες τὸ δοκίμιον ἐπεδείξαντο, οὔπω δὲ ἀπέλαβον, μὴ ἡμεῖς ἐνταῦθα ζητῶμεν τὴν ἀνταπόδοσιν, μηδὲ οὕτως ὦμεν πένητες ὡς τῶν μικρῶν ἐφίεσθαι.

Ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν.

Δανιὴλ γοῦν θεοπτίας ἡμῖν ἀναγράφων καὶ ὁράσεις προ- Dan. vii. 9, 10. φητικὰς, καθίζει μὲν ἐπὶ θρόνου τὸν παλαιὸν ἡμερῶν· περιίστησι δὲ αὐτῷ χιλίας μὲν χιλιάδας τῶν τεταγμένων εἰς λειτουργίαν, μυρίας δὲ μυριάδας τῶν παραστατῶν· Ἡσαΐας Es. vi. 1. δὲ οὐκ ἐν μείονι δόξῃ τεθεᾶσθαί φησι τὸν Υἱόν "Εἶδον," γὰρ ἔφη, "τὸν Κύριον σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ "καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ." καὶ Ib. 2. "Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ," καὶ ἐκεκράγεσαν τὸν Ib. 3. ἐν τριττῷ μὲν ἐν ἀρχῇ, καταλήγοντα δὲ εἰς ἑνάδα καὶ εἰς κυριότητα μίαν, ἁγιασμόν. ἆρά σοι δοκεῖ τὸ ἰσοπαγὲς ἐν δόξῃ ἰδίᾳ κεκτῆσθαι λοιπὸν ὁ Υἱός; ὅπου γὰρ θρόνος ὁ ἀνωτάτω, καὶ ἰσοδασμὸς ἡ ὑπεροχὴ, καὶ τῶν ἐν οὐρανῷ δυνάμεων ἡ ὡς ἐν κύκλῳ στάσις, τὸ τῆς δουλείας τῶν γενητῶν ἐμφανίζουσα μέτρον, καὶ τὴν τῆς κυριότητος δόξαν προσμαρτυροῦσα τῷ καθημένῳ, ποῖον ἂν ἔχοι τόπον ἐνδοιασμοῦ, μὴ τῇ τοῦ Πατρὸς κυριότητι φυσικῇ καταγλαΐζεσθαι τὸν Υἱόν; πλὴν καίτοι ἰσοκλεὴς καὶ ὁμόθρονος ὢν ὁ Κύριος, ὡς Υἱὸς Πατρὶ καὶ Θεὸς Θεῷ, μονονουχὶ καὶ εἰς ἀρχὰς τῆς οὕτω περιφανοῦς καὶ ὑπερκοσμίου δόξης ἀναβιβάζεσθαι δοκεῖ διὰ τὴν σάρκα καὶ τὴν μετὰ σαρκὸς οἰκονομίαν, ἀκούων "Κάθου "ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν "ποδῶν σου." ὃ γὰρ ἂν ὑποστορέσειεν ἑαυτῇ κατευνάζουσα ἡ θεία φύσις, τοῦτο δὴ πάντως τοῖς τοῦ Σωτῆρος ἡμῶν ὑποφέρεται ποσὶν, οὐκ ἀνθρωπίνως ἐνηργηκότος, οὐδὲ ἐπείτοι γέγονε σὰρξ, διὰ τοῦτο κρατεῖν τῶν ἠπειθηκότων ἰσχύοντος· ἀλλ' ὅτι τῆς ἀνθρωπότητος τὸ σμικροπρεπὲς εἰς τὸ τῆς ἀνωτάτω φύσεως ἀναθεὶς ἀξίωμα, καὶ τοῖς τῆς θεότητος θώκοις ἐνιδρύσας ἑαυτὸν καὶ μετὰ σαρκὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, κατακυριεύει τῶν ὅλων οὐ δίχα Πατρός· πάντα γὰρ δι' ἀμφοῖν ἐν ἴσῳ, ἐνεργοῦντος μὲν τοῦ Πατρὸς, ἔχοντος

10. *τριττῷ* habet Cod. Maius.

13. *ἰσοδασμος* Cod. *ἰσοδύναμος* emendavit

δὲ δι' Υἱοῦ καὶ σὺν αὐτῷ ἐν Πνεύματι τὴν ἐφ' ὁτῳοῦν τῶν δρωμένων ἐνέργειάν τε καὶ θέλησιν. [124 M.]

Οὐ γὰρ προσεληλύθατε κ.τ.λ. ἔμφοβός εἰμι καὶ ἔντρομος. 18 sqq.

Ταύτης καὶ νῦν μέμνηται Παῦλος τῆς ἱστορίας καὶ τοῦ καιροῦ, καθ' ὃν καθίκετο μὲν ἐν εἴδει πυρὸς ἐπὶ τὸ Σινὰ ὁ Θεὸς, καὶ "φωνὴ τῆς σάλπιγγος ἤχει μέγα." ἦν δὲ ἀπρόσβλητος τοῖς ὁρῶσιν ἡ θέα, καὶ δύσοιστος ἡ τῶν σαλπίγγων ἠχή· διὸ ἔφασκον "Τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, "καὶ οὐκ ἀκουσόμεθα τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν." Exod. xix. 16. Deut. xviii. 16.

Νῦν δὲ ἔτι ἐπήγγελται λέγων Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν. 26

Ἔγνω μὲν γὰρ ὁ οὐρανὸς τὸ μυστήριον, ἔγνω δὲ ὁμοίως καὶ ἡ σύμπασα γῆ· δύο γὰρ γεγόνασι μεταθέσεις βίων ἐπιφανεῖς ἐκ τοῦ παντὸς αἰῶνος, καὶ διαθῆκαι δύο καλοῦνται, καὶ σεισμοὶ γῆς, διὰ τὸ τοῦ πράγματος περιβόητον· ἡ μὲν ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν νόμον, ἡ δὲ ἀπὸ τοῦ νόμου πρὸς 125 M. τὸ εὐαγγέλιον· καὶ τρίτον σεισμὸν εὐαγγελιζόμεθα, τὴν ἐντεῦθεν ἐπὶ τὰ ἐκεῖσε μετάστασιν, τὰ μηκέτι κινούμενα μηδὲ σαλευόμενα.

Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν. 28

Ἐνταῦθα ἡδέως ἂν ἐροίμην τοὺς παυθῆναί ποτε τὴν βασιλείαν Χριστοῦ νομίζοντας, τῆς τίνος βασιλείας διαμεμνῆσθαι νῦν τὸν ἀπόστολον φήσομεν, ἣν καὶ ἐρηρεισμένην ἔσεσθαι λέγει, καὶ ἀεὶ λαχοῦσαν τὸ ἀκατάσειστον; δηλοῖ γὰρ οἶμαί που τουτὶ τό Ἀσάλευτον· πότερα τὴν Υἱοῦ βασιλείαν ἐν τούτοις φησὶν, ἤγουν τὴν αὐτοῖς τοῖς ἁγίοις δοθησομένην; εἰ μὲν

10. Hoc scholion retinui non sine dubitatione. 12, 14. Verba ἔγνω δὲ ὁμοίως et ἐκ τοῦ παντὸς αἰῶνος detrita sunt in codice. 14. καλοῦνται Cod. καλοῦται Maius, qui "Vocabulum ambiguum in codice, immo et alia heic nonnulla aegre in codice leguntur" adnotat. 22. τῆς omisit Maius.

[125 M.]

οὖν ἀμείνω τοῦ μεταπίπτειν εἶναί φασι τήν τε βασιλείαν καὶ ὑπεροχὴν τοῦ Υἱοῦ, πεφλυαρηκότας εἰκῇ κατερυθριάσειν οἶμαι τοὺς δι' ἐναντίας· εἰ δὲ δὴ μεθέντες τὸν Υἱὸν, ἀπαραποίητον ἔσεσθαι τοῖς ἁγίοις τὸ βασιλεύειν ἐροῦσι, πρῶτον μὲν ἀμείνους καὶ αὐτοῦ φανήσονται τοῦ Χριστοῦ, καὶ μοῖραν ἤδη λαχόντες τὴν ἐπέκεινα τῶν αὐτοῦ, εἰ ὁ μὲν ἀπόβλητον ποιήσεται τὴν ἀρχὴν, οἱ δὲ ἀμήρυτον λαχόντες τὴν εὐθυμίαν καὶ τὸ ἐν βεβαίῳ κεῖσθαι τῆς δόξης διακεκτήσονται· τὸ δὲ δὴ καὶ ἄγροικον ποιεῖσθαι τὴν συκοφαντίαν, πῶς οὐκ ἀπόβλητον κομιδῇ; τὸ μὲν γὰρ χρῆναι κρατεῖν καὶ βασιλεύειν τῶν ὅλων, προσήκοι ἂν οὐχ ἑτέρῳ μᾶλλον ἢ αὐτῷ τῷ Χριστῷ οὐκ ἐπίκτητον ἢ δοτὸν πλουτοῦντι τὸ χρῆμα, καθάπερ ἡμεῖς, ἀλλὰ τοῖς τῆς φυσικῆς κυριότητος ἑπόμενον λόγοις· οἱ δέ
2 Tim. ii. 12. γε συμπάσχοντες καὶ συμβασιλεύσομεν αὐτῷ, καθὼς γέγραπται. οὐκοῦν ὁ μὲν τοῦ κατάρχειν κύριος, εἰσποίητοι δὲ ἡμεῖς καὶ τρόπῳ τῷ κατὰ μέθεξιν ἐκτετιμημένοι· συμβασιλεύσουσι γὰρ βασιλεύοντι τῷ Χριστῷ. εἶτα πῶς ἀσάλευτον ἕξουσι τὴν ἐπὶ τῷδε φιλοτιμίαν καὶ διηνεκῶς βασιλεύσουσιν, εἰ κατασεισθήσεται καὶ καταλήξει τὸ τοῦ Χριστοῦ κράτος, οὗ μετόχους αὐτοὺς εἶναί φαμεν; καὶ εἰ τῆς βασιλείας αὐτοῖς ὁ χορηγὸς καὶ πρύτανις ἀποπεπαύσεται τῆς ἀρχῆς, ποῦ τὰ αὐτῶν ἔτι κείσεται τοῖον ἔχοντα βάραθρον; ποῦ γὰρ ἔτι συμμεθέξουσιν, εἰ τὸ κεκληκὸς εἰς δόξαν ἀσθενεῖ; ἢ οὐκ ἀνάγκη συγκατολισθεῖν τοῖς ἀνέχουσι τὸ ἀνεχόμενον, καὶ τοῖς κατωτάτοις βόθροις ἐνιζῆσαι τὰ ἐπερηρεισμένα, ὑποσπασθέντος τοῦ ἐρείδοντος; ὅτε τοίνυν ἡ τῆς εὐκλείας κρηπὶς καὶ ὁ τῆς εὐημερίας θεμέλιος κατασεισθήσεται κατ' αὐτοὺς, συνοιχήσεταί που πάντως εἰς τὸ δυσκλεές τε καὶ ἐν
1 Cor. xv. 24. ὑφέσει καὶ ἡ τῶν ἄλλων ἐλπίς· τὸ οὖν "Ὅταν παραδῷ τὴν
Cf. supra p. 306. "βασιλείαν," οὐ τοιοῦτόν ἐστιν, ὅτι ταύτην ἀποθήσει, ἀλλ' ὅτι ὑφ' ἑτέρων ἐχομένην ἐκσπάσας προσάξει τῷ Πατρί· συγκατάρξει γεμὴν τούτῳ καὶ αὐτός.

14. καθὼς habet Cod. 17. Χριστῷ Cod. κυρίῳ Maius. 18. καὶ vix legendum, fortasse ἢ καὶ. 22. τοῖον habet Cod. 24. τὸ Cod. τὸν Maius.

[125 M.]

Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον· ὁ αὐτὸς καὶ εἰς αἰῶνας. Κεφ. ιγ'. 8

S. Chrysostomi et S. Cyrilli nomina inter se transponit a., unde Migne qui tamen revera esse scholion S. Chrysostomi ad loc. adnotat. Nomina recte exhibet cod. Coisl. *Κατακεκραγότες* [sic a] *τῆς ἀδίκου κρίσεως τοῦ προφήτου Ἀμβακοὺμ ἀποκρίνεται ὁ Θεὸς τοῖς ἀδικοῦσι τὰς ἐσομένας συμφορὰς αὐτοῖς προαπαγγέλλων. θαυμάσια δὲ λέγει τὰ αὐτοῖς συμβήσεσθαι μέλλοντα. καὶ γὰρ ἦν πολλῆς ἐκπλήξεως ἄξιον, πῶς ὁ Ἰσραὴλ ὁ ἐν τέκνοις κατηριθμημένος Θεοῦ καὶ πρωτότοκος ὠνομασμένος καὶ δι' ὧν* [*δι' ὃν*?] *ἀπόλωλεν Αἴγυπτος, παραδέδοται τοῖς Βαβυλωνίοις καὶ οὐ μόνον μαχαίρᾳ, ἀλλὰ γὰρ καὶ δουλείᾳ καὶ αἰχμαλωσίᾳ καὶ τοῖς ἀπευκτοῖς ἅπασι. ταῦτα δέ, φησί, τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθός ἐστιν ὡς καὶ ἀπιστεῖσθαι εἴ τις αὐτὰ ὑμῖν προαπαγγέλλοι.* vide in Prophetam Abaccuc ad loc., unde forte abbreviata haec.

a fol. 94. *Τέθεικά σε εἰς φῶς ἐθνῶν.*

Ἐπέλαμψε τοίνυν τοῖς ἔθνεσιν ὁ Χριστὸς καὶ φωτὸς θείου μεμεστωμένην ἀπέφηνε τὴν ὑπ' οὐρανὸν καὶ καθαροῖς διανοίας ὄμμασι τὴν θείαν τε καὶ ἀνωτάτω περιαθρῆσαι φύσιν καὶ τοὺς τῆς πνευματικῆς λατρείας καθιερῶσαι τρόπους.

a fol. 97. *Ἔθος—τὰ ἱμάτια ὑμῶν* e comm. in Nahum 496 init. desumpta.

a fol. 101. *Τί πειράζετε τὸν Θεόν.*

Καὶ γοῦν ὅτι τε εἰ φορτικὸς καὶ δύσοιστος ὁ νόμος διωμολογήκασιν ἀληθῶς οἱ θεσπέσιοι μαθηταὶ ταῖς τινῶν ἀμαθίαις ἐπιπλήττοντες. ἔφασκον γάρ Νῦν οὖν τί πειράζετε καὶ τὰ ἑξῆς.

Τοῦ αὐτοῦ. Φορτικὸς μὲν γὰρ—τοῦ νόμου e Hom. 85 in S. Luc. (Maii Bibl. Nov. ii. 282) desumpta.

a fol. 102 v. *Σκηνὴν Δαβὶδ—ἐν Χριστῷ* e commentariis in Amos 350 b et c d desumpta.

a fol. 120. *Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε.*

Τουτέστι τὸν Θεὸν τὸν ὕψιστον [*τῷ Θεῷ τῷ ὑψίστῳ* cod. Coisl.]*· οἱ γὰρ δεί-*

λαιοι ἕλληνες οἴονται εὐσεβεῖν καὶ τὸν ὄντως ὄντα Θεὸν, ἐὰν σὺν [σὺν habet cod. uterque, om. Cr.] τοῖς λοιποῖς θεοῖς σχοῖεν τὸ σέβας αὐτοῦ, ἀγνοοῦντες ὅτι μείζονος τιμωρίας ἀξιωθήσονται, τὸ φῶς τῷ σκότει συγκρίνοντες καὶ τῷ φαύλῳ τὸ ἀγαθὸν [τὸ φαῦλον τῷ ἀγαθῷ cod. Coisl.] καὶ τῷ ἀλόγῳ τὸ νοερὸν, καὶ τῷ εὐτελεῖ τὸ θεῖον· ὅθεν καὶ μωροὺς αὐτοὺς ἐκάλεσε λέγων "Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν." Rom. i. 22.

a fol. 140 v. Μετὰ τὴν ἄφιξίν μου.

Ἵνα μὴ ξενιζώμεθα τῶν αἱρετικῶν τὰ ἐκβράσματα, Πνεύματι Ἁγίῳ προασφαλιζόμενος [ita a. ἀσφαλιζόμενος Cr.] ἡμᾶς ταῦτά φησιν.

a fol. 171 v. ἔθος—προνομεύσουσιν e comm. in Esaiam prophetam 207 b desumptum.

De Fragmentis in Epistolas Catholicas a Migne ex iisdem fontibus exhibitis vix aliquid habeo quod dicam; S. Cyrillum in has epistolas scripsisse vix credo ipse, sed scholia ad fontem alium sequi non potui. Hic igitur exhibeo. Contuli cum codice Coll. Novi, a. (ut supra signans), cum codice Mosquensi xcvii. olim xcviii. membranaceo sec. ix. exarato. Collationes has, hodie amissas nonnisi parte exhibere possum, c signavi.

In Epistolam S. Jacobi Apostoli.

Αἰτείτω δὲ ἐν πίστει.

a fol. 179. c fol. 2 v. Ὑβριστὴς γὰρ ὁμολογουμένως ὁ διακρινόμενος· εἰ γὰρ μὴ πεπίστευκας ὅτι τὴν σὴν αἴτησιν ἀποπεραίνει, μηδὲ προσῆλθες [προσέλθῃς ?] ὅλως ἵνα μὴ κατήγορος εὑρεθῇς τοῦ πάντα ἰσχύοντος, διψυχήσας ἀβουλήτως. χρὴ τοιγαροῦν τὴν οὕτως αἰσχρὰν παραιτεῖσθαι νόσον.

a fol. 184 v. c fol. 9. Κυρίλλου ἐκ τῆς πρὸς ῥωμαίους ἐπιστολῆς vide supra p. 180.

a fol. 184 v. c fol. 9. προσεκόμιζε—ἀγάπης e Glaph. 88 d desumpta.

Ἐπίστευσε δὲ Ἀβραάμ.

a fol. 185. c fol. 9 v. Γέρας οὖν ἔχει τὴν δικαιοσύνην [δικαίωσιν cod. Coisl. teste Cr.] ὁ πίστει τιμῶν τὸν τῶν ὅλων Θεὸν καὶ [Θεὸν καὶ om. c.] δεσπότην.

Εἴ τις ἐν λόγῳ οὐ πταίει.

a fol. 185 v. c fol. 10. [τοῦ ἁγίου κυρίλλου τοῦ μεγάλου praemittente c.] d [= cod. S. Laurentii Escorialensis Υ. ii. 1 olim Card. Hurtados de Mendosa, sec. xiv. bomb.] fol. 238. Βεβηκότος γὰρ [γὰρ om. d.] νοῦ καρπὸς [καρπὸς accessit ex c.] καὶ φρενὸς τῆς [τῆς om. d.] τελειοτάτης [τελεωτάτης c.] ἀπόδειξις ἐναργὴς, τὸ μηδὲν ἐξίτηλον ἐπὶ γλώσσης ἔχειν, ἤγουν ἀθυροστομεῖν ἀνέχε-

σθαί ποτε· ἡγεῖσθαι δὲ μᾶλλον τοῦ παντὸς ἄξιον λόγον, εὐηγορεῖν εἰδέναι καὶ λαλεῖν τὰ παντὸς ἐπαίνου μεστά. [pergit ψάλλει δαυεὶδ Θεοῦ infra d] χρῆμα δὴ οὖν πρεπωδέστατον ὅτι μάλιστά γε ἐν τοῖς εὐζωεῖν ἠρημένοις [εἰρημένοις pro more codicum antiquorum c.] τὸ λαλεῖν σοφίαν· ἀπόβλητον γὰρ ἁγίοις τὸ μωρολογεῖν, καὶ ἀσύνηθες κομιδῇ τὸ κεχρῆσθαί τισιν ἢ εὐτραπελίαις, ἤγουν αἰσχρορημοσύναις
Eph. v. 4. ἃ [ita cod. Coisl. αἳ a. Ed.] οὐκ ἀνῆκεν [ita c. ἀνῆκον a. Ed.] καθά [καθά om. c.] φησιν ὁ πάνσοφος Παῦλος· φίλον δὲ αὐτοῖς καὶ διὰ σπουδῆς γεγόνασι τούτου εὐηγορεῖν· διαμέμνηται γὰρ κατὰ τὸ εἰκὸς [κατὰ τὸ εἰκὸς om. c.] τῆς ἁγίας λεγού-
Col. iv. 6, σης γραφῆς Ὁ λόγος ὑμῶν ἐν χάριτι ἅλατι ἠρτυμένος ἵνα δῷ χάριν τοῖς ἀκουοῦσι·
Eph. iv. 29. καὶ πάλιν Ἀποδέχεται μὲν ἡ θεόπνευστος γραφὴ τὸ ἐπιεικὲς εἰς λόγους, καταψέγει δὲ καὶ [καὶ omisit Cr. invitis codicibus] μάλα εἰκότως τῆς γλώσσης τὸ ἀκρατές. ἔφη μὲν γάρ **εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλι-**
Ps. cxl. 3. **ναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.** ψάλλει δέ που καὶ Δαυείδ "Θοῦ, Κύριε, φυλακὴν "τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου," [τῷ στόματί—χείλη μου om. d. μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας addit et ita desi-
Ib. xxxviii. 1. nit c.] καὶ πάλιν "Εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ "μου." ἀρίστη γὰρ φυλακὴ τὸ ἄπταιστον ἔχειν τὴν γλῶσσαν.

Μὴ καταλαλεῖτε ἀλλήλων ἀδελφοί.

a fol. 190 v. c fol. 15. Παγχάλεπον [ita c. πᾶν χαλεπὸν Ed.] ἀποκείρει πάθος τῶν ἡμετέρων διανοιῶν, ὑπεροψίας ἀρχὴν καὶ γέννησιν [γένεσιν c.]. καίτοι γὰρ δέον τινὰς ἑαυτοὺς κατασκέπτεσθαι, καὶ κατὰ Θεὸν πολιτεύεσθαι, τοῦτο μὲν οὐ δρῶσι, πολυπραγμονοῦσι δὲ τὰ ἑτέρων· κἂν ἀσθενοῦντας ἴδωσί τινας, ὥσπερ εἰς λήθην ἐρχόμενοι τῶν ἰδίων ἀρρωστημάτων, φιλοψογίας [φιλοψοφίας (sic) a.] ὑπόθεσιν ποιοῦνται τὸ χρῆμα καὶ καταλαλιᾶς ἀφορμήν [ἀφορμὴν ita c. ὑπόθεσιν repetit a.]· καταψηφίζονται γὰρ αὐτῶν· οὐκ εἰδότες ὅτι τὰ ἴσα νοσοῦντες τοῖς παρ' αὐτῶν διαβεβλημένοις, ἑαυτοὺς [ita c. cod. Coisl. ἑαυτῶν a.] κατακρίνουσιν. οὕτω
Rom. ii. 1. που καὶ ὁ σοφώτατος γράφει Παῦλος "Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατα-"κρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων."

Ἄγε νῦν οἱ λέγοντες Σήμερον.

a fol. 191. c fol. 15. Οἱ μὲν γὰρ πρὸς ἐμπορίας καὶ τὰς ἐντεῦθεν φιλοκερδείας ἀκορέστως κεχηνότες ὁδοιποριῶν ἀνέχονται μακρῶν ναυτιλίας καὶ τῶν ἐν αὐτῇ κυμάτων· οἱ δὲ τὴν πεπορισμένην αὐτοῖς δυναστείαν ὅπλον ποιοῦνται τῆς καθ' ἑτέρων πλεονεξίας· ἕτεροι δὲ αὖ τὰ [αὖ τὰ c. αὐτὰ a. Ed.] ἐκ μοχθηρῶν εὑρημάτων παχύνουσι βαλάντια, καὶ τόκοις [τόκοι cod. Coisl. ἐπὶ τόκοις tr. emendans Migne] ἐπὶ τόκους ἀνοσίως συλλέγοντες, πῦρ καὶ κόλασιν ταῖς ἑαυτῶν καταχέουσι κεφαλαῖς [περὶ φρονήματος μετεώρου τὸ λεγόμενον, οὗ τὸ τέλος ἀφανισμός addit c.].

a fol. 191 v. [deest ut vid. in c.] Τουτέστιν—οἱ δείλαιοι e comm. in Esaiam prophetam 468 a b desumptum.

Μακροθυμήσατε.

a fol. 192. c fol. 16. Εἰ γὰρ καὶ ὑπερτίθεταί φησιν ὁ Θεὸς τῶν ἁμαρτανόντων

τὴν τιμωρίαν, περιμένων αὐτῶν τὴν μετάνοιαν, οὐχ ὡς μεταβεβλήμενος ταῦτα ποιεῖ, ἢ καὶ φιλῶν τοὺς ἁμαρτάνοντας· ἀλλὰ καιρὸν αὐτοῖς ἐπιστροφῆς παρέχων.

Addit Migne et scholion sequens, quod tamen S. Cyrilli non est sed in a. plane anepigraphum.

Ἤτω δὲ ὑμῶν τὸ ναί.

a fol. 193. c fol. 18. Ἔστω ἡ τοῦ βίου ἡμῶν [ὑμῶν c.] μαρτυρία βεβαιοτέρα ὅρκου· εἰ δέ τις ἀναιδὴς μὴ δυσωπούμενος ὑμῶν τῷ βίῳ τολμᾷ ὑμῖν ἐπαγαγεῖν ὅρκον ἔστω ὑμῖν **τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὒ** ἀντὶ τοῦ ὅρκου.

Addit Migne et scholion sequens, quod in codicibus anepigraphum est.

In S. Petri Epistolam primam.

Εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύοντες δέ.

a fol. 196. c fol. 20. Δεινὸν τοίνυν καὶ χαλεπὸν ἡ ἀπιστία, μέγιστον δὲ ἀγαθὸν ἡ πίστις, πρόξενος πάσης σωτηρίας καθεστῶσα.

Λίθον ἀκρογωνιαῖον ἐκλεκτόν.

a fol. 199 v. c fol. 23. **Λίθον** μὲν οὖν [ita c. cod. Coisl. οὖν om. a. Ed.] **ἐκλεκτὸν** πολυτελῆ καὶ ἔντιμον τὸν Κύριον ἡμῶν Ἰησοῦν [+τὸν c.] Χριστὸν ἀποκαλεῖ [+καὶ c.] τῇ τῆς θεότητος δόξῃ καὶ ὑπεροχῇ διαπρέποντα [διαπρέπων (sic) c.]· **ἀκρογωνιαῖον** δέ φησιν ὡς διὰ πίστεως μιᾶς κατασφίγγοντα πρὸς ἑνότητα πνευματικὴν τοὺς δύο λαοὺς τὸν ἐξ Ἰσραὴλ καὶ τὸν ἐξ ἐθνῶν. ἀλλ' **ὁ πιστεύων** φησὶν **ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ** [des. cod. Coisl.]. ἄθρει δὲ πῶς ἀνίησι τοῖς τεθλιμμένοις τὸ ἐλεύθερον καί φησι **Τίθημι τὸν ἐκλεκτὸν λίθον εἰς τὰ θεμέλια Σιών.** καὶ τί τὸ ἐντεῦθεν ὄφελος; **ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.**

d fol. 244 v. Scholion diversum sub nomine Κυρίλλου exhibet quod hic subjungo [sequitur anepigraphum in a fol. 199 v.], Ὥσπερ ὁ Κύριος φῶς ὢν ἀληθινὸν εἰς κρῖμα εἰς τὸν κόσμον ἐλήλυθεν ἵνα ὀμματώσῃ τοὺς πρὸ τῆς παρουσίας αὐτοῦ τυφλοὺς, τυφλώσῃ δὲ τοὺς τέως [τέως om. a.] κακῶς βλέποντας, οὕτω καὶ **λίθος** ἐκλεκτὸς ἔντιμος ὢν **τιμὴν** ὑπάρχει [παρέχει recte a.] **τοῖς** διὰ πίστεως οἰκοδομουμένοις αὐτῷ, θεμέλιος αὐτῶν βέβαιος ἀποδειχθεὶς, **τῶν** ἀπειθούντων δὲ διὰ ἀπιστίας αὐτῷ οὐκ ἔντιμος ἀλλὰ **προσκόμματος λίθος καὶ σκανδάλου πέτρα** νομιζόμενος, προσσχῶσι τοῖς ἐξουθενήσασιν αὐτὸν οἰκοδόμοις· οὗτοι δέ εἰσι γραμματεῖς καὶ Φαρισσαῖοι, [des. a.] οἱ ἀπεδοκίμασαν αὐτὸν λέγοντες ὅτι Σαμαρείτης εἶ καὶ δαιμόνιον ἔχεις καὶ πάλιν Οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ ἀλλὰ πλανᾷ τὸν ὄχλον. S. Joan. ix. 39. Ib. viii. 48. Ib. ix. 16. Ib. vii. 12.

Παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ.

a fol. 203 v. Cod. Mediceo-Laur. Plut. vi. 5 [c. non contuli]. Ἁγιοπρεπὲς τὸ μάθημα καὶ σωτήριον, καὶ λόγου παντὸς ἀξίαν εἶναί φημι τὴν ὑφήγησιν· γέγραπται γὰρ ὅτι "θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης, οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς "καρποὺς αὐτῆς." ἔφη δέ που καὶ ὁ Χριστοῦ μαθητής "Εἴ τις ἐν λόγῳ οὐ πταίει, "οὗτος τέλειος ἀνὴρ δύνατος χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα" μέγα δὴ [δὴ om. cod. Laur.] οὖν τῆς γλώσσης τὸ ἐγκρατὲς, ὥσπερ οὖν [οὖν om. a. cod. Coisl.?] Prov. xviii. 21. S. Jac. iii. 2.

ἀμέλει παγχαλεπὸν νόσημα τὰ μὴ οὕτως ἔχον: His ultimis verbis verba similia exhibet Niketas in psalmos ad loc. in cod. Taur. olim B. iv. 7 hodie B. i. 5 sed sine nomine.

Καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον.

Scholio huic *τοῦ χρυσοστόμου* nomen apponit a, id autem exhibeo auctoritate c fol. 27, cod. Med.-Laur. (supra cit.), cod. Coisl. [*τοῦ αὐτοῦ* i. e. *κυρίλλου* ut adnotat Cramerus exhibentis] fretus, *Δόλος δέ ἐστι τὸ ψεῦδος, καὶ ἀπάτη καὶ συκοφαντία, καὶ* [*ἡ ἀπάτη καὶ ἡ συκοφαντία καὶ αἱ* c.] *διαβολαὶ τὸ ἀληθὲς οὐκ ἔχουσαι· φίλα δέ πως ταυτὶ τῷ τῆς ἀληθείας ἐχθρῷ, τουτέστι τῷ*
S. Joan. viii. 44. *Σατανᾷ, τῷ τοῦ ψεύδους πατρί· "Ψεύστης γάρ ἐστι, καθά φησιν ὁ Σώτηρ, καὶ "ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε." παραιτητέον δὲ τοῖς ἁγίοις τὰ ἐκείνου ἁρπαγιμαῖα μᾶλλον τὰ Θεοῦ, ὅς ἐστιν ἀλήθεια.* Priora et e Nik. in ps. exhibuit Maius (Bibl. Nova iii. 240.).

a fol. 204. Cod. Med.-Laur. supra cit. *τοῦ αὐτοῦ* praemittentes. *Οὐ γὰρ ἐν ἡμῖν τὰ μηδόλως εἰς ναῦν δέξασθαί τι τῶν τοιούτων· προσπίπτουσι γὰρ αὐτῷ τοιαῦταί πως ἔννοιαι πλειστάκις· ἀλλ' εἴπέρ τις εἴη σοφὸς, ἀποφέρεται μὲν αὐτῶν, τοῖς δὲ ἀμεινόσι καὶ πόλυ λίαν ἔχουσι τὰ ἐπωφελὲς χαρίζεται τὰς ῥοπάς· τοῦτό ἐστιν οἶμαι* [*οἶμαί ἐστι* cod. Coisl.] *τό Ἔκκλινον ἀπὸ κακοῦ*: quibus similia exhibet cod. Bodleianus Laud. Gr. 42 fol. 296 inter citationes in verba psalmorum.

Deinde verba *Διώκουσι τοίνυν τὰ δίκαιον ἵν' εὑράντες ἁρπάσωσιν. οὗτοι δ' ἂν εἶεν οἱ καὶ αὐτὰν ζητοῦντες τὸν Κύριον τουτέστιν τὸν Χριστόν. εὑρίσκουσι γὰρ διὰ πίστεως, καλοῦντος αὐτοὺς εἰς τοῦτο τοῦ Θεοῦ καὶ πατρός* anepigrapha in a et cod. Coisl., S. Cyrillo tribuit recte ut videtur cod. Med.-Laur. supra cit.

Τοῦ αὐτοῦ cod. Med.-Laur. *τοῦ ἁγίου Κυρίλλου* c fol. 28. *τοῦ αὐτοῦ* cod. Coisl. sine nomine a. fol. 204. *Ἀξιοῖ γὰρ ἐπισκοπῆς οὐ τοὺς ταῖς ἁμαρτίαις ἐνεχομένους ἀλλὰ γὰρ τοὺς* [*τοὺς* assumptum ex c.] *ἤδη κεκαθαρμένους.*

Paulo post scholion breve *οὐκοῦν—τοῦ Θεοῦ* [Cr. 63, 27–32] S. Cyrillo tribuit cod. Coisl. sed errore ut videtur.

ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ.

a fol. 205 v, cod. Med.-Laur. Plut. iv. 29 [c fol. 29 sine nomine] *Λύει ἐνταῦθα τὴν ἀντίθεσιν ἐκείνην ἥν τινες ἀντιτιθέντες λέγουσιν· εἰ ἐπωφελὴς* [*ᾖ* add. Ed. invitis libris] *ἡ ἐνανθρώπησις, τί δήποτε μὴ πρὰ πολλῶν ἐνηνθρώπησε χρόνων; ἰδοὺ γὰρ* **καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν·** *ἵνα λύσῃ τούτους ὅσοι πιστεύειν ἔμελλον, εἰ κατ' ἐκεῖνο καιροῦ* [*ἐκείνῳ καιρῷ* (οῦ) cod. Med.-Laur.] *σαρκωθεὶς τοῖς ἐπὶ γῆς ἐπεφοίτησεν· οὗτοι γὰρ αὐτὸν καὶ ἐν τοῖς καταχθονίοις ἐπιφανέντα πάντως ἐπέγνωσαν, καὶ τῆς ἐπιφανείας ἀπήλαυσαν* [*ἀπήλαυσαν* cod. Med.-Laur. *ἀπέλαυσαν* a. Ed.].

Exhibet scholion sequens anepigraphum revera Migne, deinde et id quod proxime sequitur, quibus postremis, in codicibus nostris reliquis anepi-

graphis κυρίλλου nomen apponit codex Parharmensis [supra cit. p. 361], e S. Cyrilli scriptis tanquam e fonte sensum forte hauriente auctore incognito.

a fol. 207 v. Οὐκοῦν ἀνάγκη—κατὰ τὴν σάρκα e tractu de recte fide 173 d desumptum.

a fol. 208. Ὡς γὰρ—κατὰ τὴν σάρκα e tractu de r. f. 102 b desumptum.

a fol. 210 v. d fol. 250. Οἱ τὴν ἑστίαν—εὑρίσκεται e Hom. in S. Luc. 69 (Patrum Bibl. Nova ii. 259 fin.) desumptum. Reliqua Μὴ ξένον—ἐπιδείξασθε Migne exhibita Severo tribuit cod. Coisl.

a fol. 212. Sine nomine sed Κυρίλλου nomen apponit cod. Coisl. Ἰστέον δὲ ὅτι τοῖς νοητῶς ὑπνοῦν εἰωθόσι τὸ χαλεπὸν [παγχάλεπον cod. Coisl.] ἀληθῶς ἐπιπηδᾷ θηρίον· καὶ τοῦτο διδάσκει λέγων ὁ Χρίστου μαθητὴς **νήψατε, γρηγορήσατε**, καὶ τὰ ἑξῆς.

In S. Petri Epistolam secundam.

a fol. 214 v. Μύθοι γὰρ ὄντως καὶ ἀνθρώπινα σοφίσματα τῶν αἱρετικῶν τὰ προβλήματα, οὕστινας ἐκτρέπεσθαι βουλόμενος ἡμᾶς ὁ Παῦλος γράφει "Αἱρετικὸν Tit. iii. 10.
"ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ," καὶ τὰ ἑξῆς.

Ἄρχεται μὲν ἤδη τῆς κατὰ τῶν αἱρετικῶν ἐπιδρομῆς, καθὸ ἐκεῖνοι τὴν ἀλήθειαν οὐκ ἔχοντες ποικίλοις λόγοις ἀναγκάζονται περιπλάττειν τὸ ψεῦδος. ἀλλ' ἡμεῖς οὐχ οὕτω, φησὶν, ἀλλ' αὐτοῖς [ita cod. Coisl. ἀλλὰ τοῖς a.] ὀφθαλμοῖς τὴν ἀλήθειαν ἐθεασάμεθα, μετ' αὐτοῦ ὄντες ἐν τῷ ὄρει. ἔχομεν οὖν καὶ τοὺς προφήτας ταύτην αὐτὴν τὴν ἀλήθειαν ἡμῖν προμηνύσαντας, καὶ οὕτως διὰ τῆς ὄψεως βεβαιότερος τῶν προφητῶν ὁ λόγος ἡμῖν [ἡμῖν ὁ λόγος cod. Coisl.] ἐγένετο· ἃ γὰρ ἐκεῖνοι εἶπον ταῦτα παρὼν ὁ Χριστὸς ἐπιστώσατο. καὶ μάρτυρες ἡμεῖς οἱ καὶ τὴν μαρτυρίαν ἀκούσαντες τοῦ Πατρός· εὖ δὲ καὶ ὑμεῖς ποιήσετε τῷ προφητικῷ πειθόμενοι λόγῳ· οὗτος γὰρ τοὺς ἐν ἀγνοίᾳ φωταγωγεῖ ἕως καθαρὸν ὑμῖν τὸ φῶς τοῦ εὐαγγελίου διαφανῇ καὶ ὁ νοητὸς ἑωσφόρος τουτέστι Χριστὸς ἐν ταῖς καρδίαις ὑμῶν ἀνατείλῃ. Scholion utrumque exhibet Migne, et inverso ordine sub nomine Κυρίλλου cod. Coisl. teste Cramero: anepigraphum in a. scholion posterius.

a fol. 216 v. e. [κυρίλλου nomen omittit cod. Coisl.] Καὶ γοῦν ὁ θεσπέσιος μελῳδὸς "Ἄνθρωπος, φησὶν, ἐν τιμῇ ὢν οὐ συνῆκε, παρεσυνεβλήθη [παρασ. hodie Ps. xlviii.
per rasuram exhibet a. unde Cr.] τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς." 21.
ἔθη γὰρ ἀλογίας συμπεπλεγμένα νόμους ὥσπερ τινὰς [τινὰς om. Cr. invitis codicibus] ἔχοντες, ὀλίγα κομιδῇ διενεγκόντες ἐφαίνοντο κτηνῶν, ὡς ἔφην, ἃ πρὸς μόνην γέγονε φθοράν. Deinde πρὸς τῷ ἀσεβεῖν—ἀλλήλοις addit Migne sed anepigrapha haec in codicibus nostris, ad verbum πρὸς nomen ἄλλος apponit e.

a fol. 220 v. Δοκεῖ—ὁ Χριστός e resp. ad Tib. sociosque duodecima (infra sub calce vol. hujus) desumpta.

a fol. 221. Προσήκει τοίνυν ἀποστρέφεσθαι τοὺς τοιούτους· κἂν τὸ ὄνομα τοῦ Χριστοῦ πρὸς ἀπάτην ἀμφιέννυνται. αὐτοῦ γὰρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

S. Matth. vii. 15. προσταξίς ἐστι πρὸς ἡμετέραν ἀσφάλειάν τε καὶ σωτηρίαν λέγοντος "Προσέχετε "ἀπὸ τῶν ἐρχομένων [προσερχομένων cod. Coisl.] πρὸς ὑμᾶς ἐν ἐνδύμασι προ-
Ib. xxiv. 4, 5. "βάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες," καὶ πάλιν "Βλέπετε μήτις ὑμᾶς πλα-"νήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες Ἐγώ εἰμι ὁ Χρι-
Phil. iii. 2. "στὸς καὶ πολλοὺς πλανήνουσι·" καὶ ὁ Παῦλος βοᾷ "Βλέπετε τοὺς κύνας βλέπετε "τοὺς κακοὺς ἐργάτας" τῆς πίστεως τῆς εἰς τὸν Κυρίον Ἰησοῦν.

In Epistolam S. Johannis primam.

ὁ Θεὸς φῶς ἐστι.

Maius (Patrum Bibl. Nova t. iii. Praef. p. 7) e Leo patricio haec exhibet Ἢ ὅτι κατ' οὐσίαν φῶς ὑπάρχει ὁ Θεὸς ἐν τοῖς ἐν αὐτῷ διὰ τῶν ἀρετῶν περιπατοῦσιν ἀληθῶς φῶς γενόμενος, ἢ σκοτίαν τὴν κακίαν λέγει διὰ τοὺς Ἰουδαίους, quae, si vere S. Cyrillum auctorem habeant, abbreviata sunt.

οὐκ ἐντολὴν καινήν.

a fol. 224 v. [his praemittit τοῦ ἁγίου κυρίλλου ἐκ τοῦ κατὰ Ἰωάννου βιβλίου cod. Coisl. quae quum in commentariis non notaverim, hic exhibeo.] Περὶ ἀγάπης ὑμῖν διαλεγόμενος· τοῦτο γάρ ἐστι τό "Καθὼς ἐκεῖνος περιεπάτησεν" ἐν ἀγάπῃ·
S. Joan. xv. 13. ὡς γὰρ αὐτὸς ὁ Κύγιος ἔλεγε "Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει ἐνδείξασθαι, ἢ "ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ." ταύτην οὖν τὴν [τὴν om. cod. Coisl.] περὶ ἀγάπης ἐντολὴν οὐ καινὴν γράφω ὑμῖν· πάλαι γὰρ αὐτὴν δία τῶν
Es. lxiii. 9. προφητῶν ἐπηγγείλατο· "οὐ γὰρ πρέσβυς," φησιν, "οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ "Κύριος ἔσωσεν αὐτοὺς, διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ κήδεσθαι αὐτῶν."[1]

γράφω ὑμῖν πατέρες.

Maius l. c. ex eodem Leone patricio exhibet Ἡλικίας ἐνταῦθά μοι νόει κατὰ τὸν ἔσω ἄνθρωπον, οὐ γὰρ ὁ εὐαγγελιστὴς πρὸς βρέφη ἔγραφε· καὶ νεανίαι μὲν οἱ εἰς ἀνδρείαν ἐλθόντες πνευματικὴν, πρεσβῦται δὲ οἱ εἰς φρόνησιν ἐλάσαντες, νήπιοι δὲ οἱ ἐν Χριστῷ ἄρτι πιστεύσαντες.

Μὴ ἀγαπᾶτε τὸν κόσμον.

a fol. 226. Καὶ τί τὰ ἐν τῷ κόσμῳ ἢ ματαιότης, ἣν ἐπ' οὐδενὶ τῶν χρησίμων τηροῦσί τινες, ἤγουν ἐμμόνως ὁρῶνται πράττοντες· ὁ περιττὸς καὶ ἀνόνητος τοῦ

[1] His subjungo e cod. Coisl. 17, fol. 70 v. [catenam in Ezechielem prophetam continente] τοῦ ἁγίου κυρίλλου ἐκ τοῦ κατὰ ἰωάννην εὐαγγελίου. Τί οὖν ἐν τούτοις ὁ μέγας ἡμῖν ἐπαγγέλλεται νοῦς, τί δὲ καὶ δώσειν ὑπισχνεῖται Θεός; καρδίας μετάστασιν καὶ μεταβολὴν τὴν ἐκ τοῦ κατεσκληκότος φρονήματος εἰς ἕξιν τὴν τρυφεράν, quae similiter inter commentaria non reperi, seu per incuriam meam, seu quia abbreviata haec seu quia imperfecta commentaria ipsa; et e cod. Vatopedhiensi 76, Niketae in S. Luc. Catenae partem ultimam continente [vide supra p. 423), fol. 17, sub titulo κυρίλλου κατὰ ἰω', Ἄνθρωπος μὲν γὰρ ἀγροῖκος εὐλογωτάτην ἂν τὴν ἀπὸ τοῦ δικάζοντος αἰτήσῃ συγγνώμην· ὁ δὲ ὀξὺς εἰς νόησιν καὶ συνεὶς τὸ συμφέρον, εἶτα τοῖς αἰσχίοσι τῆς ἑαυτοῦ διανοίας καταπωλήσας τὴν ῥοπὴν, ἀνισχύρως αἰτήσει τὸν ἔλεον καὶ παραίτησιν τὴν ἐπὶ τῷ κολάζεσθαι οὐδαμόθεν ἕξει βοηθουμένην, ἀπολεῖται δὲ καὶ σφόδρα δικαίως, ἀσυνηγόρητον ἐφ' ἑαυτῷ τηρήσας τὴν ἁμαρτίαν ὡς διὰ κακίαν καὶ πονηρίαν τοῦ δεσποτικοῦ ἀποπίπτων θελήματος. ἀγνοίας μὲν γὰρ ἐπὶ τῷ μὴ εἰδότι τὰ ἐγκλήματα, καταφρονήσεως δὲ τῆς ἐσχάτης ἐπὶ τῷ νενοηκότι καὶ τὸ δρᾶν ἀβούλως ἐξωθουμένῳ.

παρόντος βίου περισπασμός· ἡ τῶν κοσμικῶν ἐπιθυμιῶν χυδαιότης· ἧς [*ἧς* erasum ut vid. in a., unde omisit Cr.] *ἐξίστησιν ἡμᾶς ὁ Χριστοῦ μαθητὴς οὕτω λέγων* **Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν** [*τῷ* addit Cr. invito a.] **κόσμῳ**, *καὶ τὰ ἑξῆς*[2];

Ἐὰν ἡ καρδία ἡμῶν.

a fol. 230 v. *Ἕως εἶ κατὰ τὸν βίον τοῦτον, ὁδὸς γὰρ ὁ βίος ὑπὸ πάντων* Cf. S. Matt. v. 25. *ἀνθρώπων παροδευόμενος, προσδέχου καὶ μὴ παραλογίζου τὴν ἐκ τοῦ συνειδότος ὑπόμνησιν· εἰ δὲ παραλογίσῃ καὶ παραδράμῃς τὸν βίον, αὐτὸ τὸ συνειδὸς ἀντιδίκου τάξιν ἐπέχον ἐπὶ τοῦ κριτοῦ κατηγορήσει, καὶ ὑπὸ τὴν ψῆφον ποιήσει σε τοῦ δικάζοντος, καὶ παραδοθήσῃ ταῖς ἀνηκέστοις κολάσεσιν· ἃ οὐκ ἂν ἔπαθες, εἴγε κατὰ τὴν ὁδὸν εὔνοιαν ἐκτήσω πρὸς τὸν ἀντίδικον, τοὺς ἐλέγχους ὡς μετ' εὐνοίας προσφερομένους καταδεχόμενος. τοῦτο γὰρ καὶ ὁ θεσπέσιος Εὐαγγελιστὴς Ἰωάννης ἐπιστέλλων φησὶν* **ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν.**

τίς δέ ἐστιν ὁ νικῶν.

a fol. 234 v. *Καὶ οὔτε Ἕλλην οὔτε Ἰουδαῖος οὔτε αἱρετικὸς δύναται πρὸς αὐτήν, ἅπαξ τοῖς ἔργοις τὰ νικητήρια τῆς καθ' ἡμᾶς πίστεως ἀπενεγκαμένης.*

In S. Judae Epistolam.

ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ.

a fol. 239. *Ὁμοῦ μὲν ἀσφαλιζόμενος ἡμᾶς* [*ἡμᾶς* om. cod. Rawl.], *ὁμοῦ δὲ καταστίζων τοὺς αἱρετικούς, ταῦτά φησιν. οὐκοῦν οὐ ξενιστέον ἐπὶ τῇ τῶν αἱρετικῶν πλάνῃ τε καὶ κακοπιστίᾳ, τοῦ Ἁγίου Πνεύματος προμηνύσαντος ἡμῖν διὰ τῶν ἁγίων προφητῶν τε καὶ ἀποστόλων τὴν τούτων ἔγερσιν· μᾶλλον γὰρ ἡμᾶς διὰ τῆσδε τῆς προφητείας ἀσφαλεστέρους ἐποίησεν ὥστε μὴ ταῖς σοφιστίαις τούτων ἁλῶναι.* Haec exhibet et noster Bodleianus cod. Rawl. G. 157 e cod. Med.-Laur. supra cit. Plut. vi. 5. olim avulsus.

[2] Verbis *ἀνοσιεύεται—ἦν*, Cr. 127. 24-26, anepigraphis in a fol. 230, tit. *τοῦ ἁγίου κυρίλλου* apponit c., eque Glaph. 16 c. sunt desumpta.

HOMILIARUM FRAGMENTA.

I.

FRAGMENTA HOMILIAE DE UNO FILIO.

Τοῦ αὐτοῦ ἐκ τῆς ὁμιλίας τῆς περὶ ἑνὸς υἱοῦ.

ΕΙ γὰρ εἷς ἐστιν ἰδικῶς Υἱὸς ὁ ἐκ τοῦ Θεοῦ Πατρὸς Λόγος, εἷς δὲ ὁμοίως ἰδικῶς καὶ ἕτερος παρ' αὐτὸν ὁ ἐκ σπέρματος Δαυείδ, τῇ πρὸς τὸν φύσει καὶ ἀληθῶς Υἱὸν κοινωνίᾳ τιμώμενος, πῶς οὐχ ἅπασιν ἐναργὲς ὅτι ὁ μὲν δίδωσιν, ὁ δὲ λαμβάνει· ὁ μὲν στεφανοῖ, ὁ δὲ στεφανοῦται· καὶ ὁ μέν ἐστι φύσει Κύριος, ὁ δὲ οὐκ ἔστι; τίνες οὖν οἱ ταῦτα λέγοντες καὶ φρονοῦντες, ἢ ποῖον αὐτῶν τὸ κρῖμα, τοὺς ἁγίους ἐρωτήσωμεν μαθητάς. ἄκουε λέγοντος ἐναργῶς "Παρεισέδυσαν "γάρ τινες ἄνθρωποι, οἱ καὶ πάλαι προγεγραμμένοι εἰς τοῦτο "τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ χάριν μετατιθέντες καὶ τὸν "μόνον Δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνού"μενοι." πῶς οὖν μόνος ἐστὶ δεσπότης Ἰησοῦς Χριστὸς ὁ κοινωνὸς τῆς ἑτέρου δεσποτείας γεγονώς, εἰ κατὰ χάριν ἔχει τοῦτο, εἰ δοτὸν αὐτῷ καὶ αὐτὸ τὸ τῆς υἱοθεσίας ἀξίωμα, εἰ μηδὲν ὅλως αὐτοῦ, πάντα δὲ μᾶλλον ἑτέρου τοῦ δόντος αὐτῷ; μόνον ἔφη δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ Θεοῦ Λόγον· πῶς οὖν συνάπτεις αὐτῷ κοινωνὸν τὸν ἐκ σπέρματος Δαυείδ; οὐκ ἐᾷς γὰρ μόνον εἶναι δεσπότην,

S. Judae 4.

1. Fragmentum hoc nobis suppeditat Niketas Choniates in Panoplia Dogmatica, tom. 8. Codicibus duobus usi sumus, nempe cod. Laurentiano-Florentino Plut. ix. 24 (bombycin. sec. xiii.) fol. 135 : Cod. Bodleiano (Roe 22 membr. sec. xiv), fol. 170, quem b signavi. 12. λέγοντος emendavi. λέγοντες Cod. Laur. λέγοντας b. 14. μετατιθέντες] non addit εἰς ἀσέλγειαν Chon. 16. μόνος assumptum ex b. 18. δοτὸν αὐτῷ] δὲ ταυτῷ (sic) b.

μερίζων αὐτοῦ τὴν κυριότητα καὶ προσνέμων ἑτέρῳ. οὐκοῦν λέγομεν τοῖς οὕτω φρονεῖν ἑλομένοις, τὸ διὰ φωνῆς Ἡλίου "Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;" 3 Reg. xviii. 21. οὐδὲν παρ' ὑμῖν ὀρθὸν, χωλεύει δὲ πάντα καὶ πολλὴ σαθρότης ἐννοιῶν· ἀλλ' οὐ ταῖς τινῶν εἰκαιοβουλίας ἑψόμεθα, Χριστὸν δὲ μᾶλλον ὁμολογοῦμεν ἕνα τῇ φύσει καὶ ἀληθῶς ἐκ Πατρὸς Λόγον, καὶ ἐν προσλήψει γεγονότα σαρκὸς καὶ αἵματος.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὑπὸ κατάραν ἐσμὲν οἱ εἰς Χριστὸν πιστεύσαντες, εἰ μὴ φύσει τε καὶ ἀληθῶς ἐστι Θεὸς ὁ ἐκ παρθένου σαρκωθείς· ἔφη γάρ που περὶ αὐτοῦ ὁ προφήτης Ἡσαΐας "Καὶ ἔσται ἡ Es. xi. 10. "ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ "ἔθνη ἐλπιοῦσι." πῶς οὖν ἐπ' αὐτῷ τὰς ἐλπίδας ἔχοντες, οὐκ ἐσμὲν ἐπάρατοι εἴπερ ἐστὶν ἀληθὴς ὁ προφήτης Ἱερεμίας λέγων "Ἐπικατάρατος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον;" Hier. xvii. 5. ἀλλ' οὐκ ἐπ' ἀνθρώπῳ τὰς ἐλπίδας ἐσχήκαμεν οἱ εἰς Χριστὸν πιστεύσαντες· Θεὸς ἄρα ἐστὶν εἷς καὶ μόνος καὶ κατὰ ἀλήθειαν Υἱὸς καὶ πρὸ σαρκὸς καὶ μετὰ σαρκὸς, ὃς ἔποχος ὢν τῷ πώλῳ κατὰ τὴν τῶν εὐαγγελιστῶν πίστιν ἀνέβαινεν εἰς Ἱεροσόλυμα, εἶτα προυπήντων εὐφημοῦντα μειράκια καὶ δὴ καὶ ἔφασκον "Ὡσαννὰ τῷ υἱῷ Δαυεὶδ, εὐλογημένος ὁ S. Matth. xxi. 9. "ἐρχόμενος ἐν ὀνόματι Κυρίου." πρὸς ταύτην τῶν παίδων τὴν φωνὴν, ἠγανάκτουν οἱ φαρισαῖοι· ἐπειδὴ γὰρ ὁρώμενος ἄνθρωπος τὴν Θεῷ πρέπουσαν ὑμνολογίαν ἐδέχετο· καὶ δὴ

5. ἑψώμεθα b. 9. e codicibus iisdem: citat et Euthymius Zigabenus in Panoplia Dogmatica (tit. 14) cum titulo τοῦ αὐτοῦ ἐκ τῆς περὶ ἑνὸς υἱοῦ ὁμιλίας, cujus codice uno usus sum, nempe e bibl. Laurentiana Escorialensi X. iii. 5 (olim Cardinalis Hurtados de Mendoza) membr. sec. xiii. fol. 233. quem k signavi; cui adjeci cod. Fell in Bodleiana nostra, sec. xvii. transcriptum, quem f signavi. 10. πιστεύοντες f.k. 13. αὐτὸν (bis) k. 16. ὅστις f.k. sed cf. in xii. Proph. 92 d. in Es. 160 c. ἐπ' ἄνθρωπον ἔχει f. 20. εὐαγγελίων Euth. 22. καὶ om. b. 23. Partim citat et Niketas Serrensis (Cat. in S. Luc. in Maii Bibl. Nov. ii. 393 fin. et Cod. Vatopedhiensi L. fol. 329 v.) Incipit Nik. Serr. Ἀλλ' οὐκ ἐδόκει συμφέρεσθαι ταῖς τοῦ πλήθους σπουδαῖς τοῖς καθηγεῖσθαι λαχοῦσιν· ὑπέτριζον γὰρ τοὺς ὀδόντας αὐτῶν καὶ πρός. τὴν τῶν παίδων f.k. τὴν τῶν παίδων ταύτην Nik. Serr. 24. φαρισαῖοι] βάσκανοι φαρισαῖοι Nik. Serr. γὰρ om. Nik. Serr. 25. καὶ δὴ καὶ assumptum e Niketa Serr.

καὶ προσήεσαν οἱ θρασεῖς διαμαρτυρόμενοί τε καὶ λέγοντες S. Matth. xxi. 16. “ Οὐκ ἀκούεις τί οὗτοι λέγουσιν ;” μονονουχὶ γάρ φασιν Ἄνθρωπος ὢν ἀνέχῃ δοξολογούμενος καὶ ὡς Θεὸς ὑμνούμενος καὶ τὰς Θεῷ πρεπούσας εὐφημίας δέχῃ παρὰ τῶν παίδων ; καὶ τί πρὸς ταῦτα Χριστός ; ἠγανάκτησεν ἆρα κατὰ τῶν παίδων ; ἀπεσείσατο τὴν δοξολογίαν ; ἐπετίμησε τοῖς εὐφημοῦσιν αὐτὸν ὡς Θεόν ; οὐδαμῶς· ἔφη γὰρ μᾶλλον πρὸς τοὺς Ib. φιλεγκλήμονας “ Οὐκ ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ S. Luc. xix. 40. “ θηλαζόντων κατηρτίσω αἶνον ; ἀμὴν λέγω ὑμῖν ἐὰν οὗτοι “ σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.” ὅρας ὅπως προσμεμαρτύρηκεν ἑαυτῷ τὴν τῆς θεότητος δόξαν ὁ ἐποχούμενος τῷ πώλῳ καὶ κατὰ σάρκα υἱὸς Δαυείδ ; ἀλλ’ οὐκ ἦν δόξης ἀλλοτρίας κοινωνὸς ὡς αὐτοί φασιν ἀλλ’ οὐδὲ ἕτερος παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ὡς Υἱὸς κατὰ μόνας. διὰ τοῦτο καὶ Θεὸς καὶ Κύριος καὶ Ὕψιστος ὀνομάζεται καὶ διὰ τῆς τῶν ἀγγέλων φωνῆς. καὶ γοῦν ὁ μακάριος Γαβριὴλ τὴν Ἰωάννου γέννησιν εὐαγγελιζόμενος καὶ τὴν ἐσομένην αὐτοῦ διακονίαν Ib. i. 14. ἐναργῆ καθιστὰς τῷ Ζαχαρίᾳ φησὶν ὅτι “ πολλοὶ ἐπὶ τῇ Ib. 16. “ γεννήσει αὐτοῦ χαρήσονται καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ “ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν.” πῶς οὖν ἐπέστρεφεν ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν τοὺς υἱοὺς Ἰσραήλ ; S. Joan. i. 30. εὐηγγελίζετο γὰρ αὐτοῖς λέγων “ Ὀπίσω μου ἔρχεται ἀνὴρ Ib. 33, 34. “ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, κἀγὼ οὐκ “ ᾔδειν αὐτὸν ἀλλ’ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός “ μοι εἶπεν Ἐφ’ ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον ἐξ οὐ“ρανοῦ καὶ μένον ἐπ’ αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν “ Πνεύματι Ἁγίῳ, κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι οὗτός “ ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.” καὶ οὐκ εἶπε μετὰ τούτου ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ ἀλλ’ οὐδ’ ἐν τούτῳ ἐστὶν, ἀλλ’ ὅτι οὗτός ἐστιν.

2. *μονονουχὶ* ante *διαμαρτ.* transponit Nik. Serr. *γάρ φασιν*] *ἀντὶ τοῦ* Id. *φησιν* b. Statim *ὡς* addidit Choniates. 3. *ὡς Θεὸς καὶ* inverso ordine Chon. 4. *καὶ τὰς—παίδων* assumpta e Nik. Serr. 8, 9. *οὐκ—λέγω ὑμῖν*] *ἐπιστομίζων αὐτοὺς ὅτι* Ib. 10. *κεκράξονται* Nik. Serr. f. *κεκράξωνται* Chon. *μεμαρτύρηκεν* k. 13. *αὐτοί*] *οἱ χριστόμαχοι* Nik. Serr. *οὐδ’* b.f. *ἕτερος*] *ὕστερος* Nik. Serr. 15. *ὀνομάζεται* des. Ib. *τῶν* om. Euth. 17. *ἐσομένην*] *δεδομένην* b. 18. *ἐπὶ τῆς γεννήσεως* k. 20. *οὖν* om. k. 28. *καὶ—Θεοῦ* assumptum ex Euth. *καὶ* om. f. retinui e k. 29. *οὐδ’* Euth. *οὐκ* Chon.

II.

FRAGMENTA HOMILIAE QUOD UNUS EST CHRISTUS.

Hom. 27 vide infra p. 458 not.

Ἐκ τοῦ αὐτοῦ λόγου ὅτι εἷς ὁ Χριστός.

Οἱ διαιροῦντες εἰς υἱοὺς δύο τὸν ἕνα Χριστὸν, ὥσπερ εἰς λήθην ἥκουσι τῶν τοῦ μακαρίου Παύλου φωνῶν· γράφει γὰρ ἐναργῶς, ποτὲ μὲν ὅτι “ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ “τὰ πάντα καὶ ἡμεῖς ἐξ αὐτοῦ, καὶ εἷς Κύριος Ἰησοῦς Χρι-“στὸς, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ,” καὶ πάλιν “Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα·” εἰ δὲ ἦσαν υἱοὶ δύο κατά τινας, ἔφη ἂν Δύο κύριοι, δύο πίστεις, δύο βαπτίσματα· ἕνα δὲ λέγων καὶ μίαν πίστιν καὶ ἓν βάπτισμα, ἐκείνων ἀπαιδευσίαν καταψηφίζεται. εἰ γὰρ δύο κατ᾽ αὐτούς εἰσι, τίνα κύριον εἴπομεν, τίνι τὴν πίστιν ὁμολογοῦμεν, εἰς τὸ τίνος ὄνομα βαπτιζόμεθα;

1 Cor. viii. 6.
Eph. iv. 5.
Cf. Ep. ad Acac. Scythopol. p. 130 a, et de R. Fide 108 a.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἴδωμεν πρῶτον τί φησιν ὁ μακάριος Δανιὴλ, καὶ τὴν ὅρασιν αὐτοῦ τὴν φρικωδεστάτην φέρε πολυπραγμονήσωμεν ἀναγκαίως, πρῶτον μὲν τεθεᾶσθαι παλαιὸν ἡμερῶν καθήμενον ἐπὶ θρόνου καὶ χιλιάδας λειτουργούσας αὐτῷ, καὶ μυριάδας περιεστώτας αὐτοῦ τὸν θρόνον· εἶτά φησιν “Ἐθεώρουν ἐν “ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ “ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμε-“ρῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη καὶ αὐτῷ “ἐδόθη ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πᾶσαι φυλαὶ γλῶσσαι “αὐτῷ δουλεύουσιν.” ἰδοὺ δὴ σαφῶς ὡς υἱὸς ἀνθρώπου μετὰ τῶν νεφελῶν ἔρχεται καὶ μέχρι τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. καὶ τί τοῦτό ἐστι δοκιμάσωμεν ἀκριβῶς. ἆρα γὰρ τόπῳ περιληπτὸς ὁ τῶν ὅλων Θεὸς οὗ πάντα μεστά; οὐ

Dan. vii. 13, 14.

2. Ex eodem Niketa Choniate. Cod. Laur.-Florentin. fol. 134, b fol. 169 v. 6. ἐξ οὗ τὰ πάντα om. b. 12. γὰρ] δὲ b. 14. τὸ assumptum ex b. 23. ἐδόθη αὐτῷ b. 28. θεὸς τῶν ὅλων b.

Hier. xxiii. 24. πιστεύομεν λέγοντι “ Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ “ λέγει Κύριος ;” ποῦ τοίνυν ἔφθασεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ; κατὰ τὴν δόξαν δηλονότι τὴν θεοπρεπῆ καὶ κατά γε τὴν κατὰ πάντων ὑπεροχήν· συνεδρεύει γὰρ τῷ Πατρὶ καί ἐστιν ὁμόθρονος αὐτῷ· οὐχ ὅτε μόνον γυμνὸς ἦν ὁ Λόγος καὶ ἄσαρκος ἔτι, ἀλλὰ καὶ ὅτε γέγονεν ἄνθρωπος. ὅρα τοίνυν καὶ ἐν ἀνθρωπότητι Θεὸν ὄντα τὸν Υἱόν· οὐ γὰρ ἂν ἐδόθη αὐτῷ ἡ τῆς θεότητος τιμὴ καὶ ἡ κατὰ πάντων βασιλεία ἀλλ᾽ οὐδ᾽ ἂν ἐδούλευσαν αὐτῷ φυλαὶ καὶ γλῶσσαι εἰ μὴ Θεὸς ἀληθῶς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ἐστὶν, εἷς καὶ μόνος ὢν Υἱὸς καὶ ὅτε πέφηνεν ἄνθρωπος. δέχου δὲ καὶ ἐπὶ τούτῳ πληροφορίαν· ἔφη μὲν γὰρ ὁ
Es. xlii. 8. Θεὸς καὶ Πατὴρ διὰ τῆς τοῦ προφητοῦ φωνῆς “ Τὴν δόξαν
S. Marc. viii. 38. “ μου ἑτέρῳ οὐ δώσω,” εἶτά φησιν “ Ὃς γὰρ ἂν ἐπαισχυνθῇ “ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου “ ἐπαισχυνθήσεται ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς μετὰ “ τῶν ἁγίων ἀγγέλων.” ἆρα οὖν οὐ μέγα καὶ θαυμαστὸν ἐπαγγέλλεται, εἰ ἐν δόξῃ θεότητος υἱὸς ἀνθρώπου, ἐν ὑπερτάταις ὑπεροχαῖς ὁ ἐκ γυναικὸς κατὰ σάρκα, καὶ ἰδίους ἔχων τοὺς ἀγγέλους ὁ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς γεγονώς ; οὐρανὸς ὅλος, ἀρχαὶ, δυνάμεις, ἐξουσίαι, θρόνοι, κυριότητες δορυφοροῦσιν ἄνθρωπον· ὡς Κριτῇ τῶν ὅλων παρεστήκασι λειτουργοῦντες αὐτῷ. καὶ μάρτυς ὁ πάνσοφος Παῦλος γεγρα-
Heb. i. 6. φὼς ἑβραίοις περὶ αὐτοῦ “ Ὅταν γὰρ εἰσαγάγῃ τὸν πρωτότοκον

12. Partim citat Niketas in S. Lucam (ix. 26) sub titulo *κυρίλλου ὁμιλία* [deest in Maio, cujus in codice desunt hoc in loco folia pleraque]. Cito ex duobus codicibus nempe Cod. Monacensi 473 (olim Augustano) bomb. sec. xiv. pag. 221 [a signato] Cod. Laurentiano-florentino 176 (olim Monasterii Abbatiae 2564) membr. sec. xii. fol. 159 v. [x signato]. Incipit *Σὺ δὲ δέχου πληροφορίαν ὅτι εἷς καὶ μόνος ἐστὶν ὁ υἱὸς καὶ ὅτε γέγονεν ἄνθρωπος. ἔφη* uterque. *πληροφορίαν* edidi e Catenis. *πληροφορίας* Chon. *μὲν* assumptum e Catenis. 13. *τῆς τοῦ προφητοῦ*] *προφητῶν* Catt. 14. *φησιν*] + *ὁ χριστός* Catt. *γὰρ* om. Catt. 15, 16. *καὶ τοὺς ἐμοὺς λόγους* et *καὶ* et *μετὰ τῶν ἁγίων ἀγγέλων* om. Catt. 17. *ἆρ᾽* Catt. *οὐ* om. a.x. 18. *εἰ* om. a.x., suprascript. manu ut vid. ead. in Cod. 19. *καὶ ἰδίους ἔχων*] *ἰδίους ἔχει* a.x., *καὶ ἰδίους ἔχει* b. 23. *αὐτῷ*] Pergit diverse Cat., *ἆρ᾽ οὐκ ἐννοεῖς ἐντεῦθεν ὅτι καὶ ἐν προσλήψει σαρκὸς καὶ αἵματος γεγονὼς ὁ Υἱὸς, οὐδὲν ἧττόν ἐστι Θεός ; καὶ τοῦτο ὑπάρχων ἐπιγινώσκεται παρὰ τῆς ἀμετρήτου πληθύος τῶν ἄνω πνευμάτων* [*ἀνθρώπων* ? x.]; quorum locum nesciens hic exhibeo.

“ εἰς τὴν οἰκουμένην λέγει Καὶ προσκυνησάτωσαν αὐτῷ “ πάντες ἄγγελοι Θεοῦ.” πότε οὖν γέγονεν ὁ Μονογενὴς πρωτότοκος; ὅτε γέγονεν ἐν πολλοῖς ἀδελφοῖς καὶ κεχρημάτικε μεθ’ ἡμῶν υἱὸς ἀνθρώπου. ἀλλ’ εἴπερ ᾔδεσαν οὐκ ὄντα Θεὸν αἱ ἄνω δυνάμεις οὐδὲ φύσει καὶ ἀληθῶς Υἱὸν τὸν ἐκ σπέρματος Δαυεὶδ κατὰ σάρκα, πῶς ἂν ἠνέσχοντο προσκυνεῖν αὐτῷ; οὐκοῦν ὃν προσκυνοῦσιν ἄγγελοι, μὴ ἀτιμάσῃς αὐτὸς, ἕτερον εἶναι λέγων υἱὸν κατὰ μόνας καὶ ἰδικῶς· πίστευε δὲ μᾶλλον ὡς εἷς καὶ μόνος ἐστὶν Ἰησοῦς Χριστὸς ὁ αὐτὸς ἐκ Πατρὸς θεϊκῶς κατὰ τὴν ἄφραστον γέννησιν, καὶ ἐκ γυναικὸς κατὰ σάρκα διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν.

Τοῦ αὐτοῦ ἐκ τῆς ὁμιλίας τῆς ὅτι εἷς Κύριος Ἰησοῦς Χριστός.

Πρὸς δὴ τὰ τοιαῦτα φαῖεν ἂν ἴσως οἱ φιλονεικεῖν ἐθέλοντες Οὐκοῦν ὁ φύσει καὶ ἀληθῶς Υἱὸς τοῦ Θεοῦ γέγονεν ὑπὸ νόμον; εἶτα τί τὸ λυποῦν εἰπέ μοι κἂν εἰ τοῦτο λέγοιτο παθεῖν; εἰ γὰρ πιστεύομεν ὅτι γέγονε σὰρξ τουτέστιν ἄνθρωπος ὁ καθ’ ἡμᾶς γενέσθαι καταξιώσας, διατί μὴ μεθ’ ἡμῶν καὶ ὑπὸ νόμον γενέσθαι λέγοιτο; ὥσπερ γὰρ εἰ καὶ γέγονε καθ’ ἡμᾶς, οὐκ ἀπέστη τοῦ εἶναι ὑπὲρ ἡμᾶς· καὶ εἰ κτίσεως κεχρημάτικε μέρος διὰ τὸ ἀνθρώπινον, ἔχει καὶ οὕτω τὸ ὑπὲρ πᾶσαν εἶναι τὴν κτίσιν. καὶ ὥσπερ μορφὴν δούλου λαβὼν οὐδὲν ἧττόν ἐστι Δεσπότης, ὡμολόγηται δὲ καὶ ὑπάρχειν τῶν ὅλων Κύριος· οὕτω κἂν εἰ λέγοιτο γενέσθαι τυχὸν ὑπὸ νόμον ὡς ἄνθρωπος, οὐκ ἀπέστη τοῦ εἶναι ὑπὲρ νόμον ὡς Θεός. τί γὰρ, εἰπέ μοι, φορτικώτερον τοῦ, γέγραπται περὶ αὐτοῦ ὅτι γέγονεν “ ὑπὲρ Gal. iii. 13.
“ ἡμῶν κατάρα,” καὶ πάλιν “ Τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ 2 Cor. v. 21.
“ ἡμῶν ἁμαρτίαν ἐποίησεν,” ἀλλ’ οὔτε κατάρα ἐστὶν ὁ τὴν

12. e Choniate, Cod. Laur. fol. 141 v., b fol. 177 v. 16. εἰ] εἰς b. 18–20. A καθ’ ad καθ’ transilit b. 22. Post κτίσιν de novo iterum pergit Καὶ quasi scholion novum incipiens sine titulo novo b. 26. ἀπέστη] + καὶ b. 27. τοῦ,] Ita codex uterque.

ἐφ᾽ ἡμᾶς κατάραν ἄπρακτον ἀποφήνας, οὔτε μὴν ἁμαρτία κατὰ τὸ ἀληθὲς ὁ τὰς ἁμαρτίας τὰς ἡμετέρας ἀπαλείψας καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἅπαντας ἐλευθερῶν. τί οὖν ἄρα φορτικώτερον τὸ χρηματίσαι κατάραν καὶ ἁμαρτίαν ἢ τὸ μεθ᾽ ἡμῶν καὶ ὑπὸ νόμον γενέσθαι κατὰ τὸ ἀνθρώπινον; οἰκειοῦται τοίνυν ἅπαντα τὰ τῇ ἀνθρωπότητι πρέποντα διά γε τὸ μεθ᾽ ἡμῶν γενέσθαι κατὰ σάρκα. πότε τοίνυν γέγονεν ὑπὸ νόμον, ὁ μακάριος Λουκᾶς ὁ εὐαγγελιστὴς ἐξηγήσεται

S. Luc. ii. 22–24. λέγων "Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν "κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα "παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου "ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθή-"σεται, καὶ τὸ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν τῷ νόμῳ "Κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν." ἀκούεις ὅπως εἰς ὄψιν ἄγεται τοῦ Πατρὸς ὡς ἄνθρωπος καθ᾽ ἡμᾶς ὁ σύνεδρος αὐτῷ Θεὸς Λόγος ὁ καὶ διὰ τῆς τοῦ νόμου σκιᾶς ἐν τοῖς πρωτοτόκοις γραφόμενος; ἅγια γὰρ καὶ ἱερὰ τῷ Θεῷ καὶ τὰ πρὸ τῆς ἐνανθρωπήσεως πρωτότοκα. ἔθυον οὖν ὑπὲρ αὐτοῦ κατὰ τὸν νόμον· συνετέλεσε δὲ καὶ τοῖς δασμολογοῦσι τὸ δίδραχμον καίτοι συντελέσαι μὴ ὀφείλων αὐτὸς διά τοι τὸ εἶναι κατὰ ἀλήθειαν Υἱός. καὶ γοῦν ἔφη

S. Matth. xvii. 25. πρὸς τὸν μακάριον Πέτρον "Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων "λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ "τῶν ἀλλοτρίων;" εἴποντος δὲ Πέτρου καὶ μάλα ὀρθῶς

Ib. 26. Ib. "Ἀπὸ τῶν ἀλλοτρίων" ἔφη πάλιν αὐτός "Ἄρα ἐλεύθεροί "εἰσιν οἱ υἱοί."

4. *τοῦ* pro *τὸ* prius (sic) b. 15. Iterum partim exhibet et Niketas Serrensis in Maio in S. Lucam p. 132, cui praemittit *κυρίλλου ὁμιλία κζ* (i. e. Homilia 27) Cod. Vienn. Theol. Nessel. 71. Lambecii 42 partem priorem Niketae continens membr. sec. xi. Incipit fragmentum in Nik. Serr. *Μετὰ τὸ περιτμηθῆναι τὸν τοῦ καθαρισμοῦ πάλιν ἀναμένει καιρὸν καὶ ὅτε ἐπλήσθησαν* [ita cod. Vienn. *ἐπληρώθησαν* Mai.] *αἱ ἡμέραι· πλήρωσις δὲ ἡμερῶν ἡ τεσσαρακοστὴ ἦν· τότε ἀνάγεται εἰς Ἱεροσόλυμα καὶ εἰς ὄψιν.* 15. *ὅπως*] *ὅτι* b. 16. *σύνεδρος*] Ita et cod. Vienn. *συνεδριάζων* Mai. 18. *πρωτότοκα ἔθυον ὑπὲρ αὐτοῦ κατὰ τὸν νόμον* des. cod. Vienn. *πρωτότοκα ἅπερ ἔθυον αὐτῷ κατὰ νόμον* Mai. *εὐθὺς* pro *ἔθυον* (sic) b. 19. *δὲ* om. b. *πάλιν συνετέλεσε τοῖς δασμολογοῦσι τὸ δίδραχμον καίτοι συντελέσαι μὴ ὀφείλων διά γε τὸ εἶναι κατὰ ἀλήθειαν υἱός* exhibet et Maius p. 134 ex catenis. 20. *δίδραγμον* b. 22. *τίνων* habet Chon.

III.

Τοῦ αὐτοῦ ἁγίου Κυρίλλου ἐκ τῆς πρώτης ὁμιλίας τῆς ὅτι οὐ χρὴ λέγειν ἄνθρωπον θεοφόρον, ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα.

Μέγας ἦν ὄντως ὁ μακάριος Μωϋσῆς· ἤκουσε γὰρ Θεοῦ λέγοντος "Οἶδά σε παρὰ πάντας, καὶ χάριν εὗρες παρ' [Exod. xxxiii. 12.] "ἐμοί·" ἀλλ' ἦν ὡς οἰκέτης ἐν οἴκῳ πιστός· ἀξιάγαστος ἦν [Heb. iii. 5.] ὁ προφήτης Σαμουὴλ, ἀλλ' ἦν ἐναρίθμιος "τοῖς ἐπικαλου- [Ps. xcviii. 6.] "μένοις" τὸν τῶν ὅλων Θεόν· ἅγιοι γεγόνασιν οἱ μακάριοι προφῆται, πλὴν ὁμολογοῦσι τὸ τῆς δουλείας μέτρον, καὶ τὴν οἰκέταις πρέπουσαν ἀνεπλήρουν οἰκονομίαν, τοὺς ἄνωθεν καὶ παρὰ Θεοῦ λόγους τοῖς τὸ τηνικάδε διαπορθμεύοντες, μᾶλλον δὲ καὶ ἡμῖν αὐτοῖς· διακεκράγασι γὰρ ἀεί Τάδε λέγει Κύριος· ἔφη δέ που καὶ αὐτὸς ὁ Χριστὸς περὶ τοῦ μακαρίου Βαπτιστοῦ "Μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου τοῦ [S. Matth. xi. 11.] "βαπτιστοῦ οὐκ ἐγήγερται·" ὁ δὲ, καίτοι κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος φωνὴν τὴν ἄνω τάξιν ἐν δικαιοσύνῃ λαχὼν, οὐκ ἠγνόησε τὴν ὑπεροχὴν, ὡμολόγησε τὸν δεσπότην, παρεχώρησε τὸ νικᾶν τῇ δόξῃ Χριστοῦ· ἔφη γὰρ ἐναργῶς "Οὗτος ἦν περὶ οὗ εἶπον ἐγώ Ὀπίσω μου ἔρχεται ἀνὴρ, [S. Joan. i. 30.] "οὗ οὐκ εἰμὶ ἄξιος λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων [S. Luc. iii. 16.] "αὐτοῦ." πλείστων οὖν ἁγίων ἐν ἑαυτοῖς ἐσχηκότων τὸν τοῦ Θεοῦ Λόγον, περὶ οὐδενὸς ἐκείνων γέγραπται ὅτι "Ὁ [S. Joan. i. 14.] "Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν," ἐπ' οὐδενὶ τῶν ἁγίων προφητῶν τὰς ἄνω δυνάμεις χορευούσας εὑρήσομεν· τίνος γὰρ εἰπέ μοι γεννηθέντος "πλῆθος οὐρανίου [S. Luc. ii. 13.]

2. Fragmentum hoc edidit primus e Niketae Choniatis Panoplia Dogmatica (cod. Med.-Laur. Plut. ix. 24. fol. 140 v. bomb. sec. xiii.) in Bibl. Nova Patrum iii. 286 partis Latinae clarissimus Maius [Migne x. 1109]: contuli cum exemplari alio in Bibl. Bodl. nostra (cod. Roe 22. fol. 176 v. membr. sec. xiii ex.) quem b signavi necnon cum Euthymii Zigabeni Panoplia Dogmatica (cod. Mosquensis 382 olim 369, p. 305 bomb. sec. xiii. v. xiv.) quem i signavi. 10. ἐπλήρουν i. 11. τὸ assumptum ex i. 14. Haec Μείζων—ἐγήγερται assumpta ex i mg. 17. παρακεχώρηκε i. 19. ἐγὼ εἶπον inverso ordine b. 21. αὐτοῖς b. 24. τῶν ἁγίων προφητῶν assumptum ex i.

[286 M.] “ στρατιᾶς” τὰς ὑπὲρ ἡμῶν ἐποιήσατο χαριστηρίους ᾠδάς; S. Luc. ii. 14. ἐπὶ μόνῳ τῷ Ἐμμανουὴλ εἰρήκασι “ Δόξα ἐν ὑψίστοις Θεῷ, “ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία·” ἐν πολλοῖς οὖν, ὡς ἔφην, ἁγίοις κατοικήσαντος τοῦ Θεοῦ, ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων ὁ τοῦ Θεοῦ Λόγος ἐπιδημῆσαι λέγεται, ἅπαξ γέγονεν ἄνθρωπος, καὶ περὶ ἑνὸς ὁ προφήτης φησίν Es. vii. 14. “ Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ “ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ·” εἷς ἡμᾶς καὶ Gal. iii. 13. μόνος “ ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος “ ὑπὲρ ἡμῶν κατάρα·” ἕνα δέδωκεν Υἱὸν ὑπὲρ ἡμῶν ὁ Πατήρ· εἷς Υἱὸς τέθεικεν ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχήν· εἷς ἐσταυρώθη καὶ ἀνεβίω, τοῦ θανάτου πατήσας τὸ κράτος. οὐκοῦν ἐν σαρκὶ γεγονότα κατὰ ἀλήθειαν, ἤγουν ἑνωθέντα τῇ σαρκὶ τὸν τοῦ Θεοῦ Λόγον ἐπιγινώσκομεν· καὶ οὐκ ἄνθρωπον εἶναί φαμεν θεοφόρον τὸν Ἐμμανουήλ· ὁμολογοῦμεν δὲ ὅτι Θεὸς ὢν φύσει, μορφὴν δούλου λαβὼν, γέγονε καὶ υἱὸς ἀνθρώπου· καί ἐστιν ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος.

289 M.

IV.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς πρὸς ἀλεξανδρεῖς ὁμιλίας.

Ἔτεκεν ἡμῖν ἡ παρθένος τὸν Ἐμμανουὴλ, κατὰ μὲν τὴν θεότητα ὁμοούσιον τῷ Πατρὶ, κατὰ δὲ τὴν ἀνθρωπότητα ἡμῖν ὁμοούσιον· κατὰ τὴν θεότητα, ἀπαθῆ, κατὰ τὴν ἀνθρωπότητα, παθητόν. εἰ γὰρ καὶ οἰκειοῦται τοῦ οἰκείου σώματος τὰ πάθη ὁ Θεὸς Λόγος καὶ εἰς ἑαυτὸν ἀναφέρει, ἀλλά γε αὐτὸς μεμένηκεν ἐν τοῖς τῆς ἀπαθείας ὅροις· κἂν ἀκούσῃς Es. l. 6. αὐτοῦ λέγοντος “ Ἔδωκα τὸν νῶτόν μου εἰς μάστιγας, τὰς

4. *ἁγίοις ὡς ἔφην* inverso ordine i. 11. *ἰδίαν* om. b. 14. *τῇ* om. i. 20. Fragmentum hoc edidit primus e Euthymii Zigabeni Panoplia dogmatica tit. 16 (cod. Vat. 1904. fol. 54) in Bibl. eadem iii. 289 partis Latinae idem clarissimus Maius [Migne x. 1116]: cum exemplari alio (cod. S. Laurentii Escorialensis X. iii. 5, olim Card. Hurtados de Mendoza tit. 17. fol. 260 v. sec. xiii.) quem a signavi contuli ipse. Ephraimius Patr. Antiochen. cod. 229 in Photii Bibl. 205, col. 1 fin. citat S. Cyrilli opus, *καὶ ἐκ τοῦ περὶ ἀπαθείας λόγῳ*. Nescio an forte hoc ad opus supradictum pertineat. 21. *μὲν* assumptum ex a.

[289 M.]

"δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ "ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων," μηδὲν αὐτὸν πεπονθέναι εἰς τὴν οἰκείαν φύσιν ὑπολάβῃς, οἰκειώσασθαι δὲ μᾶλλον τοῦ ἰδίου σώματος τὰς μάστιγας· οὗ γὰρ ἴδιόν ἐστι τὸ σῶμα, τούτῳ ἂν εἰκότως προσγράφοιτο καὶ τὰ αὐτοῦ πάντα, δίχα μόνης ἁμαρτίας. οὐκοῦν ἐπειδήπερ ἐνανθρωπήσας ἦν ὁ Λόγος, μεμένηκεν μὲν θεϊκῶς ἀπαθής· οἰκειούμενος δὲ ἀναγκαίως τὰ τῆς ἑαυτοῦ σαρκὸς, παθεῖν λέγεται κατὰ σάρκα, καίτοι τοῦ παθεῖν ἀπείραστος ὢν, καθ' ὃ νοεῖται Θεός. οὐκ ἐννοοῦσιν οὖν ὅτι τετήρηται μὲν τὸ ἀπαθὲς αὐτῷ καθ' ὃ Θεός ἐστιν, προσγράφεται δὲ καὶ τὸ παθεῖν ὑπὲρ ἡμῶν κατὰ σάρκα, καθ' ὃ Θεὸς ὢν φύσει γέγονε σὰρξ, ἤτοι τέλειος ἄνθρωπος· τίς γὰρ ἦν ὁ λέγων πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν "Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέ- Ps. xxxix. 7, 8, 9.
"λησας, σῶμα δὲ κατηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ "ἁμαρτίας οὐκ ἐζήτησας· τότε εἶπον Ἰδοὺ ἥκω τοῦ ποιῆσαι "ὁ Θεὸς τὸ θέλημά σου;" ὁ γὰρ ἔξω σώματος ὡς Θεὸς, ἑαυτῷ σῶμα κατηρτίσθαι φησὶν, ἵνα τοῦτο ὑπὲρ ἡμῶν προσενέγκας, τῷ ἰδίῳ μώλωπι πάντας ἡμᾶς θεραπεύσῃ, κατὰ τὴν Es. liii. 5.
τοῦ προφήτου φωνήν.

V.

109 M.

Ἀνοηταίνουσι δὲ καὶ οἱ λέγοντες τὸν Υἱὸν ἑτεροφυᾶ καὶ e Maio 109.
ἀλλότριον τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας· ἀμήχανον γὰρ τὸν ἐκ Θεοῦ κατὰ φύσιν, κτιστὸν εἶναι καὶ γενητόν· εἰ γὰρ πᾶν ὃ πέφυκε τίκτειν, ὁμοούσιον ἑαυτῷ γεννᾷ, γεγέννηκε δὲ κατὰ ἀλήθειαν τὸν Υἱὸν ὁ Πατὴρ, πάντως που καὶ ὁμοούσιον ἑαυτῷ γεγέννηκεν. ἢ γὰρ οὐκ ἄτοπον ἐξ ἀνθρώπου μὲν οὐχ ἑτεροειδὲς τίκτεσθαι ζῷον, καὶ μὴν ἐκ βοός γε καὶ ἵππου· τίκτει γὰρ ἕκαστον τὸ κατὰ φύσιν ὅμοιον ἑαυτῷ· τὴν δέ γε

5. προγράφοιτο (sic) a. 22. Quae sequuntur Homiliarum fragmenta edidit olim inclytus Maius e Niketae Heracleensis Archiepiscopi Catena in Epistolam ad Hebraeos: quae de novo cum codice eodem Mediolanensi contuli, a signans, cumque cod. Parisiensi, b signans. Haec ex a. b fol. 101. 24. αὐτοῦ pro εἶναι (ut alibi) b. Statim καὶ omisit Maius. 29. αἴτιον pro ὅμοιον b.

[109 M.]

θείαν καὶ ἀνωτάτω φύσιν, μηδὲ ἐν τούτοις εἶναι νομίζειν ἐν οἷς ἔστιν ἡ κτίσις; οὐκοῦν εἰ κτίσμα τὸ γεννηθὲν, κτιστὸς ἄρα καὶ ὁ τεκών· ἀλλ' ἔστιν ἀγένητος ὁ Πατὴρ, οὐ γὰρ γέγονε παρά τινος, ἀγένητος ἄρα καὶ ὁ Υἱός· καὶ εἰ χαρακτήρ ἐστι τῆς ὑποστάσεως τοῦ γεγεννηκότος, Θεὸς δὲ κατὰ ἀλήθειάν ἐστιν ὁ τεκὼν, Θεὸς ἄρα καὶ ὁ χαρακτὴρ αὐτοῦ· χαρακτηρίζει γὰρ, Θεὸν μὲν Θεὸς, κτίσιν δὲ κτίσις. ὥσπερ γὰρ εἴ τις βούλοιτο τὴν γενητὴν καὶ πεποιημένην κτίσιν καταδεῖξαί τισιν, οὐ δύναται λέγειν Ὅρα μοι τὴν τῆς θεότητος φύσιν, καὶ ἐκ ταύτης νοήσεις ἐκείνην· ὀφθήσεται γὰρ ἀμαθὴς ὁ τοῦτο λέγων· οὐ γὰρ ἡ τῆς θεότητος φύσις ἐφ' ἑαυτῇ καταδείξει τὴν γενητὴν οὐσίαν· οὕτως εἴ τις βούλοιτο τὴν ἄκτιστον φύσιν ἰδεῖν, οὐκ ἂν ἴδοι ταύτην ὡς ἐν εἰκόνι τῇ κτίσει· διὸ ἔλεγε τῷ Φιλίππῳ ὁ Κύριος "Ὁ ἑωρακὼς ἐμὲ "ἑώρακε τὸν Πατέρα·" φυσικὴ δὲ πάντως ἡ ὁμοιότης Υἱῷ πρὸς τὸν Πατέρα καὶ οὐσιώδης ὁ χαρακτήρ.

S. Joan. xiv. 9.

110 M.

VI.

e Maio 110.

Ὁρᾷς ὅτι Θεὸς χρίεται παρὰ Θεοῦ; ὅτε γὰρ γέγονεν ἄνθρωπος μεμενηκὼς ὅπερ ἦν, τότε καὶ καθ' ἡμᾶς ἀνθρωπίνως χρίεται πρὸς ἀποστολήν· χρίεται γὰρ ἡ ἀνθρωπότης τῷ θείῳ Πνεύματι, οὐκ ἐνεργεῖται καθάπερ ἐπὶ τῶν ψιλῶν ἀνθρώπων, οἷον προφητῶν πατριαρχῶν· χρίσις δέ ἐστιν οἷον ὅλη τοῦ χρίοντος ἡ παρουσία· χρίεται δὲ ὁ Υἱὸς ὅτε εἰς τὴν οἰκουμένην εἰσήχθη, τουτέστιν ὅτε ἐσαρκώθη· τότε γὰρ ἐκοινώνησε τῇ κτίσει, ἑνώσας ἑαυτῷ τὸ κτιστὸν, καὶ χρίσας τὴν ἀνθρωπότητα τῇ θεότητι, ὥστε ποιῆσαι τὰ ἀμφότερα ἕν.

18. ex a. et b fol. 114 v. Partim exhibet et Oecumenius (Ed. et codices) homiliam tamen non memorans, τό Σοῦ διὰ τὴν σάρκα· χρίεται γὰρ ἡ ἀνθρωπότης τῷ ἁγίῳ πνεύματι, οὐκ ἐνεργεῖται δὲ καθάπερ ἐπὶ τῶν—παρουσία. οὕτως ὁ ἐν ἁγίοις Κύριλλος. 21. ἐνεργεῖται] + δὲ Mai. ex Oecumenii Ed. invitis a.b. codd. Oecumenii tribus, nempe Med.-Laur. Plut. x. 6. sec. x., Plut. ix.10. sec. xi., praeterque uno. 22. χρίσις δέ ἐστιν Mai. ex Oecum. καὶ ἔστι χρίσις a.b. 23. ἡ assumptum ex a.b. 25. κτίσει e b Mai. φύσει a.

VII.

e Hom. 25.

Ὁ πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγὼν οὐκ ἂν ὀλισθήσειε (Heb. ii. 10.) τοῦ εἶναι κατὰ ἀλήθειαν Υἱός· οὐ γὰρ ἠμέλησε τοῦ εἶναι ὅ ἐστιν, ὅπερ οὐκ ἦν γεγονὼς, μένει δὲ Κύριος ἐν τῇ τοῦ δούλου μορφῇ.

VIII.

111 M.

Νοοῖτο δ' ἂν πρὸς ἡμῶν ὁ παραπλησίως ἡμῖν μετεσχηκὼς (e Maio 111.) αἵματος καὶ σαρκὸς, ὡς ἕτερος ὢν παρ' ἡμᾶς κατὰ φύσιν· οὐ γάρ τοι φαίη τις ἂν ἀνθρώπῳ πρέπειν τὸ ἀνθρωπότητος (cf. contra Nest. lib. 3. 77 e, etc.) μετασχεῖν· ὃ γάρ ἐστι κατὰ φύσιν, πῶς ἄν τις νοοῖτο λαβὼν ὡς ἕτερον ὤν τι παρ' ὅπερ ἐστί; τί δέ ἐστι "Παραπλησίως (Heb. ii. 14.) "μετέσχε τῶν αὐτῶν," ἢ ἐκεῖνό που πάντως, ὅτι γέγονε καθ' ἡμᾶς ἐν αἵματι καὶ σαρκὶ, σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου, οὐκ ἄψυχον, καθάπερ ἔδοξέ τισι τῶν αἱρετικῶν, ἐψυχωμένον δὲ ψυχῇ λογικῇ· καὶ οὕτω προῆλθεν ἄνθρωπος ἐκ γυναικὸς, οὐκ ὀλιγωρήσας τοῦ εἶναι Θεὸς, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς, μεμενηκὼς ὅπερ ἦν ἀεί; ἐπειδὴ δὲ βαθὺς ὁ λόγος, πρόσεχε διεγηγερμένῳ νοΐ πῶς ἡμεῖς κεκοινωνήκαμεν αἵματος καὶ σαρκός· ἑτεροφυὴς μὲν γὰρ ἡ ψυχὴ πρὸς αἷμα καὶ σάρκα, ἀλλ' εἰς ἄνθρωπον ἕνα δι' ἀμφοῖν συντεθείμεθα, ταῖς τοῦ πλάσαντος ἡμᾶς εὐτεχνίαις, εἰς ἄφραστόν τινα συνδεδραμηκότων ἑνότητα τῶν ἀλλήλοις ἐναντίων κατὰ τὴν φύσιν. βούλει καθά φησιν Ἡσαΐας, μετρήσωμεν "τῇ χειρὶ (Es. xl. 12.) "τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν "δρακί;" βούλει τὰ ὑπὲρ ἡμᾶς ἴδωμεν ἐκ τῶν καθ' ἡμᾶς; οὐκοῦν παραθέντες εἰς παράδειγμα βραχὺ τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον, ἀναπηδήσωμεν εἰς ἐννοίας τὰς ἐπὶ Χριστῷ· (112 M.) ἕνωσιν ἀληθῆ γενέσθαι φαμὲν προσλαβόντος τοῦ

1. Fragmentum hoc deest ut vid. in Maio, suppeditat tamen nobis Niketas Heracleensis, ex a. et b fol. 151 v. ὁμιλ κε in mg. praemittit b., cf. Homil. 27 citatam supra p. 458. 7. ex a. et b fol. 171 v. Κυρίλλου tantum apponit in margine b., κυρίλλου ὁμιλία a. 9. βλέπειν pro πρέπειν b. 11. ὂν b. 23. βούλη b. 25. βούλη b. 28–p. 464, 8. citat Niketas idem in

[112 M.] Λόγου τὸ ἀνθρώπινον· ἴδιον γὰρ ἐποιήσατο τὸ σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου, ἴδιον δὲ ὡσανεὶ λέγοιτο τυχὸν καὶ ἡμῶν ἑκάστου τὸ αὐτοῦ· καὶ τοῦτο οἶμαι δηλοῦν τὸ γενέσθαι σάρκα αὐτὸν, οὐ κατὰ τροπὴν ἢ μετάστασιν· ἄτρεπτος γὰρ ἡ θεία φύσις· ἀλλ' ὅτι τῇ θείᾳ γραφῇ σύνηθές πως ἀεὶ καὶ ὅλον ἔσθ' ὅτε τὸν ἄνθρωπον, τὸν ἐκ ψυχῆς δὴ λέγω καὶ σώματος, καὶ ὡς ἀπὸ μόνης καταδηλοῦν τῆς σαρκὸς, οἷόν Joel ii. 28. ἐστι τό "Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα." ἕνα τοίνυν ὁμολογοῦμεν Υἱὸν, γεννηθέντα μὲν θεϊκῶς ἐκ Πατρὸς, καθὸ νοεῖται καὶ ἔστι Λόγος, ἀποτεχθέντα δὲ τὸν αὐτὸν ἐκ γυναικὸς κατὰ σάρκα· νοηθήσεται γὰρ οὕτω, κεκοινωνηκὼς αἵματος καὶ σαρκὸς παραπλησίως ἡμῖν, ἵνα διὰ τοῦ Sap. ii. 24. οἰκείου θανάτου καταργήσῃ τὸν διάβολον, οὗ "φθόνῳ θάνα- "τος εἰς τὸν κόσμον εἰσῆλθε·" ῥίζα γὰρ ὥσπερ ζωῆς ὁ Χριστοῦ γέγονε θάνατος, καὶ φθορᾶς ἀναίρεσις, καὶ ἁμαρτίας ἀποτροπὴ καὶ πέρας ὀργῆς· γεγόναμεν ἐπάρατοι, καὶ ὑπὸ θανάτου δίκην ἐν Ἀδὰμ, ἀλλὰ κεχρημάτικεν ὁ Λόγος, ὁ μὴ εἰδὼς ἁμαρτίαν, υἱὸς Ἀδὰμ, καὶ λέλυται δι' αὐτοῦ τῆς τοῦ πρώτου παραβάσεως τὰ ἐγκλήματα· ὤφθη γὰρ ἡ ἀνθρώπου φύσις ἐν Χριστῷ ὑγιῶς ἔχουσα τὸ ἀπλημμελὲς, τοῦτο σέσωκε τοὺς ἐπὶ γῆς.

IX.

e Maio 112. Οὐκ αὐτῇ μέντοι τῇ τοῦ Λόγου φύσει, τό Ἀρχιερέα κεκλῆσθαι καὶ τὰ τοιάδε τῶν ὀνομάτων, ἀλλὰ τῇ μετὰ σαρκὸς οἰκονομίᾳ καὶ μέτροις τοῖς καθ' ἡμᾶς. καὶ φέρε πρῶτον ἐκεῖνο ζητήσωμεν, τίς ἦν ὁ δυνάμενος μὲν καὶ ἐξουσίαν ἔχων ἐπιλαβέσθαι ἀγγέλων, εἰ τοῦτο χρήσιμον ἦν, οὐκ ἐπιλαβόμενος Heb. ii. 16. δὲ μᾶλλον ἐκείνων, "ἀλλὰ σπέρματος Ἀβραάμ;" εἰ μὲν οὖν

S. Joannis Evangelium sub nomine tantum Cyrilli, supra Ev. i. 14., citationem non brevem, ex operibusque diversis desumptum incipiens [cod. Mosquensis xciii. olim xciv. fol. 26. membr. sec. xi,] Ἡμεῖς δὲ ἕνωσιν ἀληθῆ. 1. verba γὰρ ἐποιήσατο—ἴδιον omisit Ed. τὸ secundum assumpsi e Nik. in S. Joannem. 3. ἑκαστῷ Ib. 7. σαρκὸς τοιοῦτόν ἐστι τὸ εἰρημένον παρὰ Θεοῦ ἐκχεῶ—σάρκα et pergit diverse Ib. 9. Υἱὸν exhibet Maius ex b. θεὸν a. 10. τὸν om. b. 21. ἐπὶ] + τῆς a. 23. ex a. et b fol. 189. 26. ἐκείνῳ b. ἔχων a.b. "mediol. ἀνέχων Ed. mg." sed errore. 28. οὖν om. b.

[112 M.]

οἴονταί τινες περὶ ἀνθρώπου ταῦτα λέγεσθαι κοινοῦ, πῶς ἐνεδέχετο τὸν οὔπω γεγεννημένον μηδὲ ὑπάρχοντα, φύσεως ἐπιλαβέσθαι τῆς τῶν ἁγίων ἀγγέλων, εἴπερ ἤθελε τοῦτο δρᾶν, ἀλλ' ἐκεῖνο μὲν οὐ πεποιηκότα, ἐπιλαβόμενον δὲ μᾶλλον σπέρματος Ἀβραάμ; ἄλλως τε, κἀκεῖνο γὰρ οἶμαι κατιδεῖν ἀναγκαῖον, τὸ λέγειν ἄνθρωπον ἀνθρωπότητος ἐπιλαβέσθαι, ἀσύνετον παντελῶς. (Cf. supra p. 463.) οὐκοῦν ὁ ἔξω τῆς ἀνθρώπου φύσεως ὢν ὡς Θεὸς, ἐπιλαμβάνεται σπέρματος Ἀβραάμ· σῶμα γὰρ οὕτω λαβὼν ἔμψυχόν τε καὶ ἔννουν ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας, ὡμοιώθη τοῖς ἀδελφοῖς κατὰ πάντα, τουτέστιν ἡμῖν· τότε γέγονεν ἐφ' ἡμᾶς ἀρχιερεὺς ἐλεήμων, (Heb. ii. 17.) καὶ πρός γε τούτῳ πιστός. πῶς οὖν γέγονεν, ἀκόλουθον ἰδεῖν· οὐ γὰρ ἦν ἐλεήμων καὶ πρὶν γένηται καθ' ἡμᾶς; οὐκ ἦν ἀγαθὸς ὡς ἐξ ἀγαθοῦ Πατρὸς, ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε καὶ ἐλεήμων; (Cf. contra Nest. iii. 74 c.) προέκοψεν οὖν ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ κρείττων ἑαυτοῦ γέγονεν, ὅτε σπέρματος Ἀβραὰμ ἐπελάβετο· οὐκοῦν ὅπερ οὐκ ἦν ἐγένετο, καὶ ὠφέληται μᾶλλον γενόμενος ἄνθρωπος· πῶς οὖν ἄτρεπτος ἔτι κατὰ φύσιν, (113 M.) εἰ γέγονεν ὅπερ οὐκ ἦν; πῶς μεμένηκεν ὁ αὐτός; ποῦ δὲ κεκένωκε καὶ καθῆκεν ἑαυτὸν εἰς ταπείνωσιν, εἰ γέγονεν ἑαυτοῦ καλλίων; ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει, μὴ γένοιτο· ἦν γὰρ ἐλεήμων καὶ ἔστιν ἀεί· καὶ ἐπειδὴ τοῦτό ἐστιν, ἐπελάβετο σπέρματος Ἀβραὰμ, ἵν' εἰς ἡμᾶς ἱερεὺς ἐλεήμων γένηται· καὶ τίνα τρόπον, ἐρῶ· οὐκ ἦν ἐν νόμῳ δικαιωθῆναι τὸν ἄνθρωπον, οὐκ ἦν παραβῆναι τὴν δοθεῖσαν ἐντολὴν, καὶ μὴ δίκας ὑποσχεῖν παραχρῆμα καὶ μέχρι θανάτου· πιστώσεται δὲ γράφων ὁ Παῦλος "Ἀθετήσας τις νόμον Μωϋσέως (Ib. x. 28.) "χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει." ἵνα τοίνυν ἀπαλλάξῃ ἡμᾶς τῆς ἐν νόμῳ δίκης καὶ ἀρᾶς καὶ ἀποτομίας, κεχρημάτικεν ἡμῶν ἱερεὺς, οὐ δίκας αἰτῶν τῶν ἡμαρτημένων, οὐκ ἐνόχους τῇ κρίσει καθιστὰς τοὺς ἐξ

2. ἀνεδέχετο b. 3. ἐπιλαμβάνεσθαι b. 4. ἐκείνῳ b. 5. κἀκείνω b. 9. οὗτος (ut adn. Maius) a. 10. ὡμοιώθη] + τε b. 19. ποῦ] πῶς b. 21. ἀλλ' omisit Maius.

[113 M.] ἀσθενείας ἀνθρωπίνης πεπλημμεληκότας· δικαιῶν δὲ μᾶλλον τῇ πίστει καὶ ἐγκλημάτων ἀνιεὶς καὶ ἁγίους ἀποφαίνων καὶ τῆς ἑαυτοῦ φύσεως κοινωνοὺς, οὕτω τε συνάπτων δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί· ἐλεήμων γὰρ ἀρχιερεὺς εἰς ἡμᾶς γέγονεν ὁ Χριστὸς, οὐκέτι ταῖς νομικαῖς ἀποτομίαις κρατεῖν ἐπιτρέπων, ἀνιεὶς δὲ μᾶλλον τῶν ἀρχαίων αἰτιαμάτων τοὺς ἠσθενηκότας· πιστὸς δὲ, ὅτι μόνιμος καὶ διηνεκὴς, καὶ ἀξιόχρεως εἰς πίστιν τῶν ἐπηγγελμένων, καὶ ἀπαράβατον ἔχων τὴν ἱερωσύνην· ἐλεήμων τοίνυν καὶ πιστὸς, τουτέστιν ἀεὶ μένων γέγονεν ἱερεὺς ὅτε σπέρματος Ἀβραὰμ ἐπελάβετο, Θεὸς ὢν ὁ Λόγος, καὶ ἐν μορφῇ καὶ ἰσότητι τοῦ Πατρός· τί τοίνυν συκοφαντοῦσι τὴν ἀλήθειαν; τί παραιτοῦνται τὸν Υἱὸν τοῦ εἶναι ὅ ἐστι, διὰ τὴν εἰς ἡμᾶς ἀγάπην;

X.

e Maio 113. Ἀλλὰ γὰρ οἱ χριστομάχοι τὰ ἐκ πανουργίας εὑρήματα πανταχόθεν ἑαυτοῖς συλλέγοντες εἰς ἐπικουρίαν, καὶ αὐτὰς τὰς θείας συκοφαντοῦσι γραφάς· καὶ δὴ φασὶ τὸν μακάριον Παῦλον, ἀπόστολον καὶ ἀρχιερέα καλέσαι τὸν Ἰησοῦν· (Heb. iii. 1.) ἀποστολὴ δὲ, φασὶ, καὶ ἱερωσύνη λειτουργίας εἰσὶ τρόποι· καὶ γοῦν ἀπεστάλησαν μὲν οἱ μαθηταὶ, ἱεράτευσε δὲ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ· καὶ εἴπερ ἐν τούτοις ἐστί φασι τὸ τοῦ Υἱοῦ μέτρον, πῶς ὁμοούσιος εἶναι δύναται τῷ Θεῷ καὶ Πατρί; ὢ πολλῆς δυστροπίας· ἀποπροσποιοῦνται τὸ εἰδέναι τὴν ἀλήθειαν, (114 M.) καὶ σκοπὸς αὐτοῖς μηδὲν ὑγιὲς φρονεῖν ἢ λέγειν· ὁμολογοῦντες γὰρ μεθ' ἡμῶν, ὅτι καίπερ ὑπάρχων ἐν μορφῇ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, κεκένωκεν ἑαυτὸν ἑκὼν, οὐκ ἐπαινοῦσι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, ἀκούοντες δὲ τοῦ ἀποστόλου λέγοντος "Ἀρχιερέα καὶ "ἀπόστολον Ἰησοῦν·" οὐκ εἰσδέχονται κατὰ νοῦν ὅτι γεγο-

4. ἐλεήμων] + μὲν a. 15. ex a et b fol. 197 v. κυρίλλου tantum apponit in margine b, κυρίλλου ὁμιλία a. 27. τὸ assumptum ex a. deest in b. Ed. 28. ἀκούοντος (sic) b.

[114 M.]

νὼς καθ' ἡμᾶς ὁ Μονογενὴς, ὠνόμασται τότε καὶ Ἰησοῦς διὰ τῆς τοῦ ἀγγέλου φωνῆς· τότε κεχρημάτικε καὶ ἀπόστολος καὶ ἀρχιερεύς. οὐκοῦν ἢ ἀρνείσθωσαν ἐναργῶς ὅτι γέγονε σὰρξ ὁ Λόγος, τουτέστιν ἄνθρωπος, ἐμψυχωμένον τε καὶ ἔννουν σῶμα λαβὼν, καὶ τότε πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα περιαγέτωσαν εἰς τὸν οἰκεῖον σκοπόν· ἢ εἰ φοβοῦνται τὸ ἀρνεῖσθαι τὸ μυστήριον, θαυμαζέτωσαν μεθ' ἡμῶν τὸν δι' ἡμᾶς ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, μεμενηκότα δὲ καὶ οὕτω Θεόν· τότε γὰρ τὸ τῆς κενώσεως πολυπραγμονοῦντες μέτρον, τὸν αὐτὸν εὑρήσουσι καὶ ἀπόστολον ἀνθρωπίνως, καὶ κηρυσσόμενον θεϊκῶς παρὰ τῶν ἀπεσταλμένων· τίνα γὰρ ἐκήρυττον τοῖς ἔθνεσιν οἱ μακάριοι μαθηταὶ, καὶ τοῦτο ὡς Θεὸν ἀληθινόν; ἆρ' οὐχὶ τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; οὐκ ἀπόστολον διὰ τὸ ἀνθρώπινον; οὐκ αὐτὸν ὄντα Θεὸν, ὅτι Λόγος ἦν τοῦ Πατρός; πῶς αὐτὸν ἀρχιερέα γεγονότα θεωρήσομεν; ἆρα κατὰ τὸν Ἀαρών; ἆρα κατὰ τὸν Μωσέως νόμον, τοὺς ἐξ ἀγέλης ἀμνοὺς καταθύοντα τῷ Θεῷ; ἆρα τρυγόνας προσάγοντα καὶ περιστερὰς καὶ σεμίδαλιν ἐλαιοβραχῆ; καίτοι τῶν τοιούτων οὐδὲν πέπραχεν ὁ Ἐμμανουήλ· ἱερατεύει γὰρ ὑπὲρ νόμον· αὐτὸς ἦν τὸ θῦμα, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὁ αὐτὸς ὁ ἄμωμός τε καὶ ἄκακος ἀρχιερεὺς, οὐχ ὑπὲρ ἰδίων πλημμελημάτων ἱερουργῶν, κρείσσων γὰρ ἦν ἁμαρτίας ὡς Θεὸς, ἀλλ' ἵνα λύσῃ τὴν ἁμαρτίαν τοῦ κόσμου· γέγονε τοίνυν αὐτὸς τῆς ἰδίας προσφορᾶς ἱερουργός· οὐ γὰρ ἔδει κοινὸν ἄνθρωπον τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς θυσίαν προσενεγκεῖν.

S. Luc. ii. 21.

Ἄλλως δὲ τί φησιν ὁ μακάριος Παῦλος, δοκιμάσωμεν ἀκριβέστερον "Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα "τῆς ὁμολογίας ἡμῶν, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ "κηρύσσομεν·" τί τοίνυν ἱερουργεῖ ἑαυτῷ καὶ τῷ Πατρί;

Rom. x. 8.

3. ἱερεὺς b. 15–26, p. 468. 10, 15, 16 fere exhibent alibi a., b fol. 367, unde supra p. 406 not. exhibui et ipse. 19. ελαιοβραχῆ a. ἐλαίῳ βραχῆ b. Ed. 21. ὁ tertium assumptum ex b. ὁ αὐτὸς ἄμ. a. αὐτὸς ὁ ἄμ. Ed. 27. ἄλλως δὲ assumptum ex a. ἄλλως b. neutrum Ed.

[114 M.] "Πιστεύομεν γὰρ εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, πάν-"των ὁρατῶν τε καὶ ἀοράτων ποιητὴν καὶ εἰς ἕνα κύριον "Ἰησοῦν Χριστὸν τὸν αὐτοῦ Υἱόν." οὐκοῦν οἱ λέγοντες ὅτι γέγονεν ἱερεὺς, διά τε τοῦτο σκανδαλιζόμενοι, διδασκέτωσαν ἡμᾶς ποῖος ἱερεὺς ἑαυτῷ ποιεῖται τὴν ἱερουργίαν, ἑαυτῷ προσφέρει τὴν θυσίαν; ποῖος ἱερεὺς ἐν ἴσῃ τάξει καὶ ἐν δόξῃ φαίνεται τῷ παρ' αὐτοῦ δεχομένῳ τὴν λειτουργίαν;
Cf. contra Nest. iii. 66 c. ἀλλὰ καίτοι γεγονὼς ἀρχιερεὺς ὁ Υἱὸς διὰ τὸ ἀνθρώπινον, ἑαυτῷ προσκεκόμικε, καὶ δι' ἑαυτοῦ τῷ Πατρὶ τὴν ὁμολογίαν ἡμῶν, καὶ ἐν τοῖς τῆς θεότητος ὁρᾶται θρόνοις· καὶ πιστώ-
Heb. viii. 1, 2. σεται γράφων ὁ Παῦλος "Κεφάλαιον δὲ ἐπὶ τοῖς εἰρημένοις, "τοιοῦτον ἔχομεν ἀρχιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου "τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, "καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ "ἄνθρωπος." οὐκοῦν ἱερατεύει μὲν ἀνθρωπίνως ὅτι γέγονεν ἄνθρωπος, συνεδρεύει δὲ θεϊκῶς ὅτι μεμένηκε Λόγος.

XI.

Ib. iii. 12. Θεὸν μέντοι ζῶντά φησι τὸν Χριστὸν, οὗ πάντῃ τε καὶ πάντως ἀφίστανται τῶν τῆς ἀληθείας δογμάτων ἀποπηδῶν-
Col. ii. 6. τές τινες· ἀλλὰ τί φησιν ὁ αὐτοῦ μαθητής; "Ὡς οὖν "παρελάβετε τὸν Χριστὸν Ἰησοῦν Κύριον, ἐν αὐτῷ περιπα-"τεῖτε." παρελάβομεν δὲ ζῶντα Θεὸν καὶ Κύριον ἀληθῶς τὸν Χριστόν.

3. αὐτοῦ υἱόν hoc ordine a. 4. διά τε] διά γε a. 18. ex a et b fol. 211 v, qui Κυρίλλου ὁμιλία καὶ θησαυρικῶν λβ exhibent: posteriora quae in θησ. λβ' [Thes. 292 d scilicet] inveniuntur, omittentes, priora exhibemus. 22. παρελάβομεν—Χριστόν Maio omissum e Cramero exhibeo, post haec incipiente e Thesauro citatione.

e Maio ii. 481.

XII.

Κυρίλλου ἐν ὁμιλίᾳ ἐπιγεγραμμένῃ εἰς τὸ Εὐθέως δὲ μετὰ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ· περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν. S. Matth. xxiv. 29. Ib. 36.

Ἀλλ' ὅταν καὶ τοῦτο λέγῃ, οὐ πάντως ἑαυτὸν σημαίνει· οὔτε γὰρ προσέθηκεν ἀκριβῶς Οὐδὲ ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλλ' ἀπολελυμένως Οὐδὲ ὁ υἱός φησιν· ἵνα τοιοῦτόν τι νοῇς· ἐσπούδαζον κατὰ ἀκρίβειαν πάντα μανθάνειν οἱ μαθηταὶ, καὶ ἐπεχείρουν ἵνα οὕτως εἴπω καὶ αὐτὰ περιεργάζεσθαι τὰ βάθη τοῦ Κυρίου. ἀλλ' ἦν τὸ πρᾶγμα λίαν ὑπὲρ αὐτούς. ἵνα τοίνυν μὴ ἀπαγορεύσας τὴν ἐξήγησιν ὡς ἠβούλοντο μαθεῖν, δόξῃ πως λυπεῖν τοὺς γνησιεύοντας, ἐπεσκιασμένως φησί "Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ "οἱ ἄγγελοι, οὐδὲ ὁ υἱὸς, εἰ μὴ ὁ πατήρ·" ἵνα νοῇς οὕτως· εἰ καὶ κέκληται πρὸς υἱοθεσίαν ὁ ἄνθρωπος καὶ υἱὸς ἀνεδείχθη νέος, ἀλλὰ μὴ ζητείτω τὰ ὑπὲρ φύσιν, μηδὲ ἀξιούτω μαθεῖν ἅπερ μηδὲ τοῖς ἀγγέλοις ἀπεκάλυψεν ὁ Πατήρ· εἰ δὲ ἄγγελος οὐκ οἶδεν, οὐδὲ ἄνθρωπος εἴσεται κἂν εἰ κέκληται πρὸς υἱοθεσίαν. Cf. Thes. cap. xxi. p. 219 b. Cf. 1 Cor. ii. 10. S. Marc. xiii. 32. 482 M.

ܡܛܠ ܕܝܢ ܕܗܠܝܢ ܕܠܒܠ ܡܫܟܚܘܢ ܒܥܝܢ ܗܘܘ ܬܠܡܝ̈ܕܐ
ܠܡܐܠܦ. ܐܝܟ ܕܠܘܬܐ ܡܫܚܠܦܬ ܠܗܘܢ، ܕܠܐ ܢܕܥ ܒܪܗ ܕܐܢܫܐ
ܒܪܢܫܐ. ܘܐܡܪ ܕܐܦ ܠܐ ܗܘܢ ܡܠܐܟ̈ܐ ܘܒܢ̈ܝܐ

2. Haec edidit ex Anastasio Presbytero (ut putabat) in Scriptorum veterum Collectione T. vii. init., deinde in Bibl. Nova Patrum ii. 481 Maius, [Migne v. 441]: contuli ipse cum Codice persimili in Bibl. nostra Bodleiana (misc. 184. membr. sec. xiii. fol. 93 v.) a signans. 3. ἡ assumptum ex a. 5. καὶ a. ἢ Ed. 9. νοήσῃς a. 12. θεοῦ pro κυρίου a. 16. νοῇς a. νοήσῃς Ed. 18. ὑπὲρ a. ὑπὲρ τὴν Ed. μὴ pro μηδὲ a. 19. μηδὲ] οὐδὲ a. 22. ex eadem Homilia haec verba pauca citat Severus contra Johannem Grammaticum Syriace in Brit. Mus. cod. add. 12157 § 7 fol. 37 v. hoc titulo ܘܬܘܒ ܒܡܐܡܪܐ ܗܘ ܕܡܬܟܬܒ ܠܘܩܒܠܗܘܢ ܕܐܡܪܝܢ. ܕܠܐ ܢܕܥ ܒܪܐ ܠܗܘ ܝܘܡܐ ܐܚܪܝܐ. ܘܫܘܠܡܗ et iterum sermone qui inscribitur contra eos qui dicunt quod nescit Filius diem novissimum.

ܕܐܝܬ ܒܡܫܝܚܐ ܢܗܘܢ. ܕܠܐ ܢܬܬܚܫܒܘܢ ܐܝܟ ܐܠܝܢ
ܕܠܐ ܐܬܓܠܝ ܠܗܘܢ ܐܪܙܐ ⁘

XIII.

Τούτους προανετύπου μὲν ὁ νόμος, προεκήρυξαν δὲ καὶ
Lev. xxiv. 5, 6, 7. προφῆται. γέγραπται γοῦν ἐν μωσαικῷ βιβλίῳ "Καὶ λή- "ψεσθε σεμίδαλιν καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους καὶ "ἐπιθήσετε αὐτοὺς δύο θέματα ἐπὶ τὴν τράπεζαν τὴν καθα- "ρὰν ἔναντι Κυρίου καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καὶ "ἅλας καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν προκείμενα τῷ "Κυρίῳ." ἄρτος μὲν γὰρ ὁ ἐξ οὐρανοῦ κατελθὼν καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, τίς ἂν ἕτερος εἴη παρὰ τὸν τῶν ὅλων Σωτῆρα Χριστόν; κατὰ μίμησιν δὲ τὴν πρὸς αὐτὸν, ἄρτοι κέκληνται καὶ οἱ μακάριοι μαθηταί· μέτοχοι γὰρ γεγονότες τοῦ τρέφοντος ἡμᾶς εἰς ζωὴν αἰώνιον, τρέφουσι καὶ αὐτοὶ διὰ τῶν ἰδίων συγγραμμάτων τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην. ὥσπερ δὲ φῶς ὑπάρχων τὸ ἀληθινὸν ὁ Σωτὴρ,
S. Matth. v. 14. φῶς ὠνόμασε καὶ τοὺς μαθητάς· "Ὑμεῖς γάρ ἐστε τὸ φῶς "τοῦ κόσμου·" οὕτως καὶ αὐτὸς ὢν ὁ ἄρτος τῆς ζωῆς ἐχαρίσατο τοῖς ἑαυτοῦ μαθηταῖς τὸ ἐν τάξει νοεῖσθαι τῶν ἄρτων. καί μοι βλέπε τοῦ νόμου τὸ εὐτεχνές· ἐπιθήσετε γάρ φησιν ἐπὶ τοὺς ἄρτους λίβανον καὶ ἅλας· καὶ ὁ μὲν λίβανος εὐωδίας ἐστὶ σύμβολον· οἱ δὲ ἅλες, συνέσεως καὶ φρενῶν. ἐνυπῆρχον δὲ ἄκρως ἀμφότερα τοῖς ἁγίοις ἀποστόλοις. εὐ-

Niketas (cf. Maium in S. Luc. Patrum Bibl. Nov. ii. 139) *οὐκ ἠγνόησεν—τοῦ λόγου* citat tanquam *χρυσοστόμου κατὰ ἰωάννου καὶ κυρίλλου ὁμιλία* sed omnia ad S. Chrys. Hom. in S. Johannem xvi. § 3 pertinent.

4. e Maio in S. Luc. p. 190. (cum cod. Vienn. [supra p. 458] non contuli.) Partim exhibet et in Catena in Hebraeos et in Matthaeum Niketas idem: in Cat. in Hebr. incipiens [cod. Mediolanensis a. supra cit.] *προανετύπου δὲ ἄρα καὶ τοὺς μακαρίους μαθητὰς διὰ τούτων ὁ νόμος· γέγραπται,* in Cat. autem in Matthaeum (Codex Matritensis Bibl. Publ. O 62. fol. 246. et ed. p. 356) *Τούτους τοὺς δώδεκα μαθητὰς καὶ ὁ νόμος προανετύπου καὶ οἱ προφῆται προανεκήρυξαν γέγραπται.* 5. *ὅτι* pro *καὶ* Cod. Med. 7. *δύο θεμ.* et *ἐπὶ τὸ θέμα* et *καὶ ἔσονται—τῷ Κυρίῳ* om. Cat. Matrit. 11. *τίς—χριστόν*] *αὐτός ἐστιν ὁ χριστός* Catt. Med. et Matr. 13. *μακάριοι* om. Cat. Mediol. 17. *καὶ τοὺς μαθητάς*] *καὶ αὐτούς* Cat. Med. *αὐτούς* Cat. Matr. 18. *κόσμου*] + *φησιν* Cat. Matr. et Med. *καὶ* om. Cat. Med. *ἐχαρίσαντο*] + *καὶ* Cat. Matr. 19. *ἑαυτοῦ* om. Cat. Matr. 22. *φρενῶν* et *συνέσεως* inter se transponit Cat. Matr.

ὠδης γὰρ ἦν ὁ βίος αὐτοῖς· καὶ γοῦν ἔφασκον ὅτι “ Χριστοῦ “ εὐωδία ἐσμὲν τῷ Θεῷ,” [2 Cor. ii. 15.] ἦσαν δὲ πρὸς τούτῳ καὶ πανσύνετοι· διὸ καὶ ἤκουον “ Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς.” [S. Matth. v. 13.] ἀκούω δὲ καὶ τοῦ προφήτου Δαυεὶδ ψάλλοντός τε καὶ λέγοντος περὶ αὐτῶν “ Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα “ ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθα- “ λείμ.” [Ps. lxvii. 28.] σχεδὸν γὰρ ἐξ ἁπάσης φυλῆς τῆς ἐξ Ἰσραὴλ ἀπόλεκτοι γεγόνασιν οἱ μακάριοι μαθηταὶ καὶ φωστῆρες ἦσαν οἰκουμενικοὶ λόγον ζωῆς ἐπίσχοντες· [Phil. ii. 16.] καὶ τό γε παράδοξον· εὐγλωττίαν μὲν γὰρ ἔχουσι λαμπρὰν οἱ τῶν ἑλλήνων σοφοὶ καὶ εὐστομοῦσιν ἄγαν· οἱ δέ γε τοῦ Σωτῆρος ἡμῶν μαθηταὶ, ἄνθρωποι γεγόνασι χειροτέχναι καὶ θαλασσουργοὶ καὶ ἰχθυοθῆραι, οὐ κόμπον ἔχοντες λόγων, οὐ λέξεων εὐπορίαν δεδοκιμασμένων· ἀλλ᾽ ἰδιῶται μὲν τῷ λόγῳ, πλούσιοι δὲ τῇ γνώσει. [2 Cor. xi. 6.] καὶ σεσίγηται μὲν τὰ ἑλλήνων γράμματα καὶ ἡ τῶν λέξεων εὐκομπία, κατακρατεῖ δὲ τῆς ὑπ᾽ οὐρανὸν τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ δύναμις. τούτων διαμέμνηται Θεὸς καὶ διὰ φωνῆς Ἱερεμίου λέγων περὶ τοῦ πάντων ἐχθροῦ, φημὶ δὴ τοῦ σατανᾶ “ Οὐαὶ ὁ πληθύνων αὐτῷ τὰ οὐκ ὄντα “ αὐτοῦ καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς, ὅτι ἐξαί- “ φνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν καὶ ἐκνήψουσιν οἱ “ ἐπίβουλοί σου καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς.” [Hab. ii. 6, 7.] ἅπαντας μὲν τοὺς ἐπὶ γῆς ἀνθρώπους οὐκ ὄντας αὐτοῦ συνήγαγεν ὁ σατανᾶς καὶ ἰδίους ἀπέφηνε προσκυνητὰς καταβαρύνων αὐτοῦ τὸν κλοιόν· ἀλλ᾽ ἐξένηψαν οἱ διαρπάζοντες αὐτοῦ τὰ σκεύη· ἐθήρευσε γὰρ τῆς ἀποστολικῆς μυσταγωγίας τὸ δίκτυον ἅπαντας τοὺς πεπλανημένους καὶ προσεκόμισαν τῷ Θεῷ τὴν ὑπ᾽ οὐρανόν.

1. ὅτι om. Cat. Matr. 2. πανσύνετοι des. Cat. Mediolanensis. Statim διὸ—γῆς assumptum e Cat. Matr. ut ed. l. c. 4. τε καὶ λέγοντος om. Cat. Matr. 5. νεώτερος assumptum ex Cat. Matr. 9. ἐπέχοντες ζωῆς Cat. Matr. 9–11. καὶ τό γε—μαθηταί om. Cat. Matr. 12. χειροτέχναι γεγονότες Cat. Matr. 13. οὐ κόμπον om., ἔχοντες post λέξεων transponens Cat. Matr. 15–17. καὶ σεσίγηται—δύναμις om. Cat. Matr. 17. διεμέμνητο Cat. Matr. 18. πάντων—τοῦ om. Cat. Matr. 20. καὶ βαρύνων —στιβαρῶς om. Cat. Matr. 22. μὲν] + γὰρ Cat. Matr. 24. καταβαρύνων αὐτοῦ τὸν κλοιόν om. Cat. Matr. 25. ἐξένηψαν] ἐγέρθησαν Cat. Matr. 27. Nik. in S. Luc. (Maii p. 295) scholion Τοιοῦτος—μηδὲ πίωμεν sub nomine S. Cyrilli homilia exhibet sed S. Cyrillum auctorem non habet.

XIV.

Διανέμει καὶ νῦν ὁ Σωτὴρ τάλαντα τοῖς ἰδίοις οἰκέταις κατά γε τὴν ἐν εὐαγγελίοις παραβολήν· οὐκοῦν ἁπλώσατε τὰς καρδίας καὶ ὑποδέξασθε χαίροντες· “Δόκιμοι “γενέσθε τραπεζῖται·” ἐμπορεύσασθε τὸ δοθὲν ἐπιστημόνως· πολυπλασιάσατε ταῖς ἐπιεικείαις, μέγα καὶ ἁγιοπρεπὲς τὸ καύχημα καὶ τοὺς τῆς γνησιότητος ἐπαίνους προξενεῖ, καὶ τί τοῦτο λέγω, τὸ ἔτι μεῖζον ἀφείς; οὐρανοῦ πολίτην ἐργάζεται, εἰς βασιλείαν ἀναφέρει, αὐτῷ συνδοξάζεσθαι ποιεῖ τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ. ἴδωμεν δὲ τοῦτο καὶ ἐξ αὐτῶν τῶν εὐαγγελικῶν γραμμάτων· ὁ τὰ πέντε τάλαντα λαβὼν παρὰ τοῦ οἰκοδεσπότου, προσεργασάμενος δὲ καὶ ἕτερα πέντε, τί προσέρχεται λέγων;
S. Matth. xxv. 20. “Κύριε, πέντε τάλαντά μοι ἔδωκας, ἴδε ἐποίησα ἄλλα “πέντε.” ὁρᾷς ὅσον ἐστὶ τῆς φιλοπονίας τὸ καύχημα; καὶ
Ib. 21. τί πρὸς αὐτὸν ἔφη Χριστός; “Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, “ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε “εἰς τὴν χαρὰν τοῦ κυρίου σου.” τί τούτου τὸ μεῖζον εἰς δόξαν; τί τὸ αἱρετώτερον εἰς εὐημερίαν; ἔπαινοι παρὰ Χριστοῦ καὶ ψῆφος δεσποτικὴ στεφανοῦσα τὸν φιλεργήσαντα, πιστὸν ὀνομάζει τὸν καρποφορήσαντα νοητῶς· μὴ γὰρ τῷ Δεσπότῃ τὸ κέρδος προσήνεγκε; μὴ γὰρ χρῄζει τινὸς ἐν τοῖς καθ' ἑαυτόν; αὐτός ἐστι τὸ πάντων πλήρωμα καὶ ὡς ὁ
S. Joan. i. 16. πάνσοφος Ἰωάννης φησίν “Ἐκ τοῦ πληρώματος αὐτοῦ “πάντες ἡμεῖς ἐλάβομεν.” ἀλλ' ὅταν ἡμεῖς ἑαυτοὺς κερδάνωμεν, προσωφελῶμεν δὲ καὶ ἑτέρους, τότε χαίρει Χριστὸς, πλοῦτον ἡγεῖται τὴν ἡμῶν εὐδοκίμησιν· καὶ τὸ ἔτι μεῖζον ἐρῶ· τροφὴν ὥσπερ ποιεῖται τὸ πρᾶγμα. ὅτι δέ ἐστιν ἀληθὲς ὅ φημι, πάλιν ἐκ τῶν εὐαγγελικῶν μαθήσῃ γραμμάτων. νενουθέτηκε μὲν γὰρ τὴν ἐκ Σαμαρείας γυναῖκα· εἶτα
Ib. iv. 25. λεγούσης ἐκείνης “Ὅτε ἔλθῃ Μεσίας ἀπαγγελεῖ ἡμῖν

2. e Maio p. 390 contuli cum L fol. 315 [vide supra pp. 450, 453] qui in mg. et ipse titulum κυρίλλου ὁμιλία exhibet. 3. ἐν] + τοῖς L. 13. προσήρχετο L. 19. δόξαν L. δύναμιν Mai.

“ πάντα,” ἑαυτὸν ἐμφανῆ κατέστησε λέγων “ Ἐγώ εἰμι ὁ S. Joan. iv. 26. “ λαλῶν σοι.” καὶ τὸ μὲν γύναιον δρόμῳ συντείνεται καὶ τὴν Σαμαρειτῶν μεμυσταγώγηκε πόλιν· εἰδὼς δὲ Χριστὸς ὅτι πολλοὶ πιστεύσουσιν ἐπ' αὐτὸν, τοῖς ἁγίοις ἔφασκε μαθηταῖς “ Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε,” Ib. 32. τρέφει γὰρ ὥσπερ τὴν ἡμερωτάτην φύσιν τῶν ἀπολωλότων ἡ σωτηρία.

Ὁ μὲν οὖν γνήσιος οἰκέτης· ἀναβήσομαι γὰρ αὖθις ἐπὶ τὸν τοῦ λόγου σκοπόν· τὸν τῆς ἐπιεικείας ἀνεδήσατο στέφανον, εἰσκεκόμισται γὰρ εἰς τὴν χαρὰν τοῦ ἰδίου δεσπότου· ὁ δέ γε λαβὼν τὸ τάλαντον, εἶτα γεγονὼς ὀκνηρὸς, προσεργασάμενος δὲ παντελῶς οὐδὲν, κατακρύψας δὲ μᾶλλον εἰς γῆν αὐτὸ, ταῖς ἐσχάταις περιπέπτωκε δίκαις. φύγωμεν τοίνυν τὴν μίμησιν, ἀποπεμψώμεθα τῆς ἑαυτῶν διανοίας τὸν ἀκερδῆ καὶ ἐπάρατον ὄκνον, τὸν ἐπ' ἀγαθοῖς δηλονότι σπουδάσμασι, μὴ εἰς ἀργίαν τὴν δοθεῖσαν ἡμῖν παρὰ Χριστοῦ καταχώσωμεν χάριν. φησί που διὰ φωνῆς Ἡσαΐου ὁ τῶν ὅλων Θεός “ Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ·” Es. xl. 2. τί δὲ εἰ ὁ μὲν διδάσκων τοὺς ὠφελεῖν εἰωθότας ἐξυφαίνοι λόγους τοῖς ἀκροωμένοις, οἱ δὲ οὐκ εἰς νοῦν καὶ καρδίαν ἀποτίθενται τὴν μυσταγωγίαν, ἀλλ' ἐπικροτήσαντες μόνον καὶ γυμνοῖς ἐπαίνοις ἀμειψάμενοι τὸν μυσταγωγὸν, ἄγευστοι τῶν ἱερῶν ἀπομένουσι διδαγμάτων; ἆρα ὀκνῆσαι προσήκει τὸν μυσταγωγόν; εἶτα ποίους εὑρήσει λόγους ἐπὶ τοῦ θείου βήματος τοὺς ἐπικουροῦντας αὐτῷ ὅταν αἰτιάσηται τῶν ἀκροωμένων τὸ ῥᾴθυμον καὶ εὐάφορμον εἴπῃ διὰ τοῦτο τὸν ὄκνον; κατακριθήσεται γὰρ μᾶλλον ὡς ἔστιν ἰδεῖν ἐκ τῆς εὐαγγελικῆς παραβολῆς· ὁ γάρ τοι τὸ τάλαντον λαβὼν παρὰ τοῦ οἰκοδεσπότου, κατέχωσε μὲν εἰς γῆν αὐτὸ καὶ ἀπολυπλαστον ἔχων προσεκόμιζε λέγων “ Κύριε ἴδε ἔχεις τὸ σόν.” S. Matth. xxv. 25. ἆρ' οὖν ἐπηνέθη καὶ γερῶν ἠξίωται, ἢ κατεδικάσθη μᾶλλον

11. τὸ] ἐν inter uncos addit Maius, repugnante L. 18. Ἱερεῖς λαλήσατε L. ἱερεὺς λαλησάτω Maius. 19. ἐξυφαίνει L. 31. ἐπηνέθη L. ἐπηνέχθαι Maius. γερῶν emendavi ex L. γέρων Maius.

[S. Matth. xxv. 27.] ὡς ὀκνηρός; "Ἔδει σε γάρ, φησὶ, καταβαλεῖν τὸ ἀργύριόν "μου τοῖς τραπεζίταις, κἀγὼ ἐλθὼν ἐκομισάμην ἂν τὸ ἐμὸν "σὺν τόκῳ." οὐκοῦν ὡς τραπεζίταις ὑμῖν ἐπιστήμοσι τὸ δεσποτικὸν ἀργύριον ἐξοδιάζω ἐγώ· ὑμεῖς δὲ λαβόντες, εἰς νοῦν ἀπόθεσθε τὸ δοθὲν καὶ εἰς τὸ βάθος τῆς ἑαυτῶν καρδίας κρύψατε, εὖ εἰδότες ὅτι τὰ εἰς γῆν πεμπόμενα τῶν σπερμάτων ἐγχωννύμενα μὲν ταῖς βώλοις καρποφορεῖ, τὰ δὲ ἀκατάχωστα διαρπάζεται.

XV.

Πλὴν ἐσπούδασεν ὁ Κύριος μήτε δι' ὅλου φανερῶσαι τὴν ἑαυτοῦ θεότητα μήτε εἰς τὸ παντελὲς ἀποκρύψαι, τὸ μὲν διὰ τοὺς τότε, τὸ δὲ διὰ τοὺς μετὰ ταῦτα· ὥστε δεῖξαι καὶ τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος τρανὰς τὰς ἐνεργείας, ἵνα μήτε ἡ θεία δύναμις ἀμβλυνθῇ μήτε ἡ ἀνθρωπίνη φύσις ἀπιστηθῇ. ἐπειδὴ γὰρ ἔμελλεν αἵρεσις ἀνακύπτειν ἡ λέγουσα ὅτι φάντασμα ἦν τὸ σῶμα καὶ ἐξ οὐρανοῦ κατῆλθεν· οὐ γὰρ ἂν ἔλαβε τοῦ φθαρτοῦ σώματος σάρκα ἡ ἄφθαρτος φύσις, οὐδ' ἂν κατεδέξατο ῥύπον ἢ μολυσμὸν ἢ σπῖλον· ἵνα πιστώσηται ὁ Θεὸς τῶν ἀνθρώπων τὸ γένος ὅτι τοῦτο ἐγένετο ὅ ἐσμεν, μένων ὃ ἦν, διὰ τοῦτο συνεχώρησε τῇ σαρκὶ πάσχειν τὰ ἴδια, καὶ ἔδειξε διπλῆν τὴν ἐνέργειαν, πάσχων μὲν ὡς ἄνθρωπος, ἐνεργῶν δὲ ὡς Θεὸς ὁ αὐτός· οὐ γὰρ ἄλλος καὶ ἄλλος, εἰ καὶ ἄλλως καὶ ἄλλως.

Τοῦ ἁγίου κυρίλλου εἰς τό Πατὲρ εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.

Μέγα πάλιν καὶ ἐξαίρετον κατόρθωμα ταῖς ἡμετέραις ψυχαῖς διὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ. ἐπειδὴ γὰρ δεδικαιώμεθα διὰ τῆς πίστεως τῆς εἰς αὐτὸν καὶ ἐν αὐτῷ τὸ

4. εἰς νοῦν ἀποθέσθε hoc ordine L. 10. e Maio p. 434 fin., exhibet et L. fol. 498. κυρίλλου ὁμιλία in mg. ponens. 24. Haec sub hoc titulo exhibent Catenae in Acta SS. Apostolorum, cf. supra p. 443. contuli cum a fol. 52 v.

ἀπλημμελὲς ἡ ἀνθρώπου φύσις εὑρέθη πλουτήσασα, καὶ κεκαινοτόμηκεν ἡμῖν τὸ μηκέτι μὲν εἰς ᾅδου τρέχειν τὰς τῶν σωμάτων ἀπαλλαττομένας ψυχὰς καθὰ καὶ πρώην, πέμπεσθαι δὲ μᾶλλον εἰς χεῖρας Θεοῦ ζῶντος. καὶ τοῦτο εἰδὼς ὁ ἅγιος ἔφη Στέφανος "Κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά "μου·" καὶ ὁ μακάριος δὲ γράφει Πέτρος "Ὥστε καὶ "πάσχοντες κατὰ θέλημα τοῦ Θεοῦ πιστῷ κτίστῃ παρατι-"θέσθωσαν τὰς ἑαυτῶν ψυχάς."

Acta SS. Ap. vii. 59.
1 S. Pet. iv. 19.

1. Est in Niketae Catena in S. Luc. Evangelium (L. fol. 529) scholion ὠριγένους καὶ κυρίλλου: post pauca priora, pergit et illud ἐπειδὴ γὰρ ἐν αὐτῷ τὸ ἀπλημμελὲς. 2–4. μηκέτι—μᾶλλον] πέμπεσθαι Niketas [L]. 4. ζῶντος] + τὰς σωμάτων ἀπαλλαττομένας ψυχὰς (e supra) Niketas [L]. 6. μου] pergit diverse Niketas. καὶ alt.] + οἱ Cod. Coisl. [Cr. exhibente]. 8. Scholion supradictum incipit his verbis L fol. 529. Αὕτη ἡ φωνὴ ἣν ἔκραξεν ἐπὶ τῷ σταυρῷ Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου διδάσκει ὅτι αἱ τῶν ἁγίων ψυχαὶ οὐκέτι εἰς ᾅδου κατακλείονται καθὰ καὶ πρώην ἀλλὰ παρὰ τῷ Θεῷ εἰσι, τούτου γεγονότος ὡς ἐν ἀπαρχῇ ἐν χριστῷ, quae S. Cyrilli (ut opinor) sunt, sive ex homilia sive ex opere alio desumpta, eique tribuit et S. Thomas Aquinas in Cat. (Maio citato p. 436 not.)

CONTRA SYNOUSIASTAS LIBRI

S. CYRILLI

QUAE SUPERSUNT.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου

Οὗ ἡ ἀρχή

Ὁ μακρὸς ἡμῖν ἀρτίως πεποίηται λόγος.

α'.

ὍΤΑΝ τοίνυν παραπταίωσί τινες, εἶτα τροπὴν τοῦ Λόγου φαντάζωνται τὴν εἰς αἷμά τε καὶ σάρκα, γελάσθωσαν ὡς ἐξεστηκότες καὶ δὴ λέγωμεν αὐτοῖς "Ἐκνήψατε οἱ μεθύοντες "ἐξ οἴνου αὐτῶν," καὶ ὁποία μέν τις ἐστὶν ἡ τῆς σαρκὸς φύσις, βασανιζέσθω πρὸς ἡμῶν, ὁποία δὲ αὖ καὶ ἡ τοῦ πάντων ἐπέκεινα Θεοῦ, περιαθρεῖν σπουδάζετε. ἀμέτρητόν τι γὰρ τὸ μεταξὺ, καὶ τὸ συγκρίνειν ὅλως ἀποτολμᾶν οὐκ ἀνεύθυνον εἶναι, φαίη τις ἂν εἰκότως. ὁ μὲν γάρ ἐστι φύσει

Joel i. 5.

1. Fragmenta quae sequuntur reperit primus in versione Syriaca [Vat. 140 sec. viii.] Reverendissimus Cardinalis Maius traductionemque Latinam edidit ipse, Bibl. Nov. ii. 445–451 [Migne ix. 1427–1435] cum titulo *ex Apologia Johannis Caesariensis pro Concilio Chalcedonensi.* Co-acervatio e S. Cyrilli operibus magna et (ut videtur) eadem, quam Syriace reperit Maius, exstat in duobus Codicibus Graecis (sine nomine tamen compilatoris Johannis Caesariensis) nempe Cod. S. Marci Venetiis (165), Cod. monasterii S. Catharinae, Cahirae, sec. xvi. utroque. E quibus nunc edo, priorem b signans, posteriorem c. Memorat *καὶ κύριλλος ἐν τῷ κατὰ συνουσιαστῶν λόγῳ* Ephraimius Antiochenus in Photii Bibl. Cod. 229 p. 253. ed. Bekker. 4–6. Ita b [fol. 8 v]. *ἐκ τοῦ κατασυνουσίας* (?) *λόγου* c. 9. *φαντάζωνται* b. *φαντάζονται* c. 10. *λέγομεν* b. 12. *αὖ* om. c.

Θεὸς καὶ Κύριος τῶν ὅλων, φῶς καὶ ζωὴ καὶ δόξα, δύναμίς τε πρὸς τούτοις· ἡ δὲ ὅπερ οἶδεν οὖσαν αὐτὴν καὶ ἀπαστισοῦν τῶν τελούντων ἐν ἀνθρώποις. ὅταν τοίνυν μεταβολὴν γενέσθαι τοῦ Λόγου, τὴν εἰς τόδε τὸ γηϊνὸν σῶμα διισχυρίσωνταί τινες, ἤγουν ὅτι ἐκ τῆς ἑαυτοῦ οὐσίας σῶμα κατεσκεύασεν ἑαυτῷ τοῖς ἡμετέροις σώμασιν ὁμοφυὲς, Θεὸς ὢν ὁ Λόγος, ὁμολογείτωσαν πρότερον ὡς ἀπέστη τοῦ εἶναι ὅ ἐστιν· ἦν δὲ, ὡς ἔφην, Θεὸς καὶ Δημιουργὸς, ζωὴ καὶ φῶς, δόξα τε καὶ δύναμις· διαβεβαιούσθωσαν δὲ πρὸς τούτοις ὅτι τὸν τοῖς γενητοῖς πρέποντα πάσχειν ὄλισθον οὐκ ἀλλότριον αὐτοῦ καὶ τὸ τοῖς χείροσιν, ἢ οἷσπερ ἔστιν, ὁμιλεῖν οὐκ ἀνεπιτήδευτον ἔχει. οἶμαι δὲ δεῖν πολυπραγμονεῖσθαι πρὸς ἡμῶν τί τὸ εἰς τοῦτο κατωθῆσαν αὐτόν· ἆρά τις ἀνάγκη καὶ πλεονεξία πάθους ἐνσκήψασα; καίτοι πῶς οὐ φρενοβλαβείας ἀφ' ἧς τὸ ὧδε ταῦτ' ἔχειν οἴεσθαί τινας; εὖ γάρ ἐστι τὸ μεῖζον αὐτοῦ καὶ τὴν αὐτοῦ φύσιν πλεονεκτῆσαι δυνάμενον, ἐπεὶ πῶς ἐστιν ὁ Θεὸς "τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα" καὶ Phil. ii. 9. τῶν δυναμέων Κύριος; ἀλλ' οὐκ ἀνάγκη μὲν, ἴσως ἐροῦσιν, προαιρετικὴν δὲ τροπὴν καλέσαι πρὸς τοῦτο. ἔστι δὲ τῶν ἀμηχάνων καὶ τοῦτο παθεῖν αὐτόν. πῶς γὰρ ἡ θεία τε καὶ ἀκήρατος φύσις αἱρετὸν ἂν ἐποιήσατό τι τῶν οὐ πρεπόντων αὐτῇ;

β'.

Ἀλλ' ἴσως ἐκεῖνο ἐροῦσιν ἀφραίνοντες, ὡς μετέβαλε μὲν εἰς σάρκα Θεὸς ὢν ὁ Λόγος, πλὴν οὐχ ἅπας, οὔτε μὴν ὅλος δι' ὅλου· καίτοι πῶς οὐ τῆς ἐσχάτης ἐμβροντησίας γένοιτ' ἂν ἀπόδειξις ἐναργὴς, τὸ ταῦθ' οὕτως ἔχειν οἴεσθαί τε καὶ λέγειν; πρῶτον μὲν γὰρ τὸ φάναι τολμᾶν ὡς οὐχ ἅπας οὔτε μὴν δι' ὅλου μετέβαλεν, ἤτοι τροπὴν ὑπέμεινε, μετρούντων ἔστιν αὐτὸν, ἀποφαινόντων δὲ καὶ πεποσωμένον καὶ

3. ὅταν] incip. b fol. 9. 7. ὁμολογήτωσαν c. 10. γενητοῖς emendavi. γεννητοῖς b.c. 11. οἷσπερ emendavi. ὅπερ b. ὥσπερ c. 12. ἔχειν c. 13. κατωθοῦσαν c. 19. καλεῖσθαι c. τούτῳ b. 20. παθεῖν] λαθεῖν (sic) c. 24. ἐκ τοῦ αὐτοῦ λόγου b.c. 25. ὅλος emendavi. ὁ λόγος (sic) b.c.

ἀσώματον οὐκ ἔτι, δυνάμενον δὲ ἤδη καὶ ἐν τόπῳ νοεῖσθαι λαβεῖν, ἴσον τε γενέσθαι περιγραφῆς· εἶτα πρὸς τούτῳ κἀκεῖνο περινοεῖν πῶς οὐκ ἔδει τοὺς δι' ἐναντίας ὡς ὑποκειμένου τῷ Λόγῳ σώματος ἑνὸς ὁτουοῦν ὅπερ ἂν πάθοι μέρος, τοῦτο δὴ πάντως πείσεται καὶ τὸ πᾶν κατὰ τὸ ἐγχωροῦν· οὐ γὰρ ἂν ἑνὶ τῶν μορίων συνέβη τὸ παθεῖν, εἰ μὴ τοῦ παντὸς σώματος δεκτικὴ τοῦ παθεῖν ἡ φύσις ἦν· οὐκ ἐπείπερ ἡμᾶς καὶ οὐχ ἑκόντας καταβιάζεται τῶν ἐννοιῶν ἡ βάσανος εἰς ἀνεθελήτους ἵεσθαι λόγους, συγγνώμονας γίνεσθαι παρακαλοῦντες τὸν τοῦ Θεοῦ Λόγον, ἐκεῖνό φαμεν, ὡς εἴπερ ἐστὶν ἀληθὲς, ὅτι τὸ εἶναί τι παρατροπῆς οὐκ ἔχει, οὔτε μὴν ἀνέφικτον αὐτῷ τὸ παθεῖν αὐτὴν, διαβήσεταί που πάντως καὶ εἰς αὐτὸν τὸν Πατέρα καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον τῆς δυσφημίας ἡ δύναμις· ὁμοουσία γάρ ἐστιν ἡ ἁγία καὶ ἄχραντος Τριάς. εἶτα ποίαν ἔτι τὴν παρὰ Θεοῦ προσδοκῶμεν ἀσφάλειαν ἔν γε τοῖς καθ' ἑαυτοὺς, εἰ καὶ αὐτὸς μεθ' ἡμῶν ἀσθενεῖ καὶ τὸν ἐφ' ἃ μὴ θέμις εἰπεῖν ὑφίσταται κλό-
Mal. iii. 6. νον; καίτοι λέγοντος ἐναργῶς ἠκούσαμεν "Ἴδετε ὅτι ἐγώ "εἰμι καὶ οὐκ ἠλλοίωμαι," ψάλλει δέ που καὶ ὁ θεσπέσιος
Ps. ci. 26–28. μελῳδὸς ὅτι "ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ "ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον πα"λαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ "ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ
1 Cor. xiv. 2. "ἐκλείψουσιν;" ἄθρει δὴ οὖν ὅτι μυστήρια λαλῶν ἐν πνεύματι καὶ θεοδίδακτος ὢν, τῇ μὲν φύσει τῶν γενητῶν προσέῤῥιψε τὴν τροπὴν, ὡς ἐν τάξει παραδείγματος ἤγουν ἀποδείξεων, παλαιωθήσεσθαι λέγων τοὺς οὐρανοὺς, τετήρηκε δὲ τὸ ἄτρεπτον τῷ ἐπὶ πάντας Θεῷ· τὸ γὰρ εἶναί τε ἀεὶ καὶ ἀναλλοιώτως ἔχειν προσμεμαρτύρηκεν αὐτῷ. ὥσπερ δὲ τῶν ἀμηχάνων εἶναι πεπίστευται τὸ δύνασθαι μεταβαλεῖν τὴν

2. ἴσον] Legendum ut videtur εἴσω. τοῦτο c. 4. ἑνὸς] ἑνώσει c. μέτρος c. 7. οὐκ] Legendum ut videtur οὐκοῦν. 9. ἀναθελήτους b. ἵεσθαι] ἑλέσθαι c. 11. τι om. c. παρατροπῆς] legendumne πέρα τροπῆς? 15. προσδοκοῦμεν c. 18. ἴδετε] + με c. 19. θεσπέσιος om. c. 24. οὖν om. c. 25. θεουδίδακτος c. 29. ἀναλλοίωτον c.

τοῦ Λόγου φύσιν εἰς ὅπερ οὐκ ἦν, οὕτως οὐκ ἂν εἰς φύσιν θεότητος μεταχωρήσειν ἔτι τὸν γενητὸν, ἵνα μὴ πολλὰ τὰ ἀπὸ τῶν περὶ αὐτὴν ὁρῷτο συμβαίνοντα, ἃ καὶ μέχρι μόνων ἐννοιῶν ἐλάσαντα δυσαπόνιπτον ἂν ἔχοι τῆς δυσφημίας τὸ ἔγκλημα. εἰ γὰρ ὅλως μεθίσταταί τι τῶν γενητῶν εἰς θεότητα φυσικῶς, οὐκ ἄν τις ἁμάρτοι λογισμοῦ τοῦ εἰκότος, εἴπερ ἕλοιτο λέγειν καὶ οὐκ ἐξ οὐκ ὄντων ὑπάρχειν αὐτὴν, καὶ ὕλην ὥσπερ τινὰ τοῦ εἶναι λαχεῖν τὸ οὐκ ὂν αὐτῆς, καὶ οὐσίας ἀσωμάτου τὸ σῶμα γενέσθαι σύστασιν, ἀοράτου τε καὶ ἀναφοῦς ἁπτήν τε καὶ ὁρατήν. καὶ εἴπερ ἐστὶ ζωὴ κατὰ φύσιν ὡς ἐκ ζωῆς τοῦ Πατρὸς ὁ Μονογενὴς αὐτοῦ Λόγος, εἰσεδέξατο δὲ κατὰ τροπὴν εἰς ὁμοουσιότητα καθά φησι τὸ ἐξ ἀνθρωπίνου φυράματος, πολὺ δὲ τὸ δέος, μὴ ἄρα τις εἴποι καθαρῶς οὐκ εἶναι ζωὴν αὐτόν· οὐ γάρ ἐστιν ἀμιγὴς τοῦ φθείρεσθαι πεφυκότος. μάχεται δὲ καὶ ἑτέρως τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τῶν πεπλανημένων ἡ δόξα· καὶ τίνα τρόπον ἐροῦμεν· ἐπεφάνη γὰρ ἡμῖν Θεὸς ὢν Κύριος, ἵνα τὴν καθ᾽ ἡμῶν τυραννήσασαν ἀνέλῃ φθόραν, οὐχ ἵνα φθορᾶς μέτοχον τὴν οἰκείαν αὐτὸς ἀποφήνῃ φύσιν ἀνακιρνῶν ἑαυτῷ τὴν τῷ θανάτῳ κάτοχον σάρκα. ἰσοπαλὲς οὖν ἄρα τὸ κατηγόρημα, κἂν εἰ τὸν τοῦ Θεοῦ Λόγον εἰς σώματος φύσιν μετεστράφθαι τις λέγοι, κἂν εἴτε τὴν σάρκα μεταφῦναι πάλιν εἰς ὁμοουσιότητα πρὸς Θεόν. ἀποφοιτᾶν οὖν ἄρα πρέποι ἂν ἡμᾶς τούτου τε κἀκείνου, εἴπερ ἐστὶν οὐκ ἀζήμιον τὸ ἑλέσθαι φρονεῖν "παρ᾽ ὃ δεῖ φρονεῖν." Rom. xii. 3.



γʹ.

Ἵνα πιστεύωμεν ὅτι κἂν εἰ τοῖς ἡμετέροις σώμασιν ὁμοφυὲς ἦν τὸ ἅγιον αὐτοῦ καὶ πάναγνον σῶμα, ἀλλ᾽ οὖν ἐστι

3. ὁρῷ τὸ b. 6. εἰκότως b. 7. delendum οὐκ prius. 19. ἀνακιρνᾶν c. 20. οὖν ἄρα] ἄρα ἦν c. 27–p. 480, l. 14. Haec citat (et usque ad ζωῆς [p. 480, l. 3] nobis conservavit) Justinianus Imperator contra Monophysitas in Maii Script. Vet. vii. 302, λέγει γὰρ ἐν τῷ κατὰ τῶν συνουσιαστῶν λόγῳ ταῦτα praemittens.

σεπτόν τε καὶ θεῖον καὶ πολὺ τῶν καθ' ἡμᾶς ἐπέκεινα μέτρων, ἅτε δὲ καὶ ἴδιον αὐτοῦ γεγονός· ἐνήργηκε γὰρ δι' αὐτοῦ· διὰ τοῦτο καὶ ἄρτος ὠνομάσθη ζωῆς· ναὶ μὴν καὶ ἐξ οὐρανοῦ καταβῆναι λέγεται καὶ ζωὴν διδόναι τῷ κόσμῳ διὰ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταφοιτήσαντα Λόγον, οὗ καὶ ἰδία γέγονεν ἡ σάρξ. οὐκοῦν θεία μὲν, ὡς ἔφην, ἐστὶν, οὐ μὴν ἔτι καὶ εἰς φύσιν θεότητος μεταβαλεῖν ὑποτοπήσαι τις ἂν, εἴ γε νοῦν ἔχοι τὸν εὖ βεβηκότα καὶ δογματικῆς εὐτεχνίας ἐπιστήμονα. δεῖ γὰρ τῇ πάντων ἐπέκεινά τε καὶ ἀνωτάτω φύσει σώζεσθαι καθαρῶς τὸ ἁπλοῦν καὶ ἀσυμμιγὲς ἑτέρῳ, καὶ τὸ μὴ συντεθεῖσθαι δοκεῖν ἔν γε τοῖς καθ' ἑαυτὴν, ἤγουν προσθήκης δεδεῆσθαί τινος καὶ ἀσυμφυοῦς αὐτῇ πράγματος, εἰς κοινωνίαν ἐλθεῖν τὴν ἐν ταυτότητι φύσεως ἤγουν ὁμοουσιότητος. φέρε γὰρ ἐξετάσωμεν ἰσχνῷ διανοίας ὄμματι τῶν συγχεόντων τὴν δόξαν. τετράφθαι φασὶν οὐκ οἶδ' ὅπως εἰς ὁμοουσιότητα τὴν πρὸς Θεὸν Λόγον σάρκα αὐτοῦ· ἆρα διὰ ποίαν αἰτίαν; ἢ καὶ τίνος ὅλως εἰς τοῦτο αὐτὴν ἀποφέροντος; οἴκοθεν μὲν γὰρ ὁρμὰς εἰς τοῦτο αὐτὴν διακομιζούσας οὐκ ἔχει, καὶ ἐκ φυσικῶν κινημάτων ἐφέσεις δέχεσθαι τοιαύτας ἀσύνηθες αὐτῇ. λείπει δὴ λοιπὸν ἐκεῖνο εἰπεῖν, ὅτι τοῖς τοῦ Θεοῦ Λόγου νεύμασιν εἰς τοῦτο παρήχθη· ἆρ' οὖν ἀπόβλητον ἐποιήσατο τὴν οἰκονομίαν, ἣν δήπου παντὸς ἀξιώσας ὁρᾶται λόγου, διὰ τὴν ἐνοῦσαν αὐτῷ γαληνότητα καὶ τὸ τῷ φύσαντι δοκοῦν; ἔστι γὰρ ἀκοῦσαι λέγοντος ἐναργῶς διὰ τῆς τοῦ ψάλλοντος φωνῆς "Θυσίαν καὶ "προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα καὶ περὶ ἁμαρ-

Ps. xxxix. 7–9.

3. Partim citat Maius (Script. Vet. vii. 27) *κυρίλλου ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου*, praemittens, incipit *Ναὶ μὴν καὶ ἐξ οὐρανοῦ καταβεβηκέναι λέγεται καὶ* et verbis iisdem Nicephorus in Dom Pitra Spicil. Solesm. i. 365 et 485 necnon et cod. Bodleianus Misc. 184. fol. 105 (membr. sec. xiii.). *ἐκ τοῦ αὐτοῦ λόγου* b.c. qui incipiunt *ἐξ οὐρανοῦ καταβῆναι.* 5. *καταφοιτήσαντα* retinui ex b.c. *καταβάντα* Just. Mai. etc. 6. *ἡ* om. b.c. 7. *μεταβαλεῖν*] + *αὐτὴν* Just. *ὑποπτεύσοι* Mai sed *ὑποτοπήσοι* Pitra et Justin. et cod. Bodl. *ὑποτυπήσαι* (=*ὑποτοπήσαι*) codex unus semel in Pitra. 8. *ἔχοι* retinui ex b.c. cod. Bodl. *ἔχει* Just. etc. 9. *ἐπιστήμονα* desinit Maii citatio. 9–14. citatur in Maio (vii. 10 et 15) cod. Bodl. fol. 56 et 71. 9. *τε* om. Mai et Just. et cod. Bodl. 11. *ἑτέρῳ*] *τῷ ἑτέρῳ* Just. *συντεθεῖσθαι*] *συντίθεσθαι* b.c. 14. *ὁμοουσιότητα* cod. Bodl. (bis) *ὁμοουσιότητι* Maius (bis). 19. *διακομίζοντος* c.

“ τίας οὐκ ηὐδόκησας, σῶμα δὲ κατηρτίσω μοι· τότε εἶπον “ Ἰδοὺ ἥκω· ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ· τοῦ “ ποιῆσαι ὁ Θεὸς τὸ θέλημά σου ἐβουλήθην.” οὐκοῦν αἱ θυσίαι μὲν ἦσαν αἱ κατά γε φημὶ τὸν Μωύσεως νόμον ἀνεθέλητοι μὲν τῷ Πατρὶ, αἱρετὴ δὲ μᾶλλον ἡ τοῦ Λόγου σάρκωσις ἤγουν ἐνανθρώπησις, ἅτε δὴ τὴν διὰ πίστεως χάριν εἰσκομίζουσα τοῖς ὑπ' οὐρανὸν, φιλανθρωπίας τε καὶ ἡμερότητος θεοπρεποῦς καὶ τεθαυμασμένην ποιουμένης τὴν ἔνδειξιν. ποῖον ἂν ἔχοι λόγον τὸ φάναι τολμᾶν ὡς ἀπόβλητον ἐποιήσατο, καθάπερ ἔφην ἀρτίως, τὴν οὕτω σεπτὴν καὶ σωτήριον οἰκονομίαν, εἴπερ ἐστὶν ἀληθὲς ὡς ἀπέθετο τοῦ εἶναι σὰρξ, μεταβαλὼν αὐτὴν εἰς φύσιν θεότητος, καίτοι γέγραφεν ἐναργῶς ὁ πάνσοφος Παῦλος περὶ τοῦ ἁγίου σώματος αὐτοῦ “ Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς δύναται τοῖς πειραζομένοις Heb. ii. 18.
“ βοηθῆσαι.” εἰ δὲ τὸ ἐν ᾧ πέπονθεν ἀναιρήσομεν, συνοιχήσεται πάντως αὐτῷ καὶ τῆς δοθείσης ἡμῖν ἐπικουρίας ὁ τρόπος· τὸ γὰρ μεταφῦναι τὴν σάρκα λέγειν εἰς οὐσίαν θεότητος, ἀναιρούντων ἔστιν αὐτῆς τὸ εἶναι ὅ ἐστιν, οὗ παραδεχθέντος εἰς ἀλήθειαν, οὔτε σὰρξ ἔτι νοοῖτ' ἂν ἢ λέγοιτο, ἐπεὶ τί τὸ χρῆμα τῆς μεταβολῆς, εἰ μεμένηκεν ὅπερ ἦν; ποία τοίνυν ὄνησις τοῖς ἡμετέροις σώμασιν, ἢ ἀπό γε τοῦ μετασχεῖν τῆς μυστικῆς καὶ ἁγίας δωροφορίας; ἢ τί τὸ ἐντεῦθεν χρήσιμον; εἰ γὰρ μεταπλάττειν ἤθελεν αὐτὴν εἰς τὴν ἑαυτοῦ φύσιν ὁ ἑνωθεὶς αὐτῇ Λόγος, ἀνθ' ὅτου πρὸς ἡμᾶς εὑρίσκεται λέγων “ Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ ἐκ τοῦ οὐρανοῦ κατα- S. Joan. vi. 48, 33.
“ βὰς καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ Ib. 51.
“ δώσω ἡ σάρξ μου ἐστὶν ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ “ κόσμου ζωῆς,” καὶ πάλιν “ Ὁ τρώγων μου τὴν σάρκα Ib. 56.
“ καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ.” οὐκοῦν εἰ μεταπεφοίτηκεν ἡ σὰρξ εἰς ὅπερ οὐκ ἦν, τοῖς ὑπὲρ

1. εὐδόκησας b. 4. Μωυσέος b. 6. ἤγουν] + ἡ b. 7. τοῖς emendavi. favente et Maii versione. τῆς(?) b.c. 9. ἔχει c. 10. ἁμαρτίας (sic) pro ἀρτίως c. 11. ἀληθὲς] inc. b fol. 10. 13. ἀπόστολος pro πάνσοφος c. 15. ἂν pro εἰ δὲ c. συνηχήσεται (sic) b. 19. νοοῖτ' ἂν] νοοῖ τις ἂν c. 23. χρήσιμον] χρῆμα καὶ χρήσιμον c. 26. δὲ om. c.

φύσιν ἰδίαν ἐπιπηδήσασα ἤγουν ἀνακομισθεῖσα τῇ τοῦ Λόγου θελήσει, καιρὸς ὡς ἔοικε καὶ ἡμᾶς αὐτοὺς ἕτερον τρόπον ποιεῖσθαι τοῦ μυστηρίου τὴν δύναμιν, καὶ τοῖς αὐτοῦ δοκοῦσιν ἀκολουθεῖν.

δ'.

Οὐκοῦν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ὁμολογίαν ἔχεις, ἀφ' ἧς καὶ ἀληθινὴ ἡ πίστις. εἰ δὲ καθά φησιν οἱ δι' ἐναντίας, ἀπεδύσατο τὴν σάρκα, μεταβαλὼν αὐτὴν εἰς ἰδίαν φύσιν, ὁ ἑνωθεὶς αὐτῇ Λόγος, συμπεπαύσεται κατὰ τὸ εἰκὸς ἡ μεταβολὴ τῆς σαρκὸς καὶ τῆς σωτηριώδους πίστεως ἡμῶν ἡ ὁμολογία, συγκατέληξε δὲ πάντως αὐτῇ καὶ ἡ δι' αὐτῆς
Cf. 1 Cor. xv. 17. δικαίωσις, ἔτι ἐσμὲν "ἐν ταῖς ἁμαρτίαις" ἡμῶν καὶ ἀναπόβλητος ἡμῖν ἐστιν τῶν ἀρχαίων αἰτιαμάτων ὁ ῥύπος.

ε'.

Εἰ πέπαυται τοῦ καθ' ἡμᾶς εἶναι τουτέστιν ἄνθρωπος, μετὰ τοῦ καὶ ὑπὲρ ἡμᾶς θεϊκῶς, σεσάλευται τῆς σωτηρίας ἡμῶν ὁ θεμέλιος, ὑπενοστήσαμεν κατὰ τὸ εἰκὸς εἴς γε τὸ δεῖν τυραννεῖσθαι πάλιν θανάτῳ καὶ ἁμαρτίαις. ὥσπερ γὰρ οἰκίας τυχὸν ἢ τείχους τῶν κατωτάτων βάθρων σεσαλευμένων, συνιζήσει πάντως αὐτοῖς καὶ τὰ ἐπερηρεισμένα· οὕτω τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς οὐκ ἀραρότως ἐχούσης, συγκατεδονήθη πάντως τὰ καθ' ἡμᾶς καὶ κατηῤῥώστησε τὸ λοιπόν· καὶ τίνα τρόπον ἐροῦμεν· εἰ γὰρ εἰς φύσιν θεότητος μετατετράφθαι φασὶν τὴν τοῦ Λόγου σάρκα, πᾶσά πως ἀνάγκη νοεῖν ὡς ἀποπεφοίτηκεν ἀλλοτρόπως τοῦ εἶναι θέλειν υἱὸς ἀνθρώπου· εἶτα πῶς ὁ πάνσοφος Παῦλος

1. ἐπιδημήσασα c. 6. ἐκ τοῦ αὐτοῦ λόγου b.c. 13. ἡ ῥύπος τῶν ἀρχαίων αἰτιαμάτων c. 15. ἐκ τοῦ αὐτοῦ λόγου b.c. 19. οἰκίας om. b. 20. καὶ τὰ ἐπερηρεισμένα] κατὰ περιερηρισμένα c. 23. λοιπόν emendavi. λυποῦν b.c. 23–p. 483, 5. εἰ γὰρ—ἐν αὐτῷ citat Severus in Ep. secunda ad Sergium cod. Mus. Brit. add. 17154, fol. 23 v sub titulo ܩܘܪܝܠܘܣ ܡܢ ܡܐܡܪܐ ܕܠܘܩܒܠ ܣܘܢܘ̈ܣܝܣܛܐ *Cyrillus e libro contra Synousiastas.* 26. ὁ πάνσοφος] ἀπόστολος (ut supra) c.

“ Εἷς γὰρ Θεὸς, φησὶν, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, 1 Tim. ii. 5, 6. “ ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον “ ὑπὲρ” ἡμῶν. μεσιτεύει γὰρ ὡς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς, καταλλάττων ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ δι’ ἑαυτοῦ τε καὶ ἐν αὐτῷ, καὶ συνείρων ὥσπερ εἰς ἕνωσιν τὰ τοῖς τῆς φύσεως λόγοις ἀμέτρῳ διαφορᾷ πρὸς ἑτερότητα διενηνεγμένα, ἀλλ’ ἣν ἐν Χριστῷ συνδεδραμηκότα πρὸς ἕνωσιν ἀσύγχυτόν τε καὶ ἀδιάσπαστον. σύνηπται μὲν γὰρ θεϊκῶς τῷ Πατρὶ, συνήφθη δὲ καὶ ἡμῖν ἀνθρωπίνως. οὕτως νοεῖται καὶ ἔστι μεσίτης ἡμῶν ἄνθρωπος Ἰησοῦς Χριστός· εἰ δὲ γέγονεν ἀληθῶς ἀπόβλητος αὐτῷ, καθά φησιν, ἡ σὰρξ, ἀπέστη πάντως καὶ τοῦ μεσιτεύειν ἡμᾶς καὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα· πῶς οὖν ἔτι πρόσιμεν αὐτῷ, τίνος ἔτι προσάγοντος ἤγουν μεσιτεύοντος; ἄνθρωπον γὰρ εἶναι τὸν μεσίτην ὁ θεσπέσιος ἔφη Παῦλος· μεμνήμεθα δὲ καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ “ Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι’ S. Joan. xiv. 6. “ ἐμοῦ.” ὕθλος οὖν ἄρα καὶ ἀποπληξίας γέμοντες λόγοι, τὰ τῶν συνουσιαστῶν εὑρήματα.

ϛ′.

“ Ἆρά γε ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν S. Luc. xviii. 8. “ ἐπὶ τῆς γῆς;” φέρε γὰρ ἐρώμεθα τοὺς δι’ ἐναντίας, ὁποίαν ἄρα τὴν πίστιν παρά γε τοῖς οὖσιν ἐπὶ τῆς γῆς εὑρεθῆναι βούλεται καθιγμένος ἐξ οὐρανῶν ὁ υἱὸς τοῦ ἀνθρώπου· ἢ καὶ τίνα τρόπον ἡμᾶς πρέποι ἂν διακεῖσθαι περὶ αὐτοῦ· ἆρ’ ὡς ἀπέστη τοῦ εἶναι θέλειν υἱὸν ἀνθρώπου, ἤγουν ὅτι μεμένηκεν ὁμοιώσει τῇ πρὸς ἡμᾶς; καίτοι πῶς ἂν ἐνδοιάσειέ τις, ὡς εἴπερ ἦν ἀπᾶδον αὐτῷ τὸ ὑπάρχειν ἔτι νοεῖσθαι καθ’

2. *Jesus Christus* inverso ordine Syr. 4. δι’ αὐτοῦ b. 5. ἐν αὐτῷ] pergit *et post pauca* Καίτοι πῶς ut infra, lin. 26. 9. συνήφθαι (sic) c. 12. μετ’ αὐτοῦ pro ἑαυτοῦ c. 14. ὁ θεσπέσιος ἔφη] ἔφη ὁ c. 20. ἐκ τοῦ αὐτοῦ λόγου b.c. ἀνθρώπου] Θεοῦ (sic) c. 21. ἐρώμεθα] Ita Codex uterque. 22. παράγε] παράγεται (sic) c. 23. ἢ om. c. 24. πρέποι ἂν διακεῖσθαι emendavi. πρέπει ἂν διακεῖσθαι b, πρέπει ἐνδιακεῖσθαι c. 26–p. 484, 11 citat Severus in Ep. secunda ad Sergium supra cit. 27. εἴπερ] εἶπον c.

ἡμᾶς, πῶς ἦν ἀκόλουθον εἰπεῖν Ἆρά γε ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς, καὶ οὐχὶ δὴ μᾶλλον Ἆρά γε ἐλθὼν γυμνός τε καὶ ἄσαρκος ὁ τοῦ Θεοῦ Λόγος τοιαύτην ἐφ᾽ ἑαυτῷ τὴν πίστιν εὑρήσει παρὰ τοῖς ἐπὶ τῆς γῆς; ἐπειδὴ δὲ σαφῶς τε καὶ ἐναργῶς υἱὸν ἑαυτὸν ἀνθρώπου φησὶ καὶ κατά γε τὸν τῆς ἐξ οὐρανῶν ἀφίξεως καιρὸν, δῆλος ἂν εἴη δήπουθεν οὐ μεταβαλὼν εἰς ἕτερόν τι τὴν σάρκα, δεδοξασμένην δὲ μᾶλλον ἔχων αὐτὴν, ἄφθαρτόν τε καὶ ἄμωμον καὶ ἀπροσίτῳ φωτὶ διαπρέπουσαν· καταβήσεται γὰρ ἐξ οὐρανῶν, οὐκ ἔν γε τῇ πρώτῃ σμικροπρεπείᾳ· πόθεν; ܐܠܐ ܒܗ ܒܬܫܒܘܚܬܐ ܕܐܒܘܗܝ، ܥܡ ܡܠܐܟܐ ܩܕܝܫܐ..

Cf. 1 Tim. vi. 16.
S. Matth. xvi. 27.

ζ΄.

Εἰ μεταβαλούσης αὐτοῦ τῆς σαρκὸς εἰς τὴν τῆς θεότητος φύσιν, ἀπέστη τοῦ εἶναι καὶ υἱὸς ἀνθρώπου, σαφὲς ἂν γένοιτο παντὶ τὸ λοιπὸν ὅτι τῆς υἱοθεσίας τὸ καύχημα καὶ ἡμεῖς ἀποβεβλήκαμεν, ὡς οὐκ ἔχοντες ἔτι "πρωτότοκον ἐν πολλοῖς "ἀδελφοῖς."

Rom. viii. 29.

η΄.

Οὐκ εἰς φύσιν θεότητος τὴν ἀτρέπτως τε καὶ ἀσυγχύτως σάρκα μεταστοιχειώσας ὁρᾶται, δόξῃ δὲ μᾶλλον ἰδίᾳ καταφαιδρύνας αὐτὴν νοοῖτ᾽ ἂν εἰκότως καὶ θεοπρεπῶν ἐμπλήσας ἀξιωμάτων· οὕτω κατὰ καιροὺς ὀφθήσεται τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ὑπονοστήσας ἐξ οὐρανοῦ. καὶ γοῦν ὅτε τῆς μετὰ σαρκὸς οἰκονομίας διαπεράνας εὖ μάλα τὸ μυστήριον ἀναπεφοίτηκεν εἰς τὸν οὐρανὸν, εἰ καὶ κατὰ τὸ χρῆμα κατατεθήπεσαν οἱ τοῦτο θεασάμενοι· "Νεφέλη γὰρ ὑπέλαβεν αὐτὸν," καθὰ γέγραπται, τότε τοῖς τεθαυμακόσι προσπεφώνηκέ τις τῶν ἁγίων ἀγγέλων "Ἄνδρες γαλιλαῖοι, τί ἑστήκατε βλέ-

Acta SS. Ap. i. 9.
Ib. 11.

11. .. ܐܠܐ — ܩܕܝܫܐ = *sed in ipsa Patris sui gloria cum angelis sanctis* nobis suppeditat Severus. 13. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. 19. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. φύσιν] + τῆς c. 21. θεοπρεπῶς c. 25. καὶ om. c.

“ ποντες εἰς τὸν οὐρανόν ; οὗτος ὁ ἀναληφθεὶς ἀφʼ ὑμῶν εἰς “ τὸν οὐρανὸν οὕτως ἐλεύσεται πάλιν ὃν τρόπον ἐθεάσασθε “ αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.” ἆρʼ οὖν οἱ πρὸς οὓς ὁ λόγος, ἄσαρκον αὐτὸν τεθέανται Λόγον ἀναφοιτῶντα πρὸς τὸν Πατέρα ; ἤγουν ἀποβεβληκότα τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, καὶ οὐκ ὄντα μὲν ἐν ἁπτῷ τε καὶ ὁρατῷ σώματι, μετεσκευασμένον δὲ μᾶλλον εἰς ἀναφῆ τε καὶ ἀόρατον ; εἶτα τίς ὁ φάναι τοῦτο τολμῶν ; εἰ δὲ οὕτως ἐλεύσεται καθὰ καὶ ἀνέβη, πῶς οὐκ ἀληθὲς εἰπεῖν ὡς ἥξει δὴ πάλιν ἐνσώματος καὶ οὐ γυμνὸς καὶ ἄσαρκος Λόγος ;

θʹ.

Γέγραφε περὶ Χριστοῦ ὁ πάνσοφος Παῦλος “ Ὃς μετα- Phil. iii. 21.
“ σχηματίσειε τὸ σῶμα τῆς ταπεινώσεως ἡμῖν σύμμορφον “ τῷ σώματι τῆς δόξης αὐτοῦ.” εἶτα τί πρὸς τοῦτο φαῖεν ἂν οἱ μεταβαλεῖν λέγοντες εἰς τὴν τοῦ Λόγου φύσιν τὴν σάρκα αὐτοῦ ; ἆρα καὶ τὰ τῶν ἁγίων σώματα μετοιχήσονται κατὰ τροπὴν εἰς φύσιν θεότητος ἵνα καὶ σύμμορφα γενήσεται τῷ σώματι τῆς δόξης αὐτοῦ ; καίτοι πῶς οὐ ψυχρολογία αὕτη τῆς ἐσχάτης ἀμαθίας ἔμπλεως ; μεταβαλούσης γὰρ ὅλως, καθά φησι, τῆς σαρκὸς εἰς φύσιν θεότητος, ποίῳ γε χρήσεται σώματι Θεὸς ὢν ὁ Λόγος ; ἀσώματον γάρ τι χρῆμα θεότης, καὶ ἀληθὲς ὅτι “ Θεὸν οὐδεὶς ἑώρακε πώποτε.” S. Joan. i. 18.

ιʹ.

Ἀλλʼ ἴσως ἐροῦσιν οὐκ ἀποφοιτῆσαι μὲν ὁλοτρόπως τὴν σάρκα τοῦ εἶναι ὃ ἦν, ἀνακραθῆναι δὲ ὥσπερ τῷ Θεῷ Λόγῳ πρὸς ἑνότητα φυσικήν. καὶ τί πρὸς τοῦτό φαμεν ; Μάλιστα μὲν, ὦ οὗτοι, πάμπολυ τὸ ἀμήχανον, ἀῤῥωστήσειε δʼ ἂν ὁ

1. εἰς τὸν οὐρανὸν alt. om. b. 9. δὴ om. c. 12. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. μετασχηματίσειε] Ita b.c. 13. ἡμῖν] Ita b.c. 17. σύμμορφοι γενήσονται c. 20. φασι b, sed φησι retinui e c, pro more dictionis S. Cyrilli. γε χρήσεται non κεχρήσεται codices. 21. χρῆμα] inc. b fol. 11. 24. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. 26. μάλιστα μὲν om. c.

ἐπὶ τῷδε λόγος, εἰ τὸ ἀτρέπτως εἶναι καὶ ὑπάρχειν ἀμεταβλήτως τῇ τοῦ Λόγου φύσει τηρεῖν ἐγνώκατε· μεταβάλοι γὰρ ἂν ἥκιστά γε πρὸς ὅπερ οὐκ ἦν· ἤγουν σεσάλευται τοῦτο παθὼν τῆς θεοπρεποῦς ἑδραιότητος καὶ τῆς ἐνούσης αὐτῷ κατὰ φύσιν ἀσφαλείας, ἢ καὶ ὅπως ἂν ὀνομάσειέ τις· οἶμαι δὲ εἶναι σοφὸν καὶ τὸ δὴ δεῖν κατ' οὐδένα δύνασθαι τρόπον ἐννοεῖν εἰς τὴν τῆς θεότητος φύσιν ἀναμεῖναί τι τῶν γεγονότων· ἀμήχανον γὰρ ὁμοίως καὶ τοῦτο. πλὴν εἰ εὐποροῦσι παραδειγμάτων ἀναπεῖσαι δυναμένων ὡς ἐν συγκράσει καὶ μίξει τῶν ὠνομασμένων τὸ ἑκατέρῳ προσὸν ἰδίωμα τῆς ἑτέρου ποιότητος ἀμέτοχον ἔσται παντελῶς, παρακομιζόντων εἰς μέσον· ἀδικῆσαι γὰρ τοῦτό φαμεν τὸ σύμπαν οὐδὲν τῆς ἀληθείας τὴν δύναμιν τὸ τῆς συγκράσεως ὄνομα. εἰ δὲ ὡς ἐν τάξει τῶν ὑγρῶν ἀναμεμίχθαι φασὶν ἀλλήλοις σάρκα τε καὶ Λόγον, πῶς ἠγνόησαν ὅτι τὰ ἀλλήλοις ἀνακιρνάμενα τῶν ὑγρῶν, οἶνος φέρε εἰπεῖν καὶ μέλι, ὃ μὲν ἦσαν εἰσὶ καθαρῶς οὐκέτι, προσλήψει δὲ μᾶλλον τῆς ἑτεροειδοῦς ποιότητος εἰς ἕτερόν τι μεθίσταται. οὐκοῦν εἰ συγκεκράσθαι φασὶ τῷ Λόγῳ τὴν σάρκα πᾶσά πως ἀνάγκη λέγειν ἑκάτερον τῶν ὠνομασμένων ἀποστῆναι μὲν τοῦ εἶναι ὃ ἦν, ἓν δέ τι τὸ ἐξ ἀμφοῖν ἀποτελέσαι μέσον ἑτεροφυές που πάντως ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος καὶ ἀσυμμιγὲς ὂν ἔτι θατέρῳ θάτερον· εἶτα ποῖον ἂν ἔχοι τὸ χρῆμα λόγον; πυθοίμην δ' ἂν ἥδιστα τῶν δι' ἐναντίας ὁποιποτὲ ἄρα προελθεῖν ἐπειδή φασι τὴν τοῦ Θεοῦ φύσιν ὡς ἀπό γε τοῦ νῦν κεκράσθαι σαρκί· ἐν ταυτότητι γὰρ οὐ μεμένηκεν, εἴπερ ἐστὶν ἀληθὲς ὥσπερ εἴρηται τοῦτο αὐτῶν ἡ μίξις· ἢ τοίνυν πρὸς τὰ βελτίω τὴν ἐπίδοσιν ἔχειν ἐροῦσιν αὐτὸν, ἤγουν τὴν εἰς τὰ αἰσχίω κάθεσιν κατά γε τὸν ἐοικότα τοῖς πράγμασι νοῦν. εἰ

2. μεταβάλει c. 10. τὸ emendavi. τῷ(?) b.c. προσὸν] πρὸς ἓν c. 13–22. εἰ δὲ — μέρος citat Justinianus Imperator contra Monophysitas (Maii Script. Vet. vii. 295). 14. τῶν om. Just. 15. ἀνακιρνάμεν (sic) b. 16. ὃ μὲν ἦσαν εἰσὶ Just. ὁ μὲν εἷς ἄνεισι b.c. 19. πᾶσαν (sic) c. 20. μὲν om. c. 21. που πάντως Just. τοῦ παντὸς b.c. 22. ἦν] οὖν (sic) c. 23. πειθοίμην c. 27. αὐτὸν b. ἢ b. εἰ c. 29. πράγμασιν οὖν (sic) b.

μὲν οὖν ἀπεφάνθαι φασὶν αὐτὸν ἑαυτοῦ κρείττονα, τὴν ἀμείνω ψῆφον ἐκνενομίκασι τῇ σαρκὶ δι' ἣν ἐπὶ τὸ ὑπερκείμενον ἀναπηδήσας ὁρᾶται. εἰ δὲ τοῦτο μὲν οὐχὶ, καθίκεσθαι δὲ μᾶλλον ἐπὶ τὸ μεῖον, ἠδίκησεν ἄρα καὶ αὐτὸν ἡ σὰρξ καθὰ καὶ ἡμᾶς αὐτοὺς, καίτοι καθεῖναί φαμεν ἑαυτὸν εἰς κένωσιν καὶ τὴν καθ' ἡμᾶς ὁμοίωσιν ὑπελθεῖν οὐχ ἵνα τι παθὼν αὐτὸς εἰς ἰδίαν ὁρῷτο φύσιν, ἀλλ' ἵν' ἡμᾶς τοὺς ἐν σαρκὶ καὶ αἵματι σαρκὸς ἀποφήνῃ κρείττονας καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων ἐπέκεινα εἰς υἱοὺς ἀποφήνῃ Θεοῦ. εἰ δὲ καθά φασιν οἱ διεστραμμένοι συγκέκραται τῇ σαρκὶ, παρενεχθεὶς εἰς ὅπερ οὐκ ἦν, πῶς οὐκ ἠδικῆσθαί φασιν αὐτὸν ἐννοεῖν, οὐκ ἔχων τάχα που καὶ αὐτὸ τὸ εἶναι μορφὴ τοῦ Πατρός; εἰκών τε καὶ "χαρακτὴρ τῆς ὑποστάσεως "αὐτοῦ" προσαποβαλὼν εὑρίσκεται, καὶ ἐν ἰσότητι μὲν οὐκ ἔτι τῇ πρὸς αὐτὸν, ἐν ὑφέσει δὲ μᾶλλον καὶ ὑποβιβασμῷ φύσεώς τε καὶ δόξης.

Heb. i. 3.

ιαʹ.

Ἦν μὲν οὖν χαλεπὸν οὐδὲν, πλεῖστά τε ὅσα καὶ ἀπηχῆ τοῖς εἰρημένοις ἐπενεγκεῖν· χρῆναι δὲ οἶμαι τῶν εἰς ἀτοπίαν ἐννοιῶν ἀποφέρεσθαι φιλεῖν. παραιτητέον οὖν ἄρα τὴν σύγκρασιν, παρελάσομεν γὰρ οὕτω καὶ τὰ ἐντεῦθεν βλάβη. παρεισκρίνεται δέ τις καὶ ἕτερος αὐτοῖς, καθά φησιν, περὶ τούτων λόγος. ὁ γάρ τοι θεσπέσιος Παῦλος εὑρίσκεται γεγραφὼς "Εἰ δὲ "καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν ἀλλὰ νῦν οὐκέτι γινώ-"σκομεν." οὐκοῦν εἰ μὴ κατὰ σάρκα Χριστὸν γινώσκετε, φασὶν, μεταβάλλειν ἀνάγκη τὴν σάρκα λέγειν, ὡς τὴν ἑαυτοῦ τοῦ Λόγου φύσιν εἶναι ὡς Θεὸς γινώσκεται. φαίη δ' ἂν οἶμαί τις πρὸς τοῦτο εὐθύς Ἆρ' οὖν ἡνίκα ἂν λέγῃ καὶ περὶ ἡμῶν "Οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· "ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι," γυμνοὺς

2 Cor. v. 16.

Rom. viii. 8, 9.

4. δὲ om. c. 10. φασιν emendavi. φησιν b.c. 11. παρενεχθεὶς εἰς emendavi. παρενεχθείσης b.c. 18. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. 21. ἐνταῦθα c. παρακρίνεται c. 22. φασι b. 25. γινώσκετε] ita b.c. 26. ὡς] εἰς b.c.

ἡμᾶς οἶδεν ὄντας σαρκὸς καὶ αἵματος; ἆρα πνεύμασιν ἀσωμάτοις τὰ τοιάδε προσλαλεῖ; καίτοι πῶς οὐ τερθρείαν τοῦτό γε νοεῖν ἢ φράσαι; οὐκοῦν ἐφ' ἡμῶν μὲν σάρκα φησὶ τὰ τῆς σαρκὸς ἔκτοπά τε καὶ οὐκ ἀνεπίπληκτα πάθη· ἐπὶ δέ γε τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, πανάγνου τε ὄντος καὶ
1 S. Pet. ii. 22. τὸ πλημμελεῖν οὐκ εἰδότος· "Οὐ γὰρ ἐποίησεν ἁμαρτίαν·" ἑτεροτρόπως ἂν τό Κατὰ σάρκα νοεῖσθαι πρέπει, οὐ γάρ ἐστιν ἐν ἀσθενείαις ἔτι σαρκικαῖς.

ιβ'.

Νενήστευκε γοῦν καὶ ἐπείνασε καὶ κέκμηκεν ἐκ μακρᾶς ὁδοιπορίας, ἔτι τε πρὸς τούτοις ἐσταυρώθη τε καὶ ἀπέθανε· συνδέδωκε δὲ ταῦτα παθεῖν αὐτὸν οὐ φύσει θεότητος· πέρα γὰρ τοῦ παθεῖν ἡ θεία τε καὶ ὑπερτάτη φύσις νοεῖται· ἀλλ' ἰδίᾳ μᾶλλον σαρκί· ἐπειδὴ δὲ ἀνεβίω πατήσας τὸν θάνατον, ἀναστοιχειώσας τε τὴν ἀνθρώπου φύσιν ἐν ἑαυτῷ πρὸς ἀφθαρσίαν καὶ ζωὴν, καὶ σαρκικῆς ἀσθενείας εἰσάπαν ἠμοιρηκὼς ὁρᾶται λοιπόν· ταύτητοι καὶ μάλα εἰκὸς, οὐκέτι κατὰ σάρκα γινώσκεσθαί φησιν αὐτὸν, τουτέστιν ἐν σαρκικαῖς ἀσθενείαις, ὁ τῶν αὐτοῦ μυστηρίων ἱερουργός.

ιγ'.

Γευσάμενος δὲ τοῦ θανάτου σαρκὶ δι' ἡμᾶς, ἀνέβη πάλιν ἐνσώματος, καὶ γοῦν αὐτὸ δὴ τουτὶ τοῖς Ἰουδαίων
S. Joan. ii. 19. δήμοις προκαταμεμήνυκε λέγων "Λύσατε τὸν ναὸν τοῦτον, "καὶ ἐν τρίσιν ἡμέραις ἐγερῶ αὐτόν." ἐγήγερται γὰρ τὸ λυθὲν, λελύσθαι γεμὴν τὴν σάρκα φαμὲν καὶ οὐ τὴν τοῦ Λόγου φύσιν· ἀμήχανον γάρ.

2. legendum ut vid. τερθρεία. 10. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. γοῦν] γὰρ c. 12. αὐτὸν] ita b.c. πέρα γὰρ] παρά γε(?) c. 14. ἐπεὶ δὲ c. 18. σαρκικαῖς] σαρκὶ καὶ c. 21. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c.

ιδʹ.

Αὐτοῦ τοιγαροῦν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ πληροφοροῦντος τοὺς ἀποστόλους, ὡς ἐκ νεκρῶν ἀνεβίω, σάρκα τε καὶ πόδας καὶ χεῖρας ἔχων, διειπόντος τε σαφῶς ὅτι μὴ πνεῦμά ἐστι, πῶς ἂν ἐνδοιάσειέ τις ὡς οὐ μετέβαλεν ἡ σὰρξ εἰς φύσιν θεότητος, οὔτε πρὸ τοῦ τιμίου σταυροῦ· σαρκὶ γὰρ πέπονθεν ἑκών· οὔτε μὴν ὅτε πατήσας τὸν θάνατον τριήμερος ἀνεβίω, ὤφθη τε οὕτως τοῖς ἑαυτοῦ μαθηταῖς ;

ιεʹ.

Τίς τῶν ἁγίων προφητῶν τὰ οὕτως σκληρὰ καὶ δυσέφικτα καὶ ἀμήχανα προαναφωνήσας ὁρᾶται ; τίς τῶν ἁγίων ἀποστόλων ἢ εὐαγγελιστῶν τοὺς περί γε τούτων αὐτοῖς ἐποιήσατο λόγους ; οὐδεὶς παντελῶς. αἰσχυνέσθωσαν τοίνυν τὰ "ἀπὸ καρδίας αὐτῶν λαλοῦντες καὶ οὐκ ἀπὸ στόματος Hier. xxiii. 16.
"Κυρίου" καθὰ γέγραπται. ἡμεῖς γὰρ οἷς ὀρθότητος μέλει, καὶ διὰ σπουδῆς τέθειται πολλῆς, τὸ ταῖς τῶν ἁγίων Πατέρων εὐθυεπείαις ἐπείγεσθαι κατακολουθεῖν, οὐ ταῖς τινῶν ἀθυροστομίαις καὶ ἀσυνέτοις κενοφωνίαις προσκείμενοι, φρονήσομεν "παρ' ὃ δεῖ φρονεῖν," ἀλλ' εὐθὺ τῆς ἀληθείας Rom. xii. 3.
ἰόντες πανταχοῦ, καὶ τῶν ἱερῶν γραμμάτων ἐπίμεστον ἔχοντες τὸν νοῦν, καὶ ἐψυχῶσθαί φαμεν ψυχῇ νοερᾷ τοῦ Κυρίου τὴν σάρκα καὶ πιστεύομεν αὐτὴν θείαν μὲν εἶναι καὶ ἀμώμητον καὶ δεδοξασμένην, καὶ πρός γε τούτῳ ζωοποιόν τε καὶ ἁγιαστικήν, ἅτε δὴ καὶ ἰδίαν γενομένην τοῦ ἐκ Θεοῦ Πατρὸς ὄντος Λόγου καὶ οὐχ ἑτέρου τινὸς παρ' αὐτοῦ Υἱοῦ καθὰ φρονεῖν ἔδοξέ τισιν, οὐ μὴν ἔτι καὶ μεταβαλεῖν εἰς φύσιν θεότητος διαβεβαιούμεθα.

2. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου b.c. 5. μετέβαλεν (λ suprascr.) b. 10. ἐκ τοῦ αὐτοῦ λόγου b.c. 11. ἁγίων om. c. 15. μέλει emendavi. μέλλει b.c. 16. τέθηται c. 17. ἐπείγεσθαι] + καὶ c. 19. δὴ c. 23. τοῦτο c.

ιϛ'.

ܕܩܕܝܫܐ ܩܘܪܝܠܠܘܣ ܡܢ ܡܐܡܪܐ ܕܠܘܩܒܠ ܒܟ̈ܠ ܟܝܢ̈ܐ.
ܟܕ ܡܛܠ ܕܝܘܕܘܪܘܣ ܘܬܐܕܘܪܘܣ ܐܡܪ ܗܟܢܐ.

ܐܠܐ ܟܕ ܐܡܪ ܕܝܢ ܗܠܝܢ ܐܚܪ̈ܢ ܐܢܫ̇ ܡܫܝܚܐ ܗܟܝܠ: ܐܢ ܗܘ ܕܟܕ ܡܬܚ̈ܫܒܝܢ ܥܡ ܐܢ̈ܫܝܢ ܡܢ ܗܪ̈ܛܝܩܘ. ܐܘ ܠܘܩܒܠ ܗܢܘܢ ܟ̈ܠ ܟܝܢ̈ܐ ܡܚܘ. ܬܫܡܫܬܐ ܥܒܝܕܬܐ ܥܒܕܘ. ܡܢ ܗ̇ܝ ܕܙܕܩ ܗܘܐ ܕܬܗܘܐ· ܦܓܪ ܐܢܫܐ ܕܐܬܡܪ ܐܢܫ. ܕܐܢ ܗܘ ܕܒܝܕܐ ܡܠܬܐ ܐܬܘܗܝ ܒܗܘܢܐ. ܕܫܒܘ̈ܩܐ ܢܗܘܘܢ ܗܢܘܢ ܕܫܡܥܝܢ. ܠܐ ܙܘܥܐ ܡܢ ܗܢ ܕܦܠܓܐ. ܗ̇ܢ ܕܝܢ ܕܟܠܠܐ ܡܕܡ ܢܦܩܘܢ ܐܝܬ ܐܚܪ̇ܬܝ: ܘܠܘ ܟܕ ܢܩܦܝܢ: ܗܢܘܢ ܕܠܦܠܓܘܬܐ ܘܫܘܬܦܘܬܐ ܕܬܐܘ̈ܪܝܣ ܐܬܦܢܝܘ. ܐܝܬ ܠܗܘܢ ܓܠܝܬܐ ܒܐܝܬܐ ܠܚܟܡ ܒܪܘܚܐ. ܐܢ ܕܝܢ ܒܬܫ̈ܥܝܬܐ ܗܢܝܐ ܐܪ̈ܥܢܝܬܐ: ܘܒܟܠܗܝܢ ܐܝܟ ܕܠܡܐܡܪ ܡܬܚ̈ܫܒܢܘܬܐ ܕܠܗܘܢ: ܐܝܟ ܕܒܢ̈ܝܫܐ ܥܠ ܥܪ̈ܙܐ ܫܟܚܘ. ܟܕ ܬܩ̈ܢܝܢ ܒܢ̈ܝܢܐ ܡܗܝܡܢ ܒܟܠܗܘܢ. ܐܝܕܐ ܡܠܬܐ ܬܦܫܘܩ ܠܗܘܢ.

ιζ'.

ܗܠܝܢ ܡ̈ܠܐ ܕܩܕܝܫܐ ܩܘܪܝܠܠܘܣ. ܒܡܐܡܪܐ ܕܠܘܩܒܠ ܒܟ̈ܠ ܟܝܢ̈ܐ ܗܟܢܐ.

ܟܕ ܗܘܢܐ ܕܗܝܡܢܘܬܐ ܦܪܝܫܬܐ ܘܠܐ ܡܬܒܠܬܐ.

2. Ita collectio testimoniorum Syriace Cod. Mus. Brit. add. 14532 [quem d signavi], fol. 187, 12155 [quem k signavi], fol. 99; exstat et in Severo contra Joan. Gramm. § 27, cod. 12157 [quem g signavi], fol. 132, sub titulo ܕܩܕܝܫܐ ... ܩܘܪܝܠܠܘܣ ܕܠܘܩܒܠ ܕܝܘܕܘܪܘܣ ܘܬܐܕܘܪܘܣ ܒܡܐܡܪܐ ܗܘ̇ ܕܠܘܩܒܠ ܒܟ̈ܠ ܐܘܣ̈ܝܣ ܟܬܒ ܗܟܢܐ i. e. *S. Cyrillus qui contra Diodorum et Theodorum in libro contra confundentes essentias ita scripsit.* 2. ܟ̈ܠ k. 3. ܘܬܐܘܕܘܪܘܣ k. 6. ܗܢܘܢ ܕܡܬܦܢܝܢ ܒܟ̈ܠ ܐܘܣ̈ܝܣ ܡܚܘ g. ܥܒܝܕܬܐ prius scripsit d. ܥܒܕܘ] + ܬܢܢ g. ܗܪܟܐ ܟܕ ܬܪܝܨܘ ܗܝ ܕܠܘܬܗ ܚܝܪܝܢ ܗܘܘ: ܠܐ ܐܝܨܦܘ ܕܗ̈ܝ ܐܚܪ̈ܢܝܬܐ i. e. *hic cum dirigant id ad quod spectant, nullam de reliquis curam habent* in mg. exhibet d. 8. ܗܘ] + ܡܢ g. 11. ܘܫܘܬܦܘܬܐ g. 12. ܐܝܬ] + ܗܘ g. ܐܝܢܕܝܢ ܒܦܬ̈ܟܪܐ ܗܢܝܐ ܐܪ̈ܥܢܝܬܐ g. 14. ܕܠܗܘܢ: ܒܟܠܗܝܢ ܓܘܢ̈ܐ ܠܘܩܒܠ ܥܪ̈ܙܐ ܐܬܘ ܟܕ g.
18. e collectione supradicta, codice autem 14533 [quem e signavi], fol. 4 v.

ܠܬܠܬܐ ܩܢܘ̈ܡܐ ܐܡܪ ܒܪܘܫܐ ܡܡܠܠܝܢ. ܐܡܪܝܢ ܚܢܢ. ܕܟܕ ܗܘ̣ܐ ܠܗ ܒܡܒܪܐ ܡܠܬܐ ܚܫܝܫܐ ܕܐܠܗܐ. ܠܐ ܫܢܐ ܡܢ ܗܘ̇ ܕܗܘܐ ܐܝܬܘܗܝ̣، ܘܡܬܐܡܪ: ܒܗ ܗܘ̇ ܕܐܠܗܐ ܥܢܝܢܐ ܐܦ ܒܪܗ ܕܐܢܫܐ: ܘܠܐ ܬܘܒ ܠܒܢܝܢܐ ܕܐܠܗܘܬܐ ܡܬܝܚܐ ܕܢܣܒ ܠܒܣܪܐ: ܗܘ̇ ܕܕܠܐ ܫܘܚܠܦܐ ܘܕܠܐ ܒܘܠܒܠܐ ܐܬܝܚܕ ܠܗ. ܕܒܫܘܒܚܐ ܕܠܗ ܗܕܪܗ ܟ̈ܠܗ. ܒܐܒܐ ܠܒܪܐ. ܘܕܡܠܝܗ̇، ܡܢ ܫܘ̈ܠܚܐ ܦܐܝ̈ ܠܐܠܗܐ. ܗܒܢܐ ܠܒܪܢܫܐ ܡܬܝܚܐ ܠܫܘܒܚܐ ܕܟܠܗ ܐܪ̈ܒܥܐ: ܟܕ ܐܬܬܐ ܡܢ ܫܡܝܐ. ⁘ .

FRAGMENTA CONTRA DIODORUM TARSENSEM EPISCOPUM.

ΤΟΥ ΑΥΤΟΥ

ΚΥΡΙΛΛΟΥ

Ἐκ τοῦ λόγου τοῦ κατὰ Διοδώρου ἐπισκόπου Ταρσῶν

Οὗ ἡ ἀρχή

α΄.

ΠΡΟΤΕΤΑΞΕΤΑΙ *μὲν τῆς ἀληθείας οὐδὲν παρά γε τοῖς ἀγαπῶσιν αὐτὴν καὶ εὖ εἰδόσι λαλεῖν τὰ περὶ αὐτῆς.*

ܕܠܗ ܗܘ ܗܠܝܢ ܕܠܘܬ ܕܝܘܕܘܪܘܣ ܘܬܐܕܘܪܘܣ ܗܦ ܪܒܗ ܕܡܣܟܐܢܪܐ.

ܡܬܬܩܕܡ ܗܿܝ ܡܕܡ ܫܪܪܐ ܘܠܐ ܡܕܡ ܠܘܬ ܗܢܘܢ ܕܪܚܡܝܢ ܠܗܿ. ܘܫܦܝܪ ܝܕܥܝܢ ܕܢܡܠܠܘܢ ܗܠܝܢ ܕܡܛܠܬܗܿ. ܗܕܐ ܕܝܢ ܐܡܪܬ ܐܝܟ ܠܗܢܘܢ ܕܡܗܝܡܢܐ ܐܝܬ ܠܗܘܢ ܒܬܪܥܝܬܗܘܢ: ܘܐܬܗܦܟܘ ܕܬܪܝܨܐܝܬ ܢܪܕܘܢ ܒܫ̈ܘܠܦܐ ܒܗ̈ܝܡܢܐ ܕܥܕܬܐ. ܘܕܠܐ ܡܢܟܝܐܝܬ ܢܬܬܚܫܒܘܢ ܠܘܬ ܐܢ̈ܫܝܢ ܕܬܪ̈ܝܨܬܐ ܡܬܪ̈ܥܝܢ ܘܡܡܠܠܝܢ. ܘܠܐ ܬܘܒ ܒܙ. ܡܬܬܚܙܝܢ ܒܒܘܚܢܐ ܘܢܘܚܡܬܐ· ܢܫܠܡܘܢ ܠܗܘܢ ܕܠܘ ܠܐ ܒܕܠܐܝܬ ܒܬܪܥܝܢ.

Codices b.c. (ut supra). Latine Mai. ii. 451, 452. [Migne ix. 1435 sqq.] 4, 6, 8, 9. Haec exhibet b. Scholion haud parvum e libri hujus initio Syriace exhibet collectio saepe ante citata (cod. add 14532 fol. 135 v, quem d signavi, 14533 fol. 37 v, quem e signavi), verba hic exhibita continens. 10. ܕܕܝܘܕܘܪܘܣ ܘܬܐܘܕܘܪܘܣ e. 16. ܕܬܪܝܨܐܝܬ c.

ܐܝܟܢܐ ܕܠܐ ܬܬܟܣܣܘܢ ܕܐܡܪܝܢ ܠܚܫܘܟܐ ܢܘܗܪܐ ܘܠܢܘܗܪܐ Es. v. 20.
ܚܫܘܟܐ. ܠܚܠܝܐ ܡܪܝܪܐ ܘܠܡܪܝܪܐ ܚܠܝܐ. ܘܫܩܠܝܢ ܕܝܢ
ܠܢܘܗܪܐ ܚܫܘܟܐ ܘܠܚܫܘܟܐ ܢܘܗܪܐ. ܟܕ ܡܩܒܠܝܢ ܕܝܢ
ܟܠܗܘܢ ܗܘ̈ ܕܠܡܫܘܚܬܐ ܐܠܗܝܐ ܫܦܝܪܐ. ܕܢܒܥܐ ܠܢ ܒܪ Zach. vii. 9.
ܬܪܝܨܐ ܕܘܢܘ. ܫܦܝܪܐ ܕܝܢ ܐܦ ܠܫܠܝܚܐ ܦܘܠܘܣ.
ܕܡܒܩ̈ܝܢܐ ܫ̈ܒܝܠܐ ܢܗܘܐ ܕܒܘܠܡܕܡ ܒܟܠ. ܐܝܟܢܐ 1 Thess. v. 21.
ܕܢܦܩܘܠ ܡܢ ܗܘ ܕܡܬܐܪ. ܢܬܪܫܡ ܕܝܢ ܡܢ ܗܘ ܕܠܘ ܕܐܝܟ
ܗܟܢ. ܐܦ ܠܢ ܡܢ ܗܠܝܢ ܥܒܝܕܬܐ ܐܬܬܗ: ܕܫܘܬܐ ܡܢ
ܠܐ ܡܠܠܬܐ ܒܡܫܘܚܬܐ ܡܕܡ ܒܢܝܢܐ ܢܬܐܡܪ. ܠܘܬ ܗܘ
ܕܫܦܝܪ ܐܡܝܢ ܘܗܘ ܕܡܫܒܚܐ ܕܬܘܬܪ ܘܗܘ ܕܠܐ. ܐܝܟܢܐ
ܕܡܬܐܟܠܢܫܬܐ ܡܢ ܬܚܒܫ ܗܠܝܢ ܕܒܡܕܒܪܐ ܕܠܝܬ ܒܗܘܢ
ܡܕܡ ܕܡܚܝܒ. ܢܥܩܘܢ ܕܝܢ ܠܐܝܠܝܢ ܕܢܚܝܢܐ ܬܚܒܫ ܒܗܘܢ:
ܚܢܢ ܕܝܢ ܒܫܘܒܚܐ ܕܡܫܪ ܗܘܢܐ ܘܡܠܬܐ ܕܦܐܝܐ: ܫܠܝܚܐ
ܗܘ ܠܢ ܒܝܢܐ: ܘܕܡܫܡܠܝܐܝܬ ܐܝܬ ܠܗ ܠܘܬ ܗܘ ܕܢܫܡܫ
ܕܫܦܝܪܐܝܬ ܢܚܘܐ ܟܠ ܚܕ ܡܢ ܗܘܦܟܐ: ܕܠܘ ܟܕ ܫܠܝܐ
ܕܗܠܝܢ ܕܡܬܬܟܬܒܢ ܐܘ ܒܝܬ ܡܬܬܠܠܢ: ܬܪܝܨܐܝܬ ܒܢܝܢ
ܚܢ ܘܠܐ ܡܣܬܠܩܢܝܬ. ܕܢܒܥܐ ܡܢ ܠܡܘܠܡܐ ܗܠܝܢ ܕܠܐ
ܒܕܡܠܝܐܝܬ ܐܝܬ ܠܗܝܢ: ܢܫܬܠܐ ܕܝܢ ܡܢ ܒܗܠܝܢ ܘܠܗܝܢ ܗܠܝܢ
ܕܫܦܝܪܐܝܬ ܐܡܪܝܢ ܘܠܒܪ ܡܢ ܡܘܠܦܢܐ ܕܫܪܝܪܐ ܢܦܩܝܢ ܀

β΄.

Καίτοι πῶς οὐ μᾶλλον ἐχρῆν τὴν ἑτερότητα τῶν ἰδιωμάτων καταδεῖξαι βεβουλημένον, σαρκός τε φημὶ καὶ θεότητος, δι᾽ ὧν ἦν εἰκὸς ἐννοιῶν τε καὶ λόγων ἐπ᾽ αὐτὸ δὴ τοῦτο χωρεῖν· οὐ γὰρ ταὐτὸν τό γε ἧκον εἰς ποιότητά φημι τὴν ἐνοῦσαν ἑκατέρῳ τῶν ὠνομασμένων, σῶμά τε καὶ ἀσώματον, ἡ ἐξ ἀνθρωπίνου φυράματος ληφθεῖσα σὰρξ καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς ἀναλάμψας Λόγος. πλὴν οὐ ταύτης ἕνεκα τῆς αἰτίας διαιρετέον εἰς δύο χριστοὺς καὶ υἱοὺς τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν.

3. ܡܩܒܠܝܢ e. 6. ܕܒܘܠܡܕܡ e. 9. ܢܬܐܡܪ. e.
12. ܕܢܚܝܢܐ e. ܒܗܘܢ e. 13. ܐܢܫܝܢ e. 14. ܘܕܡܫܡܠܝܐܝܬ e.
16. ܒܢܝܢ e. 17. ܕܢܒܥܐ e. 18. ܠܗܝܢ e.

γʹ.

Ὅτι δὲ καὶ ἐψυχῶσθαί φαμεν ψυχῇ νοερᾷ τοῦ Κυρίου τὴν σάρκα, πλεισταχοῦ μὲν εἴρηται πρὸς ἡμῶν, διαβεβαιούμεθα δὲ καὶ νῦν οὐχ ἑτέρως ἔχειν.

δʹ.

Ἀκουέτω δὴ καὶ πρὸς ἡμῶν ὁ Διόδωρος Εἰ δὴ σάρκα λέγεις ὃν δὴ Ναζωραῖον ἤγουν ἄνθρωπον ἀναληφθέντα καλεῖς, δεῖξον ἡμῖν σεαυτὸν περιστολῆς ἁπάσης καὶ προσωπείου δίχα, εἰπὲ δὴ σαφῶς ἃ φρονεῖν ἀξιοῖς καὶ μὴ ὡς ἄψυχον ἁπλῶς ὀνομάζων σάρκα, πειρῶ συναρπάζειν ἀκροωμένους. ἐπεὶ καὶ ἡμεῖς αὐτοί φαμεν ὅτι κατά γε τὸν ἰδιότητος λόγον, εἴη που ἂν δὴ πάντως ἑτεροφυὴς ἡ σὰρξ παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς φύντα Λόγον, πλὴν αὐτοῦ γέγονε καθ᾽ ἕνωσιν ἀδιάσπαστον.

εʹ.

Ἔστι δὲ μᾶλλον εἷς τε καὶ ὁ αὐτὸς Υἱὸς ὥστε καὶ ἐκ τῆς τοῦ Θεοῦ καὶ Πατρὸς οὐσίας νοεῖσθαι θεϊκῶς καὶ ἐξ ἡμῶν ἀνθρωπίνως, ἤγουν ἐκ σπέρματος Δαυεὶδ, ὠνομάσθη προφήτης κατὰ Μωσέα. καὶ οὐκ ἀπιστοῦμεν αὐτοῦ τῇ κλήσει, ἐπείπερ ἐγνώκαμεν τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν δύναμιν, οὐκ αὐτὸς ἦν ὁ ναὸς οὔτε μὴν εἰς ἰδίαν φύσιν καθὸ νοεῖται Θεὸς τὴν λύσιν ἐδέχετο, ἀλλ᾽ ἦν ἴδιον αὐτοῦ τὸ λυθὲν καθάπερ ἀμέλει καὶ ἡμῶν ἑκάστου τὸ ἴδιον σῶμα.

ϛʹ.

ܡܛܠ ܕܝܠܗ ܗܘ ܐܠܗܘܬܐ ܗܝ ܕܩܕܡ ܥܠܡܐ. ܕܝܠܗ ܕܝܢ ܒܗ ܒܕܡܘܬܐ ܘܠܐ ܕܐܢܫ ܐܚܪܢܐ: ܗܘܐ ܕܒܚܪܬܐ

ܗܘ ܕܐܠܗܐ. ܐܝܟܢܐ ܠܘ ܟܠ ܐܢܫ ܒܥܐ ܠܐܠܗܐ: ܟܕ ܒܥܝܢ ܠܫܪܪܐ. ܐܝܟܢܐ ܕܝܢ ܒܥܐ ܒܠܚܘܕ ܐܝܬܘܗܝ ܢܠܒܟܝܗ̇. ܘܢܓܡܘܪܝܗ ܘܩܘܡܐ ܕܩܘܡܗ̇: ܟܕ ܠܐ ܐܝܟܢܐ ܕܐܬܚܙܝ. ܠܘ ܚܘܝܐ ܐܢܫܝܐ ܐܝܬ ܠܗ ܣܦܪ ܡܢ ܗܘ ܐܢܫܐ. ܐܦܐ ܠܐ ܡܬܦܠܓܝܢ. ܕܒܫܘܬܦܘܬ ܡܫܘܕܥܢܘܬܐ ܡܫܬܟܚܢܘܬܐ ܒܪܘܚܢ. ܠܐ ܬܘܒ ܥܒܕܘܬܐ ܡܬܒܥܝܢܘܬܐ ܕܬܫܡܫܬܗܘܢ: ܐܘܟܝܬ ܕܡܫܬܥܒܕܘܬܗܘܢ. ܠܐ ܡܬܚܫܒܝܢ ܠܦܘܠܚܢܐ ܦܠܚܘܗܝ: ܟܕ ܡܬܟܠܠ ܠܬܘܕܝܬܐ ܘܐܡܪ. ܕܠܐ ܙܕܩ ܗܘ ܠܢ ܕܢܣܒܪ ܕܠܕܗܒܐ ܐܘ ܠܣܐܡܐ: ܐܘ ܠܟܐܦܐ ܕܐܘܡܢܘܬܐ ܘܡܚܫܒܬܐ ܐܢܫܝܬܐ: ܗܝ ܕܐܠܗܐ ܐܝܬܘܗ̇ ܕܕܡܝܐ. ܟܕ ܠܐ ܒܟܝܢܐ ܕܦܬܟܪܐ ܘܐܣܟܡܐ ܕܒܪܢܫ ܗܠܝܢ ܚܙܐ ܗܘܐ ܐܢܫܐ ܒܐܠܗܐ ܕܟܠ ܥܒܕܐ ܕܠܒܘܬܗܘܢ ܪܢܝܢ. ܐܦ ܕܝܢ ܠܐ ܙܕܩ ܠܢ ܕܢܣܒܪ ܕܕܡܝܐ ܗܝ ܕܐܠܗܐ: ܠܥܘܒܕܐ ܕܗܘܢܢ: ܐܝܟܢܐ ܕܒܚܘܝܐ ܐܢܫܝܐ ܐܝܬܘܗܝ. ܡܠܦܝܢ ܐܚܪܢܝܢ. ܒܬܪܝܢ ܠܐ ܒܡܬܡ ܟܕ ܡܦܪܫ ܕܠܐ ܡܫܘܚܬܐ. ܗܘ ܗܘܐ ܠܗܘܢ ܓܒܪ. ܕܟܕ ܒܟܬܒܐ ܒܫܡܝܐ ܦܠܚܝܢ. ܢܬܒܥܕܘܢ ܬܘܒ ܠܦܘܠܚܢܐ ܦܠܚܘܗܝ ܕܬܘܒ. ܠܗܠܝܢ ܓܝܪ ܕܝܕܥ ܩܕܡ ܪܫܡ: ܫܘܝ ܕܡܘܬܐ ܕܨܠܡܐ ܕܒܪܗ. ܠܗܠܝܢ ܐܦ ܩܪܐ. ܘܟܬܪܝܢ. ܐܝܟܢܐ ܠܘ ܟܠ ܐܢܫ. ܟܠ ܕܡܬܢܐ ܘܩܢܘܡ ܒܚܘܝܐ ܐܝܬܘܗܝ. ܕܒܪܐ ܕܐܠܗܐ: ܐܦ ܕܡܘܬܐ ܕܒܪ ܐܢܫܐ ܐܝܬܘܗܝ. ܐܘ ܡܬܠ ܡܛܠܐ ܡܕܝܢ ܟܠܒܝܬܐ. ܡܬܩܪܝܢ ܐܚܝܢ ܐܝܟ ܫܘܝ ܕܡܘܬܐ ܕܨܠܡܐ ܕܒܪܗ: ܘܠܘ ܟܠܗܘܢ ܟܠ ܐܢܫ ܡܬܐܡܪܝܢ ܕܐܝܬܘܗܝ. ܫܘܐ ܒܕܡܘܬܐ. ܐܠܐ ܒܝܚܝܕܘܬܐ ܐܝܬܘܗܝ ܕܠܐ ܚܘܝܐ ܐܝܬܘܗܝ ܗܝ ܕܐܠܗܐ: ܘܠܘ ܒܕܡܘܬܐ ܗܝ ܕܒܐܣܟܡܐ ܘܦܪܨܘܦܐ. ܐܝܟ ܗܝ ܕܠܐ ܠܒܘܫܐ ܐܝܬܘܗܝ. ܚܕ ܕܝܢ ܐܝܬܝܗ ܒܡܫܝܚܘܬܐ: ܒܚܘܝܐ ܘܒܐܣܟܡܐ. ܐܠܐ ܟܕ ܐܡܪܝܢ. ܐܝܟܢܐ ܕܬܒܐ ܢܚܫ ܡܢ ܐܠܗܐ. ܘܕܦܪܘܫܐ ܐܝܬ ܠܗ ܠܐܠܗܐ ܡܫܡܫܢܗ: ܘܐܢܫܐ ܘܐܝܟܢܐ ܡܫܪܪ: ܘܐܝܢܐ ܘܚܝܠܐ ܘܦܩܘܕܐ. ܠܘܬ ܗܠܝܢ ܐܡܪܝܢ. ܕܒܟܠܗ ܩܠܐ ܐܢܫܝܬܐ ܡܬܚܫܒ. ܘܐܝܟ ܕܗܠܝܢ ܡܬܚܫܒܝܢ ܗܠܝܢ ܕܢܬܩܛܠ. ܡܛܠܐ ܡܬܟܠܠ ܠܘܬܗ̇ ܪܘܚܐ ܕܐܠܗܐ. ܐܦ ܕܝܢ ܡܫܒܚܝܢ ܕܡܬܠ ܗܠܝܢ ܕܡܘܬܐ ܕܒܪ ܐܢܫܐ ܗܢܘ ܕܢܫܒܚ ܠܗ̇ ܕܐܠܗܐ. ܡܛܠܐ ܢܚܒܒܘܢ ܟܕ ܢܫܡܥܘܢ ܬܘܒ

Acta SS. Ap. xvii. 29.

Rom. viii. 29, 30.

Zach. iv. 10. Deut. xxxii. 11.

ܠܬܠܬܐ ܐܠܗܘܬܐ ܕܐܡܪ. ܀ ܗܠܝܢ ܫܒܥ ܥܝܢܐ ܕܡܪܝܐ ܕܫܛ̈ܢ ܒܟܠܗ̇ ܐܪܥܐ. ܘܬܘܒ ܕܦܪܣ ܟܢ̈ܦܘܗܝ ܘܩܒܠ ܐܢܘܢ. ܐܡܪ ܓܝܪ ܠܝ: ܫ̈ܒܥ ܥ̈ܝܢܝܢ ܐܡܪܢ ܕܡܫܡܫܢܐ ܕܢܗܘܘܢ ܐܝܬ ܠܝ ܒܦܪ̈ܨܘܦܐ: ܘܢ̈ܦܫܬܐ ܕܬܠܡܝܕܘܗܝ. ܘܒܬܪܟܢ ܐܝܟܢܐ ܕܡܫܘܚܬܐ ܕܒܪܢܫܐ. ܠܝܬ ܒܗ ܓܝܪ ܫ̈ܒܥ ܥ̈ܝܢܝܢ. ܐܠܐ ܘܠܐ ܡܫܡܫܢܐ ܕ̈ܦܓܪܐ ܐܝܬ ܠܒܪܢܫܐ. ܢܦܫܗܘܢ ܗܟܝܠ ܗܠܝܢ ܕܗܟܢܐ ܕܠܐ ܡܫܠܡܐ ܕܐܝܟ ܗܘܝ ܬܠܡܝܕܘܗܝ ܘܫܠܝܚܘܗܝ. ܐܝܟܢܐ ܓܝܪ ܕܐܡܪܬ. ܐܠܗܐ ܒܗ ܕܠܐ ܠܟܘܡ ܐܝܬܘܗܝ. ܠܗ ܕܡܫܘܚܬܐ ܕܒܪܢܫܘܬܐ ܐܝܬ ܠܗ. ܐܠܐ ܘܠܐ ܚܙܘܐ ܗܘ. ܐܠܐ ܠܟܠ ܡܢ ܟܠ ܡܫܡܫܢܘܬܐ ܘܡܠܘܬܐ ܐܝܬܘܗܝ. ܡܬܚܫܒܢܐ ܕܝܢ ܡܬܬܕܒܪܢܘܬܗ ܠܚܝܠܐ ܕܠܒܐ. ܐܝܟ ܬܡ ܕܡܫܒܚܐ ܕܠܟܠ ܡܢ ܟܠܡܕܡ ܐܝܬ ܠܗ: ܘܠܟܠ ܡܢ ܟܠ ܚܝܠܐ ܡܬܚܫܒܢܐ ܘܠܐ ܡܬܚܫܒܢܐ ܐܝܬܘܗܝ. ܒܟܘܠܕܐ ܓܝܪ ܕܟܠ. ܚܝܠܢܬ ܠܒܪ ܡܢ ܟܘܠ ܐܝܬܘܗܝ. ܕܗܘ̇ܝܐ ܕܝܢ ܒܪܢܫܐ ܥܠ ܐܪܥܐ ܒܝܠܕܐ ܕܐܠܗܐ ܐܡܪܝܢ ܚܢܢ. ܒܗ̇ ܕܐܦ ܒܐܢܫܐ ܘܦܓܪܢܐ ܘܢܦܫܢܝܐ ܘܡܫܡܫܢܐ ܡܟܝܟ ܕܢܗܘܐ. ܬܚܬ ܕܝܢ ܠܫܘܠܛܢܗ ܕܟܠ ܟܠܗܘܢ ܕܥܠ ܐܪܥܐ. ܟܠ ܓܝܪ ܫܥܒܕ ܬܚܝܬ ܪ̈ܓܠܘܗܝ. ܐܝܟ ܕܟܬܝܒ. ܘܗܕܐ ܓܝܪ ܟܕ ܗܠܝܢ ܐܢܫܝܢܘܬܐ ܡܬܝܕܥܐ ܒܗ ܫܘܦܪܐ ܕܡܕܒܪܢܘܬܐ. ܒܠܗ ܗܟܝܠ ܠܐܠܗܐ ܕܐܢܫܝܢܘܬܗ ܢܬܒܥ ܠܗܠܝܢ. ܘܟܠ ܠܐܠܗܐ ܕܕܐܝܟ ܗܟܢܐ. ܟܕ ܡܬܚܫܒ ܐܢܬܘܢ ܕܫܡܥܘܢ. ܘܢܬܚܘܢ ܡܠܘ. ܕܟܐܢܐ ܘܠܐ ܡܬܚܙܐ ܟܕ ܕܘܟܪܐ ܡܢ ܐܢܫܘܬܐ ܬܚܘܡܝܢ: ܘܫܢܝܐ ܕܦܟܝܢ ܠܕܝ̈ܢܐ. ܠܟܐܢܐ ܕܠܟܠ ܢܥܒܕܘܢ ܒܡܫܡܫܢܐ ܀

I Cor. xv. 27.

385 A. c

Β΄. Πρὸς τοὺς λέγοντας, ὅτι ὁ Υἱὸς κατὰ μὲν τὴν ἀξίαν τῆς θεότητος συνῆν τῷ Πατρὶ, καὶ ὅτε γέγονεν ἄνθρωπος καὶ ἦν ἐπὶ γῆς, καθ' ὑπόστασιν δὲ, οὐκ ἔτι.

25. B exhibui e Γ. 26. *καὶ* prius assumptum e D. g [vide infra].

ΕΠΙΛΥΣΙΣ.

Μανθάνω τινὰς εἰκῇ καὶ ἀπερισκέπτως καὶ ἐπὶ τοῖς οὕτω d μεγάλοις καὶ ἀναγκαίοις πράγμασιν φλυαρεῖν εἰωθότας, φάναι τι τοιοῦτον, ὡς ὁ Μονογενὴς τοῦ Θεοῦ Υἱὸς κατὰ μὲν τὴν τῆς θεότητος καὶ οὐσίας ἀξίαν συνῆν τῷ Θεῷ καὶ Πατρὶ, ἡνίκα ἐπὶ τῆς γῆς ἐχρημάτιζε καὶ τοῖς ἀνθρώποις συνανεστρέφετο, ὡς ὁμοούσιος ὢν αὐτῷ· κατὰ δὲ τὸν τῆς ὑποστάσεως λόγον οὐκ ἔτι. κεκένωτο γὰρ πᾶσα, ὡς αὐτοί φασιν, ἡ υἱοτικὴ ὑπόστασις ἔκ τε τῶν οὐρανῶν καὶ αὐτῶν e τῶν πατρικῶν κόλπων. οὐ γὰρ συναπτέον ὑπόστασιν ὑποστάσει, οὔτε τὰς ἐν μιᾷ οὐσίᾳ ὑπαρχούσας. ἐγὼ δὲ τὸ προπετὲς τῆς ἀμαθίας τῶν ταῦτα πεφρονηκότων θαυμάσας, δεῖν ᾠήθην ἀναγκαίως ἐκεῖνο εἰπεῖν, ὅτι πεπόσωται παρ' αὐτοῖς ἡ οὐσία τοῦ Θεοῦ, καὶ καταληπτὴν αὐτὴν εἶναί φασι καὶ πεπερατωμένην, καὶ οὐκ ἔτι μὲν ἀπεριόριστον οὐδὲ ἀκατάληπτον, ἀλλ' ἤδη καὶ τόποις χωρητὴν καὶ διαστήμασι περι- a 386 A. ληπτὴν, ἁρμόζει δὲ ταῦτα τοῖς τῶν σωμάτων λόγοις. οὐκοῦν καὶ σῶμα, πάντως δέ που καὶ ἐν εἴδει, καὶ οὐ δίχα σώματος· ἕπεται γὰρ τὰ τοιάδε τοῖς σώμασιν. εἶτα πῶς ὁ Σωτὴρ "Πνεῦμά φησιν ὁ Θεός;" πνεῦμα γὰρ εἶναί φησιν S. Joan. iv. 24. αὐτὸν ἵν' ἔξω σωματικῆς φαντασίας ἀγάγῃ τὴν ὑπερφυᾶ καὶ ἀπόῤῥητον φύσιν. ἆρ' οὐκ ἄν τις εἴποι δικαίως τοῖς τὰ τοιάδε τεθρυληκόσιν, ἢ καὶ τολμῶσι φρονεῖν "Ἐδικαιώθη Cf. Ezek. xvi. 52.

1. Ita reposui ex Γ et pro analogia. κεφαλ. ιη Ed. 2. Μανθάνω] Incipit (post folium omissum) A fol. 210. Statim δὲ addit Γ. οὕτω μεγάλοις καὶ ἀναγκαίοις hoc ordine A. οὕτω post ἀναγκαίοις transponit Ed. 3. φλυαρεῖν εἰωθότας A. εἰωθότας φληναφεῖν D. Ed. 5. τῆς θεότητος καὶ οὐσίας ἀξίαν hoc ordine A. ἀξίαν ante τῆς transponit Ed. καὶ οὐσίας om. Γ. Θεῷ καὶ assumpta ex A, favente et Γ. 6. τῆς assumptum ex A.D. ἐχρημάτιζε A.D. ἐχρημάτισε Ed. 8. κεκένωτω (sic) A. αὐτοί φησιν (sic) A. Statim ἡ A.D. καὶ Ed. 9. ὑϊτικὴ A. νἱωτικὴ D. 10. ὑπόστασιν] + τῇ Ed. repugnantibus A.D. 11. προπετὲς τῆς ἀμαθίας hoc ordine A. 13. πεπόσωται παρ' αὐτοῖς ἡ οὐσία hoc ordine A. πεπόσωται post οὐσία transponit Ed. 17. ἁρμόζει —λόγοις hoc ordine A. δὲ ταῦτα τοῖς τῶν σ. λ. ἁρμόζει Ed. ἀσωμάτων (sic) A. 20. εἶναί φησιν αὐτὸν hoc ordine A. αὐτὸν [αὐτὸ Ed.] εἶναι φησι D. Ed. 21. ἵν' ἔξω σωματικῆς φαντασίας ἀγάγῃ A. ἵνα σωματικῆς ἀγάγῃ φαντασίας ἔξω Ed. 22. εἴποι A. εἴπῃ Ed. 23. καὶ τολμῶσι A. κατατολμῶσι D. Ed.

"Σόδομα ἐκ σοῦ;" εὐσεβέστερον γὰρ οἱ παρ' Ἕλλησι
δοξάζουσι σοφοὶ τὸ θεῖον ἀσώματον καὶ ἀνείδεον, ἄποσόν
b τε καὶ ἀμερὲς, καὶ ἀσχημάτιστον εἶναι διαβεβαιούμενοι, καὶ
πανταχῇ μὲν ὑπάρχειν, ἀπολιμπάνεσθαι δὲ οὐδενός. πῶς δὲ
κἀκεῖνο διέλαθεν αὐτούς; εἰ γὰρ ὁμοούσιος ὢν ὁ Υἱὸς τῷ
Πατρὶ, κεκένωκε τῆς αὐτοῦ παρουσίας τὸν οὐρανὸν, ὅτε
γέγονεν ἄνθρωπος, καὶ συνανεστρέφετο τοῖς ἐπὶ τῆς γῆς,
ἄραρεν ὅτι κενὴ καὶ ἡ γῆ τῆς τοῦ Πατρὸς ὑποστάσεως ἦν,
ὅτι μὴ αὐτὸς γέγονεν ἄνθρωπος, μήτε μὴν ἀνθρώποις συν-
c ανεστρέφετο, ἀλλ' ἵνα τι κατὰ τὴν αὐτῶν ἀσυνεσίαν εἴπω,
μεμένηκεν ἐν τοῖς οὐρανοῖς. πῶς οὖν ἔφασκεν ὁ Σωτὴρ, ὅτι
S. Joan. xiv. 10. "Ὁ Πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα αὐτός;" πῶς δὲ
Hier. xxiii. 24. διὰ τοῦ προφήτου φησί "Μὴ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν
Ib. 23. "ἐγὼ πληρῶ, λέγει Κύριος;" καὶ πάλιν "Θεὸς ἐγγίζων
"ἐγὼ εἰμὶ, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόῤῥωθεν;" πάντα
γὰρ ἐγγὺς ἔχει, τὰ πάντα πληρῶν ὁμοῦ τῷ Πατρὶ ὁ ἐξ αὐτοῦ
κατὰ φύσιν γεγεννημένος Χριστός. καὶ γοῦν ὁ προφήτης
Ps. cxxxviii. 7. d Δαυείδ "Ποῦ πορευθῶ, φησὶν, ἀπὸ τοῦ πνεύματός σου,
"καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;" οὐ γὰρ ἔστιν,
οὐκ ἔστιν οὐρανοὺς ἢ γῆν εὑρεῖν δύνασθαί ποτε κενοὺς τῆς
ἀῤῥήτου θεότητος. πληροῖ γὰρ ὡς ἔφην τὰ πάντα ἡ θεία τε
καὶ ὁμοούσιος Τριάς. μεμνήμεθα δὲ ὅτι καὶ ὁ τῶν ὅλων
S. Joan. xvi. 7. Σωτὴρ καὶ Κύριος τοῖς ἁγίοις ἀποστόλοις ἔφασκε "Συμ-
"φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω, ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παρά-
e "κλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς." ἐπειδὴ δὲ πεπόρευται,

1. οἱ παρ' ἕλλησι δοξάζουσι hoc ordine A. 4. οὐδενός A.D. μηδενός Ed. 7. γέγονεν ἄνθρωπος et συνανεστρέφετο—γῆς hoc ordine A. τῆς assumptum ex A. 8. κενὴ—ἦν hoc ordine A. καὶ ἡ γῆ ἦν κενὴ τῆς τοῦ πατρὸς ὑποστάσεως Ed. 9. αὐτὸς γέγονεν ἄνθρωπος A. γέγονεν ἄνθρωπος αὐτὸς Ed. 10. αὐτῶν ἀσυνεσίαν hoc ordine A. 11. ἔφασκεν ὁ σωτήρ hoc ordine A. 12. ὁ—αὐτός hoc ordine A. ἐν ἐμοὶ μένων ὁ πατὴρ, αὐτὸς ποιεῖ τὰ ἔργα Ed. 14. πληρῶ] πεπληρω (sic πε linea finiente) A. 16. ἐξ—γεγεννημένος hoc ordine A. γεγεννημένος ἐξ αὐτοῦ κατὰ φύσιν Ed. 17. υἱὸς pro Χριστός Γ. 19. φύγω A.D. φεύξω Ed. 20. κενοὺς τῆς ἀῤῥήτου θεότητος hoc ordine A. τῆς ἀῤῥήτου θεότητος κενούς Ed. 21. πληροῖ γὰρ ὡς ἔφην τὰ πάντα hoc ordine A. ὡς ἔφην γὰρ τὰ πάντα πληροῖ Ed. τε assumptum ex A.D. 24. ἐγὼ] κ̈ ἐγὼ i. e. κ prius exaratum κἀγὼ scripturo scriba, deinde expunctum. 25. ὑμᾶς] + Γ ܐܢ ܕܝܢ ܐܙܠ ܐܫܕܪܝܘܗܝ ܠܘܬܟܘܢ ἐπειδὴ A. ἐπεὶ Ed.

τὴν ἰδίαν ὑπόσχεσιν ἀποπληρῶν, ἔπεμψεν ἡμῖν ἐξ οὐρανοῦ τὸν παράκλητον, τουτέστι, τὸ Πνεῦμα. ἔστι δὲ ὁμοούσιον τῷ Πατρὶ καὶ Υἱῷ. ἆρ᾽ οὖν ὅτε καταπεφοίτηκεν εἰς γῆν ὁ παράκλητος, ἵνα ἡμᾶς ἁγιάσῃ τὸ Πνεῦμα, οὐκ ἦν ἐν τοῖς οὐρανοῖς;

Ἀλλ᾽ ἐκεῖνο φάναι πρέποι ἂν, ὅτι ἁγιάσαν ἡμᾶς ἀνέβη a 387 A
πάλιν εἰς τὸν οὐρανὸν, καὶ οὐκ ἔστι μεθ᾽ ἡμῶν, καίτοι γέγραπται "Ὅτι πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην." Sap. i. 7.
ἀλλὰ καὶ αὐτὸς ἔφη Χριστὸς μέλλων ἀναβαίνειν πρὸς τὸν
Πατέρα "Ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας καὶ S. Matth. xxviii. 20.
"ἕως τῆς συντελείας τοῦ αἰῶνος." εἰ δὲ μεθ᾽ ἡμῶν ἐστι, κενοί που πάντως καὶ νῦν εἰσὶ τῆς, ὡς αὐτοί φασιν, υἱοτικῆς ὑποστάσεως οἱ οὐρανοὶ, καὶ τὸν τοῦ Πατρὸς κόλπον ἀφεὶς τοῖς ἐπὶ γῆς ἥδιον μᾶλλον συνδιαιτᾶται. ταῦτα γὰρ ἐκεῖνοι
ψυχρολογοῦσιν, ὡς ἔφην. εἶτα τίς τῆς ἐκείνων ἀβελτερίας b
ἀνέξεται; ἢ τίς τῶν νουνεχεστέρων οὐκ ἂν αὐτοῖς ἀμφιλαφὲς ἐπιστάξῃ δάκρυον, οἵ γε τὰς ἱερὰς καὶ θείας ἠγνοηκότες γραφὰς τὸ εἰς νοῦν ἧκον ἀβασανίστως ἐρεύγονται, καὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων ἐκπίπτουσι; τί τῷ Φιλίππῳ
περὶ τοῦ Πατρὸς λέγοντι προσπεφώνηκεν ὁ Υἱός; "Οὐ S. Joan. xiv. 10.
"πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;" c
οὐκοῦν ἀμήχανον εἶναί ποτε δίχα τοῦ ἑτέρου τὸ ἕτερον· ἀλλ᾽ ἔνθαπερ ὁ Πατὴρ εἶναι νοοῖτο· ἔστι δὲ πανταχοῦ· ἐκεῖ που πάντως καὶ ὁ Υἱὸς, καὶ ἔνθαπερ ἂν ὁ Υἱὸς, ἐκεῖ καὶ ὁ Πατήρ. εἰ γάρ ἐστιν ἀπαύγασμα τοῦ Πατρὸς ὁ Υἱὸς, καὶ Λόγος

1. ὑπόσχεσιν ἀποπληρῶν hoc ordine A. 3. ὁ assumptum ex A.D. 4. ἡμᾶς ἁγιάσῃ hoc ordine A. οὐκ A.D. καὶ οὐκ Ed. ἦν ἐν τοῖς οὐρανοῖς hoc ordine A. 7. ἡμῶν correxi ex Γ.D. ὑμῶν Ed. 8. πεπλήρωκε τὴν οἰκουμένην hoc ordine A. 12. ὑϊτικῆς (ut supra) A. 13. τοῦ πατρὸς κόλπον ἀφεὶς hoc ordine A. τοῦ πατρὸς post ἀφεὶς transponit Ed. 14. ἥδιον A. ἴδιον D. ἤδη Ed. 15. τῆς—ἀνέξεται A. ἀνέξεται ante τῆς transponit Ed. 16. ἢ (sic) A. ἂν assumptum ex A. Statim αὐτοῖς ἀμφιλαφὲς hoc ordine A. 17. ἐπιστάξῃ edidi. ἐπιστάξει A. ἐπισταλάξει [ἂν non exhibens] D. ἐπισταλάξῃ Ed. ἠγνοηκότες γραφὰς hoc ordine A. 22—p. 580, 6. citat Niketas in Catena ad Hebraeos, Cod. Mediolanensis bomb. sec. xiv. quem g signavi, Cod. Paris. 238. membr. sec. xiv. quem h signavi. Titulum Κυρίλλου πρὸς Τιβέριον exhibet Nik. 22. τὸ A.D.g.h. Vulc. τὸν Aub. e Vulcanii emendatione.

αὐτοῦ καὶ σοφία καὶ δύναμις, πῶς ἐνδέχεται δίχα λόγου καὶ σοφίας καὶ δυνάμεως νοεῖσθαί ποτε τὸν Πατέρα; πῶς δὲ ἡ σοφία τοῦ Θεοῦ καὶ Λόγος αὐτοῦ καὶ ἡ δύναμις αὐτοῦ νοοῖτ' d *ἄν ποτε δίχα τοῦ Πατρός; ἢ πῶς οὐκ ἐνυπάρξει ποτὲ αὐτῷ ὁ χαρακτὴρ αὐτοῦ; πῶς δὲ καὶ ὁ χαρακτὴρ δίχα τοῦ Πατρὸς οὗ ἐστι χαρακτήρ;*

Ἀλλά φασιν ὅτι οὐ συναπτέον ὑπόστασιν ὑποστάσει, οὔτε τὰς ἐν μιᾷ οὐσίᾳ ὑπαρχούσας, καὶ τάχα που τὰ καθ' ἡμᾶς παρακομίζουσιν εἰς ἀπόδειξιν τῶν αὐτοῖς πεφλυαρημένων.

Εἶτα πῶς οὐκ ἔδει νοεῖν αὐτοὺς, ὅτι τὰ τῆς θείας φύσεως ἴδια καὶ ἐξαίρετα οὐ διὰ τῶν καθ' ἡμᾶς κανονίζεται μᾶλλον, e *ἀλλ' ἐν ἰδίοις εἰσὶ λόγοις, καὶ πίστει λαμβάνεται, περιεργοτέρων δὲ λογισμῶν οὐκ ἀνέχεται; μία γὰρ φύσις ἐστὶ τῆς ἀῤῥήτου θεότητος ἐν ὑποστάσει τρισί τε καὶ ἰδικαῖς, ἔξω δὲ τῶν καθ' ἡμᾶς ἐστὶ λόγων, καὶ τοῖς τῶν κτισμάτων ἔθεσιν οὐκ ἀκολουθεῖ. καὶ τοῦτο ἐκ πολλῶν ἔστιν ἰδεῖν. ἡμεῖς μὲν γὰρ πατέρες ἐσμὲν τῶν ἰδίων τέκνων κατὰ ἀπόῤῥοιαν καὶ μερισμόν. ἀναχωρεῖ γὰρ τὸ γεννώμενον εἰς ἰδικὴν ἑτερότητα* **388 A.** a *τὴν εἰς ἅπαν καὶ ὁλοσχερῶς. ἀλλ' οὐχ οὕτως ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γεννηθῆναί φαμεν τὸν Υἱόν· ἐξέλαμψε μὲν γὰρ τῆς οὐσίας αὐτοῦ, καὶ ἐξηυγάσθη φωτὸς δίκην, ἀλλ' οὐκ ἔξω γέγονεν αὐτοῦ, ἀλλ' ἐξ αὐτοῦ τέ ἐστι καὶ ἐν αὐτῷ· καὶ πρεσβύτεροι μὲν οἱ παρ' ἡμῖν πατέρες τῶν ἰδίων τέκνων· ἥκιστα δὲ τοῦτο ἀληθὲς ἐπὶ Θεοῦ. συνυφέστηκε γὰρ ἀεὶ τῷ Πατρὶ, καὶ συνάναρχον ἔχει τὴν ὕπαρξιν τῷ ἰδίῳ γεννήτορι,*

1. *ἐνδέχεται δίχα λόγου καὶ* [*καὶ* om. h] *σοφίας καὶ δυνάμεως* hoc ordine A.Γ.g.h. *δίχα λόγου καὶ δυνάμεως καὶ σοφίας ἐνδ.* Ed. 2. *ἡ σοφία καὶ ὁ λόγος τοῦ Θεοῦ* g.h. 3. *ἡ* et *αὐτοῦ* alt. assumpta ex A.g.h. 4. *ποτὲ αὐτῷ* hoc ordine A.g.h. 6. *οὗ ἐστι χαρακτήρ* assumptum ex A.Γ.D.g.h. Deinde *εἰ γὰρ* p. 582, 16, pergit Niketas. 7. *ἀλλὰ*] + *οὐκ ἔστι χαρακτὴρ* Ed. repugnantibus A.Γ.D. 12. *κανονίζεται μᾶλλον* hoc ordine A. 13. *ἐστι* Migne. *περιεργοτέρων δὲ* A. *καὶ περιεργοτέρων* Ed. 17. *ἐκ πολλῶν ἔστιν ἰδεῖν* hoc ordine A. *ἰδεῖν ἐστὶν ἐκ πολλῶν* Ed. 18. *πατέρες ἐσμὲν τῶν ἰδίων τέκνων* hoc ordine A. *πατέρες ἐσμὲν* post *τέκνων* transponit Ed. *καὶ*] + *κατὰ* Ed. invitis A.D. 20. *καὶ* assumptum ex A. 22. *ἐξηυγάσθη φωτὸς δίκην* hoc ordine A. *δίκην ἐξηυγάσθη φωτός* Ed. 25. *ἀληθὲς ἐπὶ Θεοῦ* hoc ordine A.

ἵνα καὶ ἀεὶ φαίνηται Πατήρ. οὐ γὰρ ἦν ὅτε τοῦτο οὐκ ἦν. ἔστι τοίνυν ταὐτὸν μὲν τῷ Πατρὶ τῇ φύσει τὸ θεῖόν τε καὶ b ὑπερκόσμιον γέννημα, ἐν ἑτερότητι δὲ τῇ κατὰ υἱότητα μόνην. οὐ γάρ ἐστι Πατὴρ, ὅτι μηδὲ ἐκεῖνος Υἱός. πάντα τοίνυν πληρούσης, ὡς ἔφην, τῆς ἀνωτάτω πασῶν οὐσίας, ὅτι καὶ ὑπὲρ κτίσιν ἐστὶ καὶ νοῦν καὶ λόγον, μὴ βατταριζέτωσάν τινες, "τὰ ἀπὸ καρδίας αὐτῶν λαλοῦντες, καὶ οὐκ ἀπὸ στό- Hier. xxiii. 16. "ματος Κυρίου," καθὰ γέγραπται, ἵνα μὴ παραλύοντες τὴν ἀλήθειαν ταῖς ἑαυτῶν ψυχαῖς τὴν τοῖς τοῦτο δρᾶν εἰωθόσι c πρέπουσαν ἐπαντλήσωσι δίκην.

Πρὸς τοὺς λέγοντας ὅτι γενόμενος ἄνθρωπος ὁ Μονογενὴς κενοὺς ἀφῆκε Γ'.
τῆς ἑαυτοῦ θεότητος τοὺς οὐρανούς.

ΕΠΙΛΥΣΙΣ.

Ἄπιστά τινες, ὡς ἔμαθον, καὶ γελοιότητος τῆς ἐσχάτης d ἐπίμεστα ῥημάτια περικομίζουσι, "τὰ ἀπὸ καρδίας αὐτῶν Ib. "λαλοῦντες, καὶ οὐκ ἀπὸ στόματος Κυρίου," κατὰ τὸ γεγραμμένον. ὅπου γὰρ τὸ τῆς ἀληθείας οὐ διαφαίνεται κάλλος, ἐκεῖ πάντως ὁ τοῦ ψεύδους πατὴρ ἐκχεῖ τῆς ἐνούσης αὐτῷ σκαιότητος τὸν ἀνδροκτόνον ἰόν. μανθάνω τοίνυν τινὰς ἐκ πολλῆς ἄγαν ἀσυνεσίας διακεῖσθαι καὶ λέγειν, ὅτι γενόμενος ἄνθρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ μετὰ e σαρκὸς συναναστραφεὶς τοῖς ἐπὶ τῆς γῆς, κενοὺς ἀφῆκε τῆς ἑαυτοῦ θεότητος τοὺς οὐρανούς. τοῦτο δέ ἐστιν ἕτερον οὐδὲν

1. φαίνηται πατήρ hoc ordine A. 2. ταὐτὸν—τῇ [τῃιν i. e. την prius scriptum ad τῇ castigatum] φύσει A. τῷ μὲν πατρὶ τῇ φύσει [τὴν φύσιν Ed.] ταυτὸν D. Ed. 3. ἐν—μόνην A. μόνον δὲ ἐν ἑτερότητι τῇ κατὰ υἱότητα Ed. 4. πάντα—οὐσίας hoc ordine A. τοίνυν ὡς ἔφην πάντα τῆς ἀνωτάτω πασῶν οὐσίας πληρούσης Ed. 6. ἐστὶ—λόγον A. ἐστὶ post λόγον transponit Ed. 7. τὰ—λαλοῦντες A. λαλοῦντες ante τὰ transponit Ed. 8. παραλύοντες τὴν ἀλήθειαν hoc ordine A. 9. τὴν—ἐπαντλήσωσι hoc ordine A. ἐπαντλήσωσι ante τὴν transponit Ed. 10. ἐπαντλήσουσι A. 11. Γ reposui ex Γ.Β exhibet A mg. ἐφῆκε A. sed cf. infra. 13. Ita A.Γ. κεφαλ. ιθ. D. Ed. 15. τὰ—λαλοῦντες hoc ordine A. λαλοῦντες ante τὰ transponit (ut supra) Ed. 17. τῆς—κάλλος hoc ordine A. κάλλος ante τῆς transponit Ed. 20. γενόμενος—Λόγος hoc ordine A. ὁ μονογενὴς λόγος τοῦ Θεοῦ γενόμενος ἄνθρωπος Ed. 21. μετὰ—τῆς γῆς A. τοῖς ἐπὶ γῆς μετὰ σαρκὸς συναναστραφεὶς Ed. 22. συναστρεφεὶς (sic) A. ἀφῆκε τῆς ἑαυτοῦ θεότητος hoc ordine A. τῆς ἑαυτοῦ θεότητος ἀφῆκε Ed.

ἢ ἐκεῖνο φάναι, ὅτι ποσότητι μετρητός ἐστι, καὶ περιληπτὴν ἔχει τὴν φύσιν, καὶ ἐν τόπῳ μένει καθὰ καὶ τὰ σώματα, ἤγουν τὰ ἕτερα τῶν κτισμάτων. ἠγνόησαν δὲ ἴσως ὅτι τὸ θεῖον ἀσώματόν ἐστιν, ἀσχημάτιστον, ἀμερὲς, οὐ ποσότητι
389 A. a μετρητὸν, οὐ τόπῳ περιγραφόμενον, ἀλλὰ πληροῦν μὲν τὰ πάντα καὶ ἐν πᾶσιν ὂν, ἀχώρητον ὂν κατ' ἰδίαν φύσιν. γέγραπται γὰρ ὅτι "Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σοῦ, "καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς "τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, παρεῖ· "ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον καὶ κατα- "σκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ "σου ὁδηγήσει με." ἔδει τοίνυν αὐτοὺς οὐκ ἐξ ἀμαθίας προπετεῖς ἐρεύγεσθαι φωνὰς, ἀλλ' ἐννοεῖν οἷά τε καὶ ὅση

Ps. cxxxviii. 7-10.

b καὶ ἐν τίσιν ὑπεροχαῖς ἡ θεία καὶ ὑπερμεγέθης καὶ ἀπόῤῥητός ἐστι τοῦ Θεοῦ φύσις. πότε γὰρ ὁ Θεὸς Λόγος ἀπέστη τοῦ εἶναι μετὰ τοῦ Πατρὸς ἢ τοῦ ἐν αὐτῷ μένειν; εἰ γὰρ ἐνδέχεται τοῦ φωτὸς ἐκπεσεῖν καὶ χωρισθῆναι τὸ ἀπαύγασμα τὸ ἀπ' αὐτοῦ, ἦν ἂν εἰκὸς ἐννοῆσαι ὅτι καὶ τὸν Υἱὸν ἐνδέχεται μὴ εἶναι μετὰ τοῦ Πατρός. πῶς δὲ οὐκ ἐνενόησαν ὅτι γενητὸς ὢν ὁ ἥλιος· κτίσμα γάρ ἐστι δι' αὐτοῦ τοῦ Λόγου παρενεχθεὶς εἰς γένεσιν· διέρπει μὲν τὴν ἄνω καὶ
c αὐτῷ ταχθεῖσαν ὁδὸν, καθίησι δὲ τοῖς ἀπανταχόσε φῶς, καὶ πάντα πληρῶν τῆς ἐξ αὐτοῦ προχεομένης αὐγῆς, ἔχει πάλιν αὐτὴν ἐν ἑαυτῷ; πότε τοίνυν οὐκ ἦν ἐν Πατρὶ τὸ ἀπαύγασμα τῆς δόξης αὐτοῦ; πότε κεχώρισται τῆς ὑποστάσεως αὐτοῦ ὁ χαρακτὴρ αὐτοῦ; καὶ εἰ τὰ πάντα πληροῦντος τοῦ

3. ἠγνόησαν δὲ ἴσως hoc ordine A. ἴσως δὲ ἠγνόησαν Ed. 4. ποσότητι μετρητὸν et τόπῳ περιγραφόμενον hoc ordine A. 6. ὂν prius assumptum ex A.D.Γ. 8. τοῦ assumptum ex A.D. 12. με A.D. μου Ed. 13. προπετεῖς ἐρεύγεσθαι φωνὰς hoc ordine A. φωνὰς et προπετεῖς inter se transponit Ed. ὅση A.D. ὅσα Ed. 15. πότε A.Γ.D. "al. πότε" Ed. mg. πῶς Ed. Θεὸς habent A.D. 18. καὶ om. Migne. 19. δὲ A.Γ.g.h. γὰρ D. Ed. ἐνενόησαν A. ἐννενόησαν D. ἐννοοῦσιν g.h. ἐνόησαν Ed. 20. γεννητὸς Ed. invitis omnibus. Statim ὢν A.D.g.h. Migne. ὡς Ed. 21. γένεσιν A.D.g.h. γέννησιν Ed. τῶν pro τὴν A. 22. φῶς A.g.h. τὸ φῶς D. Ed. 24. αὐτῷ Ed. invitis omnibus. ἐν] + τῷ g.h. 26. εἰ assumptum ex A.Γ.D.g.h.

Πατρὸς, οὐκ ἔχει τοῦτο κατὰ φύσιν ἰδίαν ὁ Υἱὸς, τὸ πάντα φημὶ πληροῦν καὶ εἶναι πανταχοῦ καὶ οὐδενὸς ἀπολιμπάνεσθαι, ἑτεροφυὴς ἄρα παρ' αὐτόν ἐστιν. ἐκπίπτουσι τοίνυν d εἰς τὴν τῶν Ἀρειανῶν πεπλανημένην δόξαν οἱ ταῦτα περὶ αὐτοῦ τολμῶντες λέγειν. εἰ μὲν γὰρ πεπιστεύκασιν ἀληθῶς ὅτι καὶ Θεὸς καὶ ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν πέφηνεν ὁ Υἱὸς, τί μὴ νέμουσιν αὐτῷ τὰ τῇ θείᾳ πρέποντα φύσει; εἰ δὲ ὄνομα μὲν αὐτῷ τὸ τοῦ Θεοῦ περιπλάττουσιν, ἀποστεροῦσι δὲ τῶν τῆς θεότητος ἀξιωμάτων, ἠγνοήκασιν ὅτι καταφέρουσιν ἐν κτίσμασι τὸν ποιητὴν, καὶ τῇ τῶν γεγονότων e μοίρᾳ τάττουσι τὸν τῶν ὅλων γενεσιουργὸν καὶ Κύριον· οὐκοῦν ἦν μὲν ἐπὶ γῆς ὁρώμενος κατὰ σάρκα ἄνθρωπος, πλήρεις δὲ ἦσαν καὶ οὕτω τῆς θεότητος αὐτοῦ οἱ οὐρανοί. πληροῖ γὰρ ὡς ἔφην τὰ πάντα Θεὸς ὢν ὁ Λόγος.

e 381 A.

Πρὸς τοὺς λέγοντας, ὅτι ἠγνόησεν ὁ Υἱὸς τὴν ἐσχάτην ἡμέραν. Δ'.

ΕΠΙΛΥΣΙΣ.

Φασὶ γεμὴν καὶ ἑτέρους ἀκούσαντας λέγοντος τοῦ Χριστοῦ "Περὶ δὲ τῆς ἡμέρας ἢ τῆς ὥρας ἐκείνης οὐδεὶς οἶδεν, οὐδὲ S. Marc. xiii. 32. "οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ υἱὸς, εἰ μὴ ὁ πατὴρ" μόνος, ἀσυνετώτατα λέγειν, μὴ εἰδέναι κατὰ ἀλήθειαν τὸν d ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρὸς πεφηνότα Λόγον, μήτε

1. ἰδίαν assumptum ex A.D.g.h. τὰ pro τὸ h. 2. εἶναι πανταχοῦ hoc ordine A.g.h. 3. ἐκπίπτουσι τοίνυν] καὶ ἐκπίπτουσιν g.h. 4. ταῦτα om. g.h. περὶ αὐτοῦ τολμῶντες λέγειν hoc ordine A.g.h. 5. πεπιστεύκασιν ἀληθῶς hoc ordine A. 6. πέφηνεν A.Γ.D. πέφυκεν Ed. 7. τῇ om. A. πρέποντα φύσει hoc ordine A. 8. ἀποστεροῦσι δὲ τῶν τῆς θεότητος ἀξιωμάτων hoc ordine A. τῶν ἀξιωμάτων δὲ ἀποστεροῦσι τῆς θεότητος Ed. 10. καὶ] + ἐν Ed. invitis A.D. τῶν γεγονότων μοίρᾳ hoc ordine A. 13. πλήρης (sic) A. ἦσαν καὶ οὕτω τῆς θεότητος αὐτοῦ hoc ordine A. καὶ οὕτω τῆς αὐτοῦ θ. ἦσαν Ed. 14. ὡς ἔφην assumptum ex A.Γ. 15. Titulum exhibet (citationem introducens) et n. qui capitulum fere totum exhibet. ἡμέραν] + κατὰ Ἀγνοητῶν Ed. et (post pausam) D. invitis A.Γ.n. Cod. Basil. Numerum in mg. ex Γ ratione, qui hic tamen omittit. Γ exhibet A mg. 16. Ita A.Γ. κεφαλ. ιδ. D. Ed. 18. δὲ assumptum ex A.Γ. ἢ τῆς ὥρας ἐκείνης hoc ordine A.n. ἐκείνης ante ἢ transponit Ed. 19. οὔτε A. 20. μόνος A.D.n. μόνον Ed. ἀσυνετώτατα λέγειν hoc ordine A.n.

τὴν ὥραν μήτε τὴν ἡμέραν ἐκείνην, ἵνα τοῖς ἀγγέλοις συν-
τάττηται, καὶ κατὰ μηδένα τρόπον διαφέρειν δοκῇ τῶν δι'
αὐτοῦ γεγονότων. εἶτα πῶς ἐν ἴσῃ τάξει τε καὶ φύσει
ποίημα καὶ ποιητής; πῶς δὲ οὐκ ἄπορον τὸ μεσολαβοῦν;
ὁ μὲν γάρ ἐστι πάντων ἐπέκεινα, τὸ δὲ, ἐν τοῖς πᾶσιν. εἰ δὲ
e οἴονται κατὰ ἀλήθειαν ἠγνοηκέναι τι Χριστὸν, καθ' ὃ νοεῖται
Θεὸς, ἔξω φέρονται σκοποῦ, καὶ τρέχουσι κατὰ πετρῶν, καὶ
Ps. lxxiv. 6. τὸ κέρας ἐγείρουσι κατὰ τῆς δόξης αὐτοῦ. εὑρεθήσεται γὰρ,
ἂν οὕτως ἔχῃ καθά φασιν αὐτοὶ, οὐδὲ ὁμοούσιος ἔτι τῷ Θεῷ
καὶ Πατρί. εἰ γὰρ οἶδε μὲν ὁ Πατὴρ, ἀγνοεῖ δὲ ὁ Υἱὸς, πῶς
ἴσος ἔσται αὐτῷ, ἤγουν ὁμοούσιος; δεῖ γὰρ πάντως ἐν
μείοσιν εἶναι τοῦ εἰδότος τὸ μὴ εἰδός. καὶ τὸ ἔτι τούτων
παραλογώτερον, βουλὴ καὶ σοφία τοῦ Θεοῦ καὶ Πατρὸς ὁ
382 A. a Υἱὸς ὠνόμασται. Παῦλος μὲν γὰρ ἔφη περὶ αὐτοῦ "Ὃς
1 Cor. i. 30. "ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ," καὶ πάλιν "Ἐν ᾧ εἰσι
Col. ii. 3. "πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι·"
ψάλλει δὲ καὶ ὁ θεσπέσιος Δαυεὶδ πρὸς τὸν ἐν οὐρανοῖς
Ps. lxxii. 24. πατέρα καὶ Θεόν "Ἐν τῇ βουλῇ σου ὡδήγησάς με," βουλὴν
αὐτοῦ λέγων τὸν ἐξ αὐτοῦ φύντα Υἱόν. εἶτα πῶς οὐ γελοῖον
ἀγνοεῖν οἴεσθαί τι τῶν ἐν τῷ Πατρὶ τὴν σοφίαν αὐτοῦ καὶ
τὴν βουλὴν αὐτοῦ; καὶ ὁ μόνος εἰδὼς τὸν Πατέρα, πῶς
b ἀγνοεῖ τὴν τῆς συντελείας ἡμέραν; ποῖον ἄρα τὸ προὔχον
ἐν γνώσει, τὸ εἰδέναι τί ἔστιν ὁ Πατὴρ, ἤγουν τὴν ἐσχάτην
1 Cor. ii. 10. ἡμέραν; γέγραπται δὲ πάλιν ὅτι "τὸ Πνεῦμα πάντα ἐρευνᾷ
"καὶ τὰ βάθη τοῦ Θεοῦ." ὅτε τοίνυν τὸ Πνεῦμα τὸ εἰδὸς
τὰ βάθη τοῦ Θεοῦ καὶ πάντα τὰ ἐν αὐτῷ, Πνεῦμά ἐστι καὶ

2. κατὰ om. n. διαφέρειν δοκῇ A.Γ.D.n. διαφέρῃ Ed. 4. ἄπορον A. ἄτοπον n. ἄπειρον D. Ed. [illegible] Γ. 6. τι] + τὸν n. 12. μείωσιν A. ἔτι] ἐπὶ A.n. τούτων A.D.n. τούτου Ed. 13. καὶ σοφία accessit ex A.Γ.n. ὁ Υἱὸς ὠνόμασται hoc ordine A.n. ܠܐ ܐܝܬܘܗܝ ܒܪܐ (= οὐκ ἔστιν ὁ Υἱός) Γ. 14. ἔφη περὶ αὐτοῦ hoc ordine A. 15. ἐγένηθη Γ.D. ἐγεννήθη Ed. et ut vid. n. σοφία ἡμῖν ἀπὸ Θεοῦ hoc ordine n. ἡμῖν σοφία ἀπὸ Θεοῦ A. ἡμῖν ἀπὸ Θεοῦ σοφία Ed. 17. καὶ assumptum ex A.Γ.n. 18. Ἐν A.Γ.n. Κύριε ἐν D. Ed. 19. υἱὸν] + Λόγον Γ. 20. τι τῶν] τινῶν n. 22. ἀγνοεῖ τὴν τῆς συντελείας ἡμέραν hoc ordine A.n. ἀγνοεῖ post ἡμέραν transponit Ed. 23. ἐν] + τῇ n. 26. ἐστι καὶ αὐτοῦ τοῦ Υἱοῦ hoc ordine A.n. ἐστι post Υἱοῦ transponit Ed.

αὐτοῦ τοῦ Υἱοῦ, πῶς οὐκ οἶδε τὰ ἐν τῷ ἰδίῳ Πατρί; πολλῶν τοιγαροῦν εἰς ἀτοπίαν ἐννοιῶν συνωθουσῶν τὸν ἀμαθῆ καὶ κίβδηλον ἐκείνων λόγον, ἀναγκαῖον ἐλθεῖν ἐπὶ τὴν οἰκονο- c μίαν, φάναι τε, ὅτι πεφόρηκε μὲν ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος μετὰ τῆς ἀνθρωπότητος καὶ πάντα τὰ αὐτῆς, δίχα μόνης ἁμαρτίας. ἀνθρωπότητος δὲ μέτροις πρέποι ἂν εἰκότως καὶ τὸ ἀγνοεῖν τὰ ἐσόμενα· οὐκοῦν καθ' ὃ μὲν νοεῖται Θεὸς, οἶδε πάντα ὅσα καὶ ὁ Πατήρ· καθ' ὃ γεμὴν ἄνθρωπος ὁ αὐτὸς, οὐκ ἀποσείεται τὸ καὶ ἀγνοῆσαι δοκεῖν, διὰ τὸ τῇ ἀνθρωπότητι πρέπον. ὥσπερ δὲ αὐτὸς ὢν ἡ πάντων ζωὴ καὶ δύναμις τροφὴν ἐδέχετο σωματικὴν, οὐκ ἀτιμάζων τὸ d τῆς κενώσεως μέτρον, ἀναγέγραπται δὲ καὶ ὑπνῶν καὶ κοπιάσας, οὕτω καὶ πάντα εἰδὼς τὴν τῇ ἀνθρωπότητι πρέπουσαν ἄγνοιαν οὐκ ἐρυθριᾷ προσνέμων ἑαυτῷ· γέγονε γὰρ αὐτοῦ πάντα τὰ τῆς ἀνθρωπότητος, δίχα μόνης ἁμαρτίας. ἐπειδὴ δὲ τὰ ὑπὲρ ἑαυτοὺς ἤθελον οἱ μαθηταὶ μανθάνειν, σκήπτεται χρησίμως τὸ μὴ εἰδέναι καθὸ ἄνθρωπος, καί φησι, μηδὲ αὐτοὺς εἰδέναι τοὺς κατὰ τὸν οὐρανὸν ὄντας ἁγίους e ἀγγέλους, ἵνα μὴ λυπῶνται ὡς μὴ θαῤῥηθέντες τὸ μυστήριον.

a 390 A.

Πρὸς τοὺς λέγοντας ὅτι ἰδικῶς ὁ Λόγος ἐνεργεῖ τὰς θεοσημίας, οὐδὲν πρὸς τοῦτο ἐχούσης τῆς ἁγίας αὐτοῦ σαρκός. E'.

ΕΠΙΛΥΣΙΣ.

Τοὺς δὲ λέγοντας, ὅτι οὐ χρὴ κοινοποιεῖν τὴν σάρκα

1. υἱοῦ] χριστοῦ Γ. πατρί] + ὁ υἱός n. Pro πατρί, legisse πνεύματι videtur Γ. 4. πεφόρεκεν D.n. Statim μὲν om. n. τοῦ Θεοῦ Λόγος hoc ordine A.n. 6. μόνης] + τῆς Ed. repugnantibus A.D.n. ἀνθρωπότητος δὲ μ. hoc ordine A.n. πρέπει Ed. 8. ὁ assumptum ex A.D.n. καθὰ pro καθ' ὃ A. 10. τῇ ἀνθρωπότητι πρέπον hoc ordine A.n. πρέπειν Ed. invito D. αὐτὸς] ὁ αὐτὸς n. πάντων ζωὴ et ἐδέχετο σωματικὴν hoc ordine A.n. 11. οὐκ ἀτιμάζων τὸ τῆς κενώσεως hoc ordine A. τὸ τῆς κενώσεως οὐκ ἀτιμάζων Ed. 13. τῇ ἀνθρωπότητι πρέπουσαν hoc ordine A.n. 15. ἑαυτοῦ n. μόνης] + τῆς Ed. repugnantibus A.D.n. ἁμαρτίας des. n. 16. ἤθελον οἱ μαθηταὶ μανθάνειν hoc ordine A. ἤθελον post μανθάνειν transponit Ed. 18. κατὰ τὸν A. κατ' Ed. 21. E in mg. reposui e Γ. Δ' exhibet A mg. 22. πρὸς τοῦτο ἐχούσης hoc ordine A. 23. επιλυσις Γ. In A hodie non legitur margine consarcinato. κεφαλ. κ. Ed.

b τῇ θεότητι τοῦ Μονογενοῦς, οὐδὲ τὴν θεότητα τῇ σαρκὶ ἐν ταῖς θαυματουργίαις· ἢ καὶ ὅτι τὸν Λάζαρον ἤγειρεν ἐκ τοῦ μνημείου φωνήσας ὁ Θεὸς Λόγος καὶ οὐχ ὁ ἄνθρωπος, καὶ ὅτι οὐχ ὁ Θεὸς ἐκοπίασεν ἐν τῇ ὁδοιπορίᾳ, ἀλλ' ὁ ἀναληφθεὶς ἄνθρωπος, καὶ αὐτὸς ἐπείνασε καὶ ἐδίψησε καὶ ἐσταυρώθη καὶ ἀπέθανεν· ὁλοτρόπως τῆς ἀληθείας διημαρτηκέναι φαμὲν, καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας ἀγνοῆσαι τὸ μυστήριον. οὐ γὰρ εἶναί φαμεν υἱοὺς δύο, οὐδὲ δύο χριστοὺς, ἀλλ' ἕνα c Χριστὸν καὶ Υἱὸν, τὸν ἐκ Θεοῦ μὲν Πατρὸς πρὸ παντὸς αἰῶνος καὶ χρόνου γεννηθέντα Θεὸν Μονογενῆ καὶ ἐνυπόστατον αὐτοῦ Λόγον, ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς τὸν αὐτὸν κατὰ σάρκα ἐκ γυναικός. μὴ τοίνυν ἀποδιοριζέτωσαν ὡς δίψυχοι, μηδὲ δύο ἡμῖν εἰσκομιζέτωσαν υἱοὺς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ὁμολογείτωσαν, ὡς ἐνανθρωπήσαντα Θεοῦ Λόγον, καὶ αὐτοῦ πάντα καὶ φωνὰς καὶ ἐνεργείας. ἐπειδὴ γὰρ ἦν ὁ αὐτὸς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος, λαλεῖ καὶ θεο- d πρεπῶς καὶ ἀνθρωπίνως· ἐνεργεῖ δὲ ὁμοίως καὶ τὰ ἀνθρώπινα καὶ τὰ θεοπρεπῆ. ὅταν τοίνυν ὁμολογῶσιν ἕνα Υἱὸν καὶ Χριστὸν καὶ Κύριον, πεπαύσονται διαιροῦντες ἀμαθῶς καὶ διιστάντες εἰς δύο, ὡς ἕνα μὲν ἰδικῶς καὶ ἀνὰ μέρος υἱὸν νοεῖσθαι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἕτερον δὲ πάλιν ἰδικῶς καὶ ἀνὰ μέρος υἱὸν τὸν, ὡς αὐτοί φασιν, ἀναληφθέντα ἄνθρωπον. ἡμεῖς γὰρ οὐχ οὕτως φαμὲν, οὐδὲ οὕτως πιστεύομεν, e ἀλλ' ὅτι Θεὸς ὢν ὁ Λόγος γέγονεν σὰρξ τουτέστιν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεὸς, ἀλλὰ καὶ μεμενηκὼς ὅπερ ἦν ἀτρέπτως καὶ ἀναλλοιώτως, καὶ μετεσχηκὼς σαρκὸς καὶ

S. Joan. xi. 43.

Ib. iv. 6.

2. ἤγειρεν ἐκ τοῦ μνημείου hoc ordine A. 3. ὁ Θεὸς Λόγος καὶ οὐχ ὁ ἄνθρωπος A. favente et Γ. οὐχ ὁ [ὁ om. Migne] ἄνθρωπος ἀλλ' ὁ Θεος λόγος Ed. 5. ἐπείνασε A. ἐπείνησε D. Ed. ἐσταυρώθη A.D. et ita inter errata corrigit Vulcanius. ἐνεσταυρώθη (sic) Ed. 6. τῆς ἀληθείας διημαρτηκέναι φαμὲν hoc ordine A. φαμὲν διημαρτηκέναι τῆς ἀληθείας Ed. 11. αὐτοῦ λόγον hoc ordine A. 12. μὴ τοίνυν ἀποδιοριζέτωσαν ὡς δίψυχοι hoc ordine A. Τοίνυν ὡς δίψυχοι [δίψυχον Ed.] μὴ ἀποδιοριζέτωσαν D. Ed. 13. ἀλλ' A.D. ἀλλὰ Ed. 14. ὁμολογήτωσαν A. 16. ἦν ὁ αὐτὸς et τε ὁμοῦ hoc ordine A. 18. τὰ assumptum ex A.D. ὁμολογῶσι A.Γ.D. οὐκ ὁμολογοῦσι Ed. 19. πεπαύσονται διαιροῦντες ἀμαθῶς hoc ordine A. πεπαύσονται post ἀμαθῶς transponit Ed. 23. ἡμεῖς γὰρ οὐχ οὕτως φαμὲν hoc ordine A. φαμὲν et ἡμεῖς inter se transponit Ed. Statim οὐδὲ A.D. οὐδ' Ed. 24. τουτέστιν ἄνθρωπος assumptum ex A.Γ. 26. μετεσχηκὼς σαρκὸς καὶ αἵματος hoc ordine A. μετεσχηκὼς post αἵματος transponit Ed.

αἵματος κατὰ τὰς γραφάς· τὴν δέ γε ἑνωθεῖσαν αὐτῷ καὶ ἰδίαν αὐτοῦ γενομένην σάρκα ἐψυχῶσθαί φαμεν ψυχῇ νοερᾷ.

a 391 A.

Πρὸς τοὺς λέγοντας, ὅτι οὐκ ἀνελήφθη μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκὸς, ϛʹ. ἐν ᾧ καὶ πρὸς τοὺς λέγοντας, ὅτι τὸ ἀναληφθὲν σῶμα τῇ ἁγίᾳ Τριάδι συγκέκραται.

ΕΠΙΛΥΣΙΣ.

Ὅτι δὲ καὶ ἀνελήφθη μετὰ τῆς ἑνωθείσης αὐτῷ σαρκὸς πῶς ἂν ἐνδοιάσειέ τις; τὸν γὰρ ἐκ νεκρῶν ἐγηγερμένον, b *αὐτὸν δηλονότι καθὸ νοεῖται καὶ πέφηνεν ἄνθρωπος, κεκάθικεν ὁ Πατὴρ "ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς "ὑψηλοῖς," "ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνά-"μεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου·" ἥξει δὲ οὕτω κατὰ καιρούς. καὶ ἀρκέσει πρὸς τοῦτο τῶν ἁγίων ἀγγέλων ἡ φωνὴ τοῖς θεωμένοις αὐτὸν ἀναβαίνοντα μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἀναφανδὸν εἰρηκότων "Οὗτος ὁ "Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται ὃν τρόπον* c *"ἐθεάσασθε πορευόμενον αὐτὸν εἰς τὸν οὐρανόν." εἰ μὲν οὖν οἱ τῆς ἀναλήψεως αὐτοῦ γεγονότες θεωροὶ, γυμνὸν τῆς σαρκὸς τὸν Λόγον τεθέανται, οὕτως αὐτὸν καὶ ἥξειν ὑπονοείτωσάν τινες· εἰ δὲ πεπληροφόρηκε τοὺς ἁγίους ἀποστόλους, τὸ ψηλαφητὸν αὐτοῖς δείξας σῶμα, καὶ οὕτως ἀνελήφθη· οὕτω πάλιν ἐλεύσεται, καὶ οὐκ ἂν διαψεύσαιτο τῶν ἁγίων πνευμάτων ὁ ἐπ' αὐτῷ λόγος.*

Heb. viii. 1; i. 3. Eph. i. 21.

Acta SS. Ap. i. 11.

3. Totum hoc capitulum citat Nicephorus in Antirrhetico contra Eusebium, (vide Spicilegium Solesmense i. 483 viro clarissimo Dom Pitra, hodie reverendissimo Cardinali Bibliothecaeque Vaticanae Bibliothecario editum) sub titulo *Τοῦ αὐτοῦ ἐκ τῶν ἐπιλύσεων τῶν προσενεχθεισῶν πεύσεων τῷ αὐτῷ μακαρίῳ Κυρίλλῳ παρὰ τιβερίου διακόνου καὶ τῶν ἀδελφῶν, ἐν κεφαλαίοις ιβʹ, ἐκ τοῦ ἕκτου κεφαλαίου πρὸς τοὺς* etc. ϛʹ in mg. reposui ex ratione Γ, qui hic tamen omittit favente et Nicephoro supra cit. *ϵʹ* exhibet A mg. *αὐτῷ* A.D. Niceph. Migne *αὐτοῦ* Ed. *σαρκὸς*] + *ὁ Χριστὸς* Niceph. Statim *ἐν ᾧ* accessit ex A.Γ. Niceph. 6. edidi ex A mg. Γ. *κεφαλ. κα.* Ed. 9. *νοεῖται καὶ πέφηνεν* hoc ordine A. Niceph. *ἄνθρωπος*] + *αὐτὸς* Niceph. 13. *τε* pro *δὲ* Niceph. 15. *εἰρηκότων* A.Γ. Niceph. *βοώντων* D. Ed. 16. *οὗτος* Niceph. 17. *πορευόμενον αὐτὸν* hoc ordine A. 18. *γεγονότες θεωροὶ* hoc ordine A. Niceph. 21. *δείξας σῶμα* hoc ordine A. Niceph. 23. *πνευμάτων* A.D. *πατέρων* (?) Niceph. *Πνεύματος Ἁγίου* Γ. *ἀποστόλων* mendosissime Ed.

d Ἀλλὰ μηδὲ ἐκεῖνό τινες φανταζέσθωσαν κακῶς, μήτε μὴν ὑπονοείτωσαν, ὅτι τὸ ἑνωθὲν τῷ Λόγῳ σῶμα τῇ τῆς ἁγίας Τριάδος συγκέκραται φύσει. ἀμήχανον γὰρ τὴν ἀπόῤῥητον ἐκείνην καὶ ὑπερφυᾶ καὶ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ λόγου νοουμένην οὐσίαν, προσθήκην τινὰ καὶ μάλιστα τὴν ἔξωθεν καὶ ἑτέρας φύσεως δύνασθαι λαβεῖν. ἔστι γὰρ ἐν τοῖς καθ' ἑαυτὴν παντελεία, καὶ οὔτε μείωσιν ἐπιδέχεταί τινα, διὰ τὸ ἀτρέπτως καὶ ἀναλλοιώτως ἔχειν ἀεὶ, οὔτε μὴν ὡς ἔφην προσθήκης ἂν δέοιτό τινος. περιττολογοῦσι τοίνυν
e οἱ ἐκ πολλῆς ἀμαθίας κατὰ σύγκρασιν ἤγουν συνουσίωσιν ἐν τῇ φύσει τῆς ἁγίας Τριάδος χωρῆσαι τὸ σῶμα λέγοντες. διακείμεθα γὰρ οὐχ οὕτως ἡμεῖς, ἀλλ' ὀρθὴν ἔχομεν περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ τὴν δόξαν. ἐνανθρωπῆσαι γάρ φαμεν αὐτὸν τὸν Μονογενῆ τοῦ Θεοῦ Λόγον, οὐκ
392 A. a εἰς σάρκα τὴν ἰδίαν μεταποιήσαντα φύσιν, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου λαβόντα αὐτὴν, ἥξοντά τε σὺν αὐτῇ, πλὴν ἐν τῇ δόξῃ τοῦ Πατρὸς μετὰ τῶν ἁγίων ἀγγέλων.

382 A. e

Z'. Πῶς χρὴ νοεῖσθαι τό Ὁ Λόγος σὰρξ ἐγένετο.

ΕΠΙΛΥΣΙΣ.

Ἐπειδὴ δὲ, ὡς μανθάνω, προσποιοῦνταί τινες ἐρωτᾶν
383 A. a τό Τί ἂν εἴη ἢ κατὰ τίνα νοεῖται τρόπον τό Ὁ λόγος σὰρξ

1. *ἐκεῖνό τινες* et *φανταζέσθωσαν κακῶς* hoc ordine A. Niceph. *φανταζέτωσαν* Ed. invito D. 2. *τῷ Λόγῳ σῶμα* et *τῆς—φύσει* hoc ordine A. Niceph. *φύσει* ante *τῆς* transponit Ed. 3. *τὴν ἀπόῤῥητον ἐκείνην* hoc ordine A. Niceph. 5. *τὴν* A.D. Niceph. *τῆς* Ed. 7. *ἑαυτὴν* A. Niceph. *ἑαυτὸν* D. Ed. *μείωσιν ἐπιδέχεταί* [*ἐπιδέξεταί* Niceph.] *τινα* hoc ordine A. Niceph. *τινα* ante *μείωσιν* transponit Ed. 10. *οἱ* om. Niceph. *σύγκρισιν* (sic) A. *συνουσίωσιν* A.D. Niceph. *συνουσίαν* Ed. Statim *τῶν* add. Ed. repugnantibus A.D. Niceph. 13. *ἐνανθρωπῆσαι—Λόγον* hoc ordine A. *ἐνανθρωπῆσαι γὰρ αὐτόν φαμεν τὸν Μ. τοῦ Θεοῦ Λόγον* Niceph. *φαμὲν γὰρ αὐτὸν τὸν μονογενῆ λόγον ἐνανθρωπῆσαι τοῦ Θεοῦ* [*τὸν Θεὸν* Ed.] D. Ed. 15. *μεταποιήσαντα φύσιν* hoc ordine A. Niceph. 16. *πλὴν* A.Γ.D. Niceph. *πάλιν* Ed. 17. *μετὰ—ἀγγέλων*] *μετὰ τῆς τῶν ἁγίων ἀγγέλων δόξης* (sic *δόξης* repetens) Γ. 18. *χρὴ νοεῖσθαι τό* A. favente et Γ. *νοητέον τὸ* D. *νοητέον* Ed. Ζ reposui ex analogia Γ. ϛ exhibet A mg. 19. Ita A in margine. Γ. *κεφαλ. ιε.* Ed. 20. *προσποιοῦνταί τινες* hoc ordine A. 21. *νοεῖται τρόπον* hoc ordine A.

ἐγένετο, πάλιν ἀναγκαίως ἐκεῖνό φαμεν· Ἔθος τῇ θεοπνεύστῳ γραφῇ καὶ ἀπὸ μόνης σαρκὸς ὀνομάζειν ἔσθ' ὅτε τὸν ἄνθρωπον. καὶ γοῦν ἐν προφήταις ἐπηγγείλατο Θεὸς ἐκχεῖν τὸ ἑαυτοῦ πνεῦμα ἐπὶ πᾶσαν σάρκα, (Joel ii. 28.) εἴρηται δὲ πάλιν ὅτι "Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ." (Es. xl. 5.) καὶ οὐ δήπου φαμὲν ὡς ἐπὶ μόνην τὴν σάρκα τὸ θεῖον ἐκχεῖται πνεῦμα, ἀλλ' οὐδὲ ὅτι μόνη ἡ σὰρξ τὴν σωτηρίαν τεθέαται τὴν διὰ Χριστοῦ· ἀλλ' ἐπ' ἀνθρώπους ἐξεχύθη τὸ πνεῦμα, b καὶ αὐτοὶ τεθέανται τὴν σωτηρίαν. ὅταν τοίνυν ὁ εὐαγγελιστὴς λέγῃ "Καὶ ὁ Λόγος σὰρξ ἐγένετο," (S. Joan. i. 14.) οὐκ εἰς σάρκα μεταπεποιῆσθαι διδάσκει τὸν τοῦ Θεοῦ Λόγον· ἄτρεπτος γάρ ἐστιν ὡς ἐξ ἀτρέπτου Πατρός· ἀλλ' ὅτι σάρκα ἐψυχωμένην νοερῶς ἰδίαν ποιησάμενος, παραδόξως προῆλθεν ἄνθρωπος παρὰ τῆς ἁγίας παρθένου, ἐπειδὴ δὲ οὐκ ἄνθρωπος ὢν πρότερον τεθεοποίηται μᾶλλον, ἀλλὰ Θεὸς ὢν φύσει, πέφηνεν c ἄνθρωπος.

378 a A.

Πρὸς τοὺς ζητοῦντας, εἰ προσέθηκέ τι τῇ τοῦ ἀνθρώπου φύσει παραγενόμενος ὁ Χριστὸς ἐν σαρκί· καὶ πῶς κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπος. Η'.

ΕΠΙΛΥΣΙΣ.

Ὅτι δὲ παντὸς ἀγαθοῦ πρόξενος τῇ τοῦ ἀνθρώπου γέγονε φύσει παραγενόμενος ἄνθρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ b Λόγος, τίς ὁ μὴ φάναι τολμῶν; ἢ τίς καταρνήσεται, καὶ ἀνόνητον ἡμῖν γενέσθαι φήσει τὴν εἰς τόνδε τὸν κόσμον

1. ἀναγκαίως ἐκεῖνό φαμεν hoc ordine A. φαμὲν ἀναγκαίως ἐκεῖνο Ed. 2. σαρκὸς ὀνομάζειν ἔσθ' ὅτε τὸν ἄνθρωπον hoc ordine A. ἔσθ' ὅτε σαρκὸς τὸν ἄνθρωπον ὀνομάζειν Ed. 3. ἐπηγγείλατο Θεὸς edidi. ἐπηγγείλετο (sic) θεὸς A. ὁ Θεὸς ἐπηγγείλατο [ἐπηγγείλλατο D] D. Ed. Statim ἐκχεῖν τὸ ἑαυτοῦ πνεῦμα hoc ordine A. ἐκχεῖν post πνεῦμα transponit Ed. 7. τὴν σωτηρίαν [σωτήριον Cod.] τεθέαται τὴν διὰ χριστοῦ A. τὴν διὰ χριστοῦ σωτηρίαν τεθέαται Ed. 10. λέγῃ A.D. λέγει Ed. 11. μεταπεποιῆσθαι διδάσκει et τοῦ Θεοῦ Λόγον hoc ordine A. 14. δὲ assumptum ex A.Γ. 15. πέφηνεν A.Γ. γέγονεν D. Ed. 17. H reposui ex Γ., Z A mg. προσέθηκέ τι τῇ τοῦ ἀνθρώπου φύσει hoc ordine A. προσέθηκέ τι post φύσει transponit Ed. 19. edidi ex A mg. Γ. κεφαλ. ι Ed. 20. παντὸς ἀγαθοῦ πρόξενος hoc ordine A. πρόξενος ante παντὸς transponit Ed. γέγονε φύσει hoc ordine A. Statim γενόμενος (sed παραγενόμενος supra in titulo habet) A. 21. ἄνθρωπος—Λόγος A. favente et Γ. ὁ Χριστὸς Ed.

ἀποστολὴν αὐτοῦ; γέγονε μὲν γὰρ κατ' εἰκόνα τὴν πρὸς αὐτὸν ὁ ἄνθρωπος ἐν ἀρχαῖς, καὶ ἦν ἡ φύσις ἐπιτηδείως ἔχουσα πρὸς ἀνάληψιν παντὸς ἀγαθοῦ καὶ εἰς κατόρθωσιν ἀρετῆς. ἔκτισε γὰρ ἡμᾶς "ἐπὶ ἔργοις ἀγαθοῖς," ὡς γοῦν ὁ πάνσοφος γράφει Παῦλος. ἀλλ' ἠφάνισε τῆς θεοειδοῦς εἰκόνος τὸ κάλλος ἡ ἁμαρτία, καὶ ῥυποῦ μεστὸν ἀπέφηνεν ὁ c σατανᾶς τὸ λαμπρὸν τῆς ἀνθρωπότητος πρόσωπον· ἀλλ' ἐπέφανεν ὁ ἀνακαινιστὴς, ὁ ἀναμορφῶν εἰς τὸ ἐν ἀρχαῖς τὸ ἠδικημένον καὶ πάλιν ἡμᾶς εἰς τὴν ἑαυτοῦ μεταπλάττων εἰκόνα, ὥστε τῆς θείας αὐτοῦ φύσεως ἐμπρέπειν ἡμῖν τοὺς χαρακτῆρας δι' ἁγιασμοῦ καὶ δικαιοσύνης καὶ τῆς κατ' ἀρετὴν εὐζωΐας. αὐτὸς γάρ ἐστιν ἡ θύρα καὶ ἡ ὁδὸς, δι' ἧς πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων εἰσελάσαι δεδυνήμεθα, καὶ ὀρθὰς ποιήσασθαι τροχιάς· ὥστε ἐν ἡμῖν μὲν τοῖς ἐν Χριστῷ τὸ d τῆς ἀρίστης εἰκόνος ἐκφαίνεται κάλλος, οἳ δι' αὐτῶν τῶν ἔργων ἠνδραγαθήσαμεν. ἐν δέ γε τῷ πρωτοπλάστῳ πᾶσα μὲν ἐπιτηδειότης ἦν, ἀποφέρουσα δύναμιν πρὸς ἀνάληψιν ἀρετῆς, οὐ πάντως δὲ καὶ ἐνέργεια. τοιγαροῦν καὶ αὐτὸς ἔφη Χριστὸς περὶ ἡμῶν, ἤτοι τῶν ἰδίων προβάτων "Ἐγὼ ἦλθον "ἵνα ζωὴν ἔχωσι, καὶ περιττὸν ἔχωσιν." ἀποδέδοται μὲν e γὰρ τῇ ἀνθρώπου φύσει τὸ ἐν Ἀδὰμ ἐν ἀρχῇ, τουτέστιν ὁ ἁγιασμός· τὸ δὲ περιττὸν, ὥστε οἶμαι, φησὶ, τὸ κατ' ἐνέργειαν ὁρᾶσθαι σεπτοὺς, καὶ δι' αὐτῶν τῶν κατορθωμάτων καταφαιδρύνεσθαι.

Eph. ii. 10.

Cf. Heb. xii. 13.

S. Joan. x. 10.

2. ὁ ἄνθρωπος ἐν ἀρχαῖς hoc ordine A. ἐν ἀρχαῖς ὁ ἄνθρωπος Ed. Diverse Γ, quasi γέγονε δὲ κατ' εἰκόνα τὴν πρὸς ἄνθρωπον ἐν ἀρχαῖς legerat. ἦν ἡ φύσις et ἐπιτηδείως ἔχουσα hoc ordine A. 5. ἀλλ' A.D. ἀλλὰ Ed. 6. ἀπέφηνεν —πρόσωπον hoc ordine A. ἀπέφηνεν ὁ σατανᾶς post πρόσωπον transponit Ed. 8. ἐπέφανεν ὁ ἀνακαινιστὴς hoc ordine A. 10. αὐτοῦ φύσεως et ἡμῖν τοὺς χαρακτῆρας hoc ordine A. 15. τῆς—κάλλος A. κάλλος τῆς ἀρίστης εἰκόνος ἐκφαίνεται [ἐμφαίνεται Ed.] D. Ed. Statim οἳ A. εἰ D. Ed. 16. ἠνδραγαθήσαμεν A.D. ἀνδραγαθήσωμεν Ed. 20. Γ (=ζωὴν αἰώνιον) ܢܦܫܐ ܕܠܥܠܡ περιττὸν A. περισσὸν D. Ed. 22. ὥστε] ὥς γε recte ut vid. emendat Migne.

392 a A.

Ὅτι διὰ τῆς ἰδίας σαρκὸς ἐνεργεῖ τὰς θεοσημίας Θεὸς ὢν ὁ Λόγος. Θ'.

ΕΠΙΛΥΣΙΣ.

Ἄνθρωπον δὲ γενέσθαι φαμὲν τὸν Μονογενῆ τοῦ Θεοῦ b Λόγον, οὐχ ἵνα τὸ εἶναι Θεὸς ἀποβάλῃ, ἀλλ' οὐδ' ἵνα γυμνὸς νοῆται Λόγος, ἐνανθρωπήσας δὲ μᾶλλον, καὶ ἴδιον ποιησάμενος σῶμα τὸ ἐκ τῆς ἁγίας καὶ θεοτόκου παρθένου. οὐκοῦν ὁ Χριστὸν ὀνομάζων, οὔτε Λόγον σημαίνει γυμνὸν, οὔτε ἄνθρωπον κοινὸν, ἢ ὡς ἕνα τῶν καθ' ἡμᾶς· ἐνανθρωπήσαντα δὲ ὡς ἔφην τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ κεχρισμένον εἰς ἀποστολήν. οὐ γὰρ ἄνθρωπος ἐθεοποιήθη, καθά c φασί τινες, ἑνωθεὶς τῷ Λόγῳ, ἀλλ' αὐτὸς ὁ Λόγος σάρκα λαβὼν καὶ γενόμενος ἄνθρωπος μεμένηκε καὶ οὕτω Θεός.

Ὅταν οὖν ἐργάζεται τὰς θεοσημίας, μὴ διορίσας ἀνὰ μέρος τῆς ἁγίας αὐτοῦ σαρκὸς τὸν ἐκ Θεοῦ Λόγον αὐτῷ κατὰ μόνας τὴν ἐπὶ τοῖς τελουμένοις ἀνάψῃς δύναμιν· νόει δὲ μᾶλλον εὐσεβῶς ὅτι γενόμενος ἄνθρωπος ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ διὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς ἐνήργει πολλάκις, ὡς ἰδίαν ἔχων αὐτὴν, οὐ κατὰ σύγχυσιν ἢ φυρμόν. d καὶ ὥσπερ ἔστιν ἐπὶ ἀνθρώπου τεχνίτου νοεῖν τέκτονος τυχὼν ἢ σιδηρέως, ὅτι ποιεῖ τὰ ἔργα μετὰ τοῦ ἰδίου σώματος ἡ ψυχή· καὶ οὐκ ἄν τις εἴποι ψυχῆς ἔργα μόνης εἶναι, εἰ καὶ αὐτὴ κινεῖ πρὸς ἔργα τὸ σῶμα, ἀλλὰ τοῦ συναμφοτέρου·

1. Ὅτι] πρὸς τοὺς λέγοντας praemittit Γ. Θ reposui e Γ. Η exhibet A mg. ἐνείργει C. 2. Ita Γ, et ante ὅτι C mg. ἐπίλυσις non exhibet A. κεφαλ. κβ. Ed. 3. γενέσθαι—Λόγον hoc ordine A.C. τὸν μονογενῆ λόγον τοῦ Θεοῦ γενέσθαι φαμὲν Ed. 4. ἀποβάλλει C. ἀποβάλλῃ D. οὐδ' A.D. οὐδὲ C. οὔθ' Ed. 5. νοῆται C.D. νοεῖται A. νοοῖτο Ed. ποιησάμενος σῶμα hoc ordine A.C. 6. ἁγίας assumptum ex A.C.Γ. καὶ θεοτόκου παρθένου hoc ordine A.Γ. καὶ θεοτόκου om. C. 8. ἢ om. C. ἐνανθρωπήσαντα δὲ ὡς ἔφην hoc ordine A.C. ὡς ἔφην δὲ ἐνανθρωπήσαντα Ed. 11. φησὶ C. 13. τοίνυν pro οὖν C. ἐργάζεται [ἐργάζηται A.] τὰς θεοσημείας hoc ordine A.C. διορίσῃς C. 14. αὐτοῦ σαρκὸς hoc ordine A.C. αὐτῷ] + δὲ [post διορίσῃς supra] C. 15. κατὰ μόνας A.C.Γ.D. κατὰ μονὴν Ed. τοῖς τελουμένοις A.C.Γ.D. τῆς τελουμένης Ed. 17. τοῦ Θεοῦ Λόγος hoc ordine A.C. ἑαυτοῦ A. invito C. ἐνήργει πολλάκις hoc ordine A.C. 19. ἐπὶ ἀνθρώπου τεχνίτου νοεῖν [νοεῖν om. C] τέκτονος A.C.Γ. νοεῖν ἐπὶ [ὑπὲρ Ed.] ἀνθρώπου τέκτονος, τεχνίτου D. Ed. 20. τυχὸν recte ut vid. Migne. μετὰ] κατὰ Ed. 21. μόνον C. εἰ καὶ A.C. καὶ D. κἂν Ed.

οὕτω νόει καὶ ἐπὶ Χριστοῦ. πρὸ μὲν γὰρ τῆς ἐνανθρωπήσεως γυμνὸς ὢν ἔτι καὶ καθ' ἑαυτὸν ὁ Λόγος εἰργάζετο τὰ θεοπρεπῆ, γεγονὼς δὲ ἄνθρωπος, ἐνήργει καὶ διὰ τῆς ἑαυτοῦ
e *σαρκὸς, ὡς ἔφην. οὕτως ἥψατο τῶν τυφλῶν, ἤγειρε δὲ καὶ τὸν τῆς χήρας υἱὸν πάλιν ἐκτείνας τὴν χεῖρα καὶ ἁψάμενος τῆς σοροῦ· οὕτω πτύσας καὶ ποιήσας πηλὸν ἔχρισε τοὺς ὀφθαλμοὺς τοῦ ἐκ γεννητῆς τυφλοῦ.*

Εἰ δὲ καὶ διῆγε πνευματικῶς, ἐννόει πάλιν, ὅτι τὰ καθ' ἡμᾶς ἀναβιβάζων εἰς πνευματικὴν πολιτείαν, αὐτὸς ἤρξατο τοῦ πράγματος ἀνθρωπίνως, ἵνα ὁδὸς καὶ ἀρχὴ γένηται τῇ
393 A. a *ἀνθρώπου φύσει πρὸς τὸ δύνασθαι διαζῆν, οὐκέτι σαρκικῶς καὶ φιληδόνως, ἁγίως δὲ μᾶλλον καὶ πνευματικῶς. ἀρχὴ γὰρ ἡμῖν παντὸς γέγονεν ἀγαθοῦ, καὶ διὰ τοῦτο πέφηνεν ἄνθρωπος, ἵνα τῆς ἐν Ἀδὰμ ἀσθενείας ἐλευθερώσας τὴν ἡμῶν φύσιν, ὡς ἐν ἑαυτῷ καὶ πρώτῳ δείξῃ πνευματικήν.*

369 A. d

Γ'. *Ὁμοίως πῶς κατ' εἰκόνα Θεοῦ ὁ ἄνθρωπος.*

ΕΠΙΛΥΣΙΣ.

Ἐπειδὴ δέ φασι καὶ ἑτέρους ζητεῖν, πῶς δὴ κατ' εἰκόνα Θεοῦ προσήκει νοεῖσθαι τὸν ἄνθρωπον, εἶτά τινες ἀσυνέτως κομιδῇ τὴν τοῦ σώματος εἰκόνα, καὶ τὸ ὁρώμενον εἶδος αὐτό

2. *γυμνὸς* om. C. habet Γ. *καὶ* assumptum ex A.C.D. *εἰργάζετο* A.C.Γ.D. *ἐργάζεται* Ed. 3. *ἑαυτοῦ σαρκὸς* A.C. *σαρκὸς αὐτοῦ* Ed. 4. *τῶν τυφλῶν*] *καὶ τὸν τυφλὸν* C. *ἤγειρε δὲ* [*δὲ* om. C] *καὶ* A.C.Γ. *οὕτως ἤγειρεν* Ed. 5. *τὸν τῆς χήρας υἱὸν πάλιν* hoc ordine A.C.Γ. *πάλιν* ante *τὸν* transponit Ed. Statim *ἐκτείνας τὴν χεῖρα* hoc ordine A.C. 6. *ποιήσας πηλὸν* hoc ordine A.C. *τοὺς ὀφθαλμοὺς τοῦ ἐκ γεννητῆς τυφλοῦ* A.C. *τοῦ ἐκ γενετῆς τυφλοῦ τοὺς ὀφθαλμούς* Ed. 8. *διῆγε πνευματικῶς* hoc ordine A.C. *τὰ* [*τὰ* om. C.] *καθ' ἡμᾶς ἀναβιβάζων* hoc ordine A.C. 10. *ἵν'* A.D. *γένηται τῇ ἀνθρώπου φύσει* hoc ordine A.C. *γένηται* post *φύσει* transponit Ed. 12. *φιληδώνως* (sic) A. *ἀρχὴ γὰρ ἡμῖν παντὸς* [*παντὸς* om. C.] *γέγονεν ἀγαθοῦ* hoc ordine A.C. *ἀγαθοῦ γὰρ παντὸς ἡμῖν γέγονε ἀρχή* Ed. 14. *ἐλευθερώσας* [*ἐλευθερῶσαι* (sic) C.] *τὴν ἡμῶν φύσιν* hoc ordine A.C. *ἐλευθερώσας* post *φύσιν* transponit Ed. 15. *ἑαυτῷ* A.C. *αὐτῷ* D. Ed. *δείξῃ* C.D. *δείξει* A. Ed. 16. Ι reposui e Γ, Θ exhibet A mg. *πῶς* assumptum ex A.C.D. 17. *ἐπίλυσις* A.C.Γ. *θ* iterum addit A. *κεφαλ. γ.* Ed. 18. *ἐπειδὴ δὲ* A.C.D. *ἐπειδὰν* Ed. Statim *φασι καὶ ἑτέρους* hoc ordine A.C. *καὶ ἑτέρους φασὶ* Ed. *δεῖ* pro *δὴ* C. *κατ' εἰκόνα Θεοῦ προσήκει* [*προσήκει* omittit (litteris duobus tribusve erasis) C.] *νοεῖσθαι τὸν ἄνθρωπον* A.C.Γ. *τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ προσήκει νοῆσαι* Ed.

φασιν καὶ οὐχ ἕτερον εἶναι τὴν πρὸς Θεὸν ὁμοίωσιν· δεῖν ᾠήθην εἰπεῖν, ὅτι πεπλάνηνται, καὶ τῆς ἀληθείας ἀφιλοθεάμονα c τὴν διάνοιαν ἔχουσι. τοῦ γὰρ Σωτῆρος ἐναργῶς λέγοντος "Πνεῦμα ὁ Θεὸς," αὐτοὶ σωματοειδῆ εἶναί φασιν S. Joan. iv. 24. τὴν θείαν φύσιν, καὶ ἐν χαρακτῆρι τοιούτῳ ἐν ᾧ καὶ ἡμεῖς ἐσμέν. ἆρ' οὖν σῶμα καὶ αὐτὸς, καὶ οὐκ ἔτι πνεῦμα νοεῖται; ἀκολουθεῖ γὰρ πάντως τὰ εἴδη τοῖς σώμασιν. ἐπειδὴ δὲ πνεῦμά ἐστιν ὁ Θεὸς, ἀνείδεός που πάντως ἐστὶ, καὶ τύπου a 370 A. καὶ σχήματος καὶ περιγραφῆς ἐπέκεινα ἁπάσης. μεμορφώμεθα δὲ πρὸς αὐτὸν κατὰ πρῶτον μὲν καὶ κυριώτατον τρόπον, ὅσον ἂν νοοῖτο, κατ' ἀρετὴν καὶ ἁγιασμόν. ἅγιον γὰρ τὸ θεῖον, καὶ ἀρετῆς ἁπάσης πηγὴ καὶ ἀρχὴ καὶ γένεσις. ὅτι δὲ πρέποι ἂν οὕτω νοεῖσθαι μᾶλλον τό κατ' εἰκόνα Θεοῦ γενέσθαι τὸν ἄνθρωπον, διδάξει καὶ ὁ πάνσοφος Παῦλος τοῖς ἐν Γαλατίᾳ λέγων "Τεκνία οὓς πάλιν ὠδίνω, ἄχρις οὗ b Gal. iv. 19. "μορφωθῇ Χριστὸς ἐν ὑμῖν." μορφοῦται μὲν γὰρ ἐν ἡμῖν δι' ἁγιασμοῦ τοῦ διὰ Πνεύματος, διὰ κλήσεως τῆς ἐν πίστει τῇ εἰς αὐτόν· ἐν δέ γε τοῖς παραβαίνουσι τὴν πίστιν, οὐκ ἐκλάμπουσιν οἱ χαρακτῆρες ὑγιῶς. διὰ τοῦτο χρήζουσιν ἑτέρας ὠδῖνος πνευματικῆς καὶ ἀναγεννήσεως νοητῆς, ἵν' ἐναστράψαντος αὐτοῖς τοῦ Ἁγίου Πνεύματος δι' ἁγιασμοῦ τὴν θείαν εἰκόνα, πάλιν ἀναμορφωθεῖεν εἰς Χριστόν.

Οὐκ ἀπίθανον δὲ καὶ κατὰ τὸ ἀρχικὸν τὴν ὁμοίωσιν c τὴν πρὸς Θεὸν ἐνεῖναι λέγειν τῷ ἀνθρώπῳ. δέδοται γὰρ

1. φασι καὶ οὐχ ἕτερον hoc ordine A.C. φασί post ἕτερον transponit Ed. δεῖνοηθεῖν (sic) C. 4. εἶναί φασι hoc ordine A.C. 8. ἀνείδέως (sic) C. 9. ἁπάσης A. πάσης C. Ed. 10. καὶ κυριώτατον [κυριότατον] τρόπον hoc ordine C. 11. κατὰ C. καὶ] + κατὰ C. 12. ἀρετῆς ἁπάσης hoc ordine A.C. πηγὴ καὶ ἀρχὴ hoc ordine A.C. 14. γεγενεῖσθαι (= γεγενῆσθαι) C. διδάξῃ C. ὁ πάνσοφος Παῦλος hoc ordine A.C. 15. οὗ A.C.D. ἂν Ed. 16. ὑμῖν A.C.D. ἡμῖν Ed. Statim ad δι' transilit C. γὰρ] +καὶ Ed. repugnantibus A.D.Γ. 17. τοῖς pro τῆς C. 18. τῆς pro τῇ (sic) A.C. παραβαίνουσι τὴν πίστιν hoc ordine A.C. 19. ἐλάμπουσιν (sic) A. χρήζουσιν ἑτέρας ὠδῖνος et ἀναγεννήσεως νοητῆς hoc ordine A.C. 20. ἵν' A. ἵνα C. Ed. 21. ἐναστράψαντος [ἀναστρέψαντος (sic) C.] αὐτοῖς τοῦ Ἁγίου Πνεύματος A.C. τοῦ Ἁγίου Πνεύματος ἐν αὐτοῖς ἐναστράπτοντος Ed. 22. ἀναμορφωθεῖεν εἰς Χριστόν hoc ordine A.C. 23. τὴν ὁμοίωσιν—ἀνθρώπῳ hoc ordine A.C. τὴν ὁμοίωσιν τὴν πρὸς Θεὸν post ἀνθρώπῳ transponit Ed. ἐνεῖναι retinui ex Ed. εἶναι [ἐν in mg. manu ut vid. eadem apposito] A. ἓν εἶναι C.

αὐτῷ τὸ ἄρχειν ἁπάντων τῶν ἐπὶ τῆς γῆς. καὶ δεύτερος οὗτος τῆς πρὸς αὐτὸν ὁμοιώσεως λόγος. εἰ δὲ ἐν τῇ τοῦ ἀνθρώπου σώματος φύσει τε καὶ εἴδει κείμενον ἦν τὸ πεπλάσθαι ἢ τὸ πεποιῆσθαι κατ' εἰκόνα τοῦ Δημιουργοῦ, πῶς ἦν δύνασθαί τινας ἀπολλύειν αὐτό; ἀποβεβλήκαμεν γὰρ οὐδὲν τῶν ἐνόντων οὐσιωδῶς. ἐπειδὴ δὲ ἡμᾶς ὁ ἁγιασμὸς καὶ ἡ
d *δικαιοσύνη διαμορφοῖ πρὸς Θεὸν, τοὺς μηκέτι ζήσαντας κατ' ἀρετὴν καὶ ὡς ἐν ἁγιασμῷ, φαμὲν ἀποβαλεῖν τὸ οὕτω σεπτὸν καὶ ἐξαίρετον κάλλος. διὸ καὶ ἀναλαμβάνεται πάλιν δι' ἁγιασμοῦ καὶ ἀρετῆς καὶ τῆς κατ' εὐσέβειαν ζωῆς. εἰ δὲ οἴονταί τινες ἐκ πολλῆς ἄγαν ἐλαφρίας ἀνθρωποειδῆ τὴν θείαν εἶναι φύσιν, πῶς Ἰουδαίοις ἔφασκεν ὁ Σωτὴρ περὶ τοῦ*
S. Joan. v. 37. *Θεοῦ καὶ Πατρός "Ἀμὴν λέγω ὑμῖν, οὔτε φωνὴν αὐτοῦ*
e *"ἀκηκόατε πώποτε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε;" εἰ γὰρ ἦν, ὡς ἔφην, ἀνθρωποειδὴς, πῶς οὐ τεθέανται οὐκ Ἰουδαῖοι μόνον, ἀλλὰ γὰρ καὶ πάντες οἱ ἄνθρωποι τὸ εἶδος αὐτοῦ;*

1. *αὐτὸ* C. *τῆς* om. C. 2. *τῷ* pro *τῇ* (sic) A. 3. *ἀνθρώπου* A.C. *ἀνθρωπείου* D. *ἀνθρωπίνου* Ed. *εἴδει* A.C. *ὄψει* D. Ed. Statim *μένων* C. 4. *ἢ τὸ—Δημιουργοῦ* hoc ordine A.C. *κατ' εἰκόνα τοῦ δημιουργοῦ* ante *ἢ* transponit Ed. 5. *ἀπολλύειν* A. *ἀπολύειν* C.D. Ed. ܕܢܣܬܪܘܢܗ̇ Γ. *ἀποβεβλήκαμεν — οὐσιωδῶς* citat collectio testimoniorum Syriace Cod. Mus. Brit. add. 14532 fol. 37 cum titulo ܕܝܠܗ ܕܒ. ܕܝܠܗ ܡܢ ܦܢܝܬܐ ܗܘ ܕܥܒܕ. ܠܘܬ ܫܘܐ̈ܠܐ ܕܫܐܠ ܐܢܫ ܛܝܒܪܝܘܣ ܡܫܡܫܢܐ ܘܗܢܘܢ ܕܥܡܗ. ܟܕ ܐܝܟ ܕܠܩܢܘܢܐ ܬܚܡ ܗܟܢܐ *Ejusdem e responsione quam fecit ad quaestiones quae interrogavit Tiberius quidam Diaconus iique qui cum eo, quando tanquam ad canona definiit ita.* *ἀποβεβλήκαμεν γὰρ οὐδὲν* hoc ordine A., et (*οὐδὲν* per negligentiam omittens) C. *οὐδὲν* et *ἀποβεβλήκαμεν* inter se transponit Ed. 6. *ἐνόντων* A. *ἐνωνόντων* (sic) C. *ὄντων* Ed. Statim *ἡμῖν* addit C. invito Syr. 7. *διαμορφοῖ πρὸς Θεὸν* hoc ordine A.C. *κατὰ* C.D. 10. *τῆς κατ' εὐσέβειαν ζωῆς* hoc ordine A.C. *ζωῆς* ante *τῆς* transponit Ed. 11. *ἀνθρώπω εἴδει* (sic) C. 12. *εἶναι* om. C., post *φύσιν* transponit D. 13. *Ἀμὴν*] + *ἀμὴν* C.D. Ed. invitis A.Γ. 15. *τεθέανται οὐκ ἰουδαῖοι*] *τεθέαται οὐκ ἰδίοις* (sic) C. 16. *γὰρ* assumptum ex A.C.D. *πάντες οἱ ἄνθρωποι*] *πᾶσι πάντες ἀνθρώποις* (sic) C.

a 380 A.

Ὅτι τὴν εὐχαριστίαν ἐν μόναις χρὴ ταῖς καθολικαῖς ἐκκλησίαις ἐκτελεῖσθαι. ΙΑʹ.

b

ΕΠΙΛΥΣΙΣ.

Τὸ δέ γε δῶρον, ἤτοι τὴν προσφορὰν ἣν τελοῦμεν μυστικῶς, ἐν ἁγίαις ἐκκλησίαις ταῖς τῶν ὀρθοδόξων χρὴ προσφέρεσθαι μόναις, καὶ οὐχ ἑτέρωθί που· ἢ οἱ τοῦτο δρῶντες παρανομοῦσιν ἐμφανῶς. καὶ τοῦτο ἔστιν ἰδεῖν ἐκ τῶν ἱερῶν γραμμάτων. ἐκέλευε γὰρ ὁ νόμος θύεσθαι τὸ πρόβατον κατὰ τὴν ἡμέραν ἤτοι τὴν ἑορτὴν τοῦ πάσχα, καὶ ἦν εἰς τύπον Χριστοῦ· ἀλλ' "ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, φησὶ, καὶ οὐκ Exod. xii. 46.
"ἐξοίσετε τῶν κρεῶν αὐτοῦ ἔξω." ἔξω τοίνυν ἐκφέρουσι τὸ c
δῶρον, οἱ μὴ ἐν τῇ μιᾷ καὶ καθολικῇ οἰκίᾳ τοῦ Χριστοῦ, τουτέστι, τῇ Ἐκκλησίᾳ, τελοῦντες αὐτό· καὶ δι' ἑτέρου δὲ νόμου τοιοῦτόν τι σημαίνεται. γέγραπται γὰρ πάλιν "Καὶ Lev. xvii. 3, 4.
"ὃς ἐὰν θύσῃ μόσχον ἢ πρόβατον ἐν τῇ παρεμβολῇ, καὶ "ἐπὶ τὰς θύρας τῆς σκηνῆς μὴ ἐνέγκῃ, ἐξολοθρευθήσεται ἡ "ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς." οὐκοῦν οἱ ἔξω θύοντες τῆς σκηνῆς, εἶεν ἂν οὐχ ἕτεροί τινες παρὰ τοὺς αἱρετικοὺς, καὶ d
ὄλεθρος αὐτοῖς ἐπήρτηται τοῖς τοῦτο τολμῶσι δρᾶν. πιστεύομεν τοίνυν τὰς ἐν ταῖς ἐκκλησίαις δωροφορίας καὶ ἁγιάζεσθαι καὶ εὐλογεῖσθαι καὶ τελειοῦσθαι παρὰ Χριστοῦ.

1. ΙΑʹ reposui ex Γ., Ιʹ A mg. Totum hoc capitulum citat Codex Mediceo-Laurentianus Plut. v. 22. membr. sec. xii. exaratus fol. 163., ita introducens *Τοῦ αὐτοῦ μακαρίου κυρίλλου ἐκ τῶν ἐπιλύσεων τῶν δογματικῶν ζητημάτων ἐπιζητηθέντων παρὰ τιβερίου διακόνου καὶ τῆς ἀδελφότητος*: deinde *ὅτι τὴν* (1). [in signavi.] 2. *ἐκτελεῖσθαι* A. Ed. *ἐπιτελεῖσθαι* C.m. 3. *ἐπίλυσις* A.C.Γ.m. *κεφαλ. ιβ* Ed. 4. *ἦν* pro *ἣν* (sic) A. 6. *οἱ* assumptum ex A.C.Γ.m. 8. *ἐκέλευσε* m. invitis A.C.D. *θύεσθαι τὸ πρόβατον* hoc ordine A.C.m. 10. *καὶ* om. C.m., habet A. 11. *ἐξοίσετε* A.D.Γ.m. *ἐξοίσεται* C. Ed. *ἔξω* prius assumptum ex A.C.Γ.D.m. *ἐκφέρουσι τὸ δῶρον* hoc ordine A.C.m. 12. *εἰ* pro *οἱ* C. *κυρίου* pro *Χριστοῦ* Γ. 13. *τῆς ἐκκλησίας* A.D. sed *τῇ ἐκκλησίᾳ* retinui cum C.m. Ed. *αὐτό* A.m. Migne. *αὐτῷ* C. *αὐτόν* Ed. 14. *τοιοῦτόν τι*] *τὸ τοιοῦτόν τι* C.m. 17. *ἔξω θύοντες τῆς σκηνῆς* hoc ordine A.C.m. *τῆς σκηνῆς ἔξω θύοντες* Ed. 18. *εἶ ἂν* (sic) C. 19. *τοῖς* om. A.D. habent tamen C.m. *πιστεύομεν—ἁγιάζεσθαι* A.C.m. *τοίνυν τὰς ἐν ταῖς ἐκκλησίαις δωροφορίας ἁγιάζεσθαι* (*καὶ* omittens) *πιστεύομεν* Ed. 20. *δωρυφορίαις* (sic) C.

379 A. a

IB'. Ὅτι τὰς σαρκικὰς ἡδονὰς εἴτουν φυσικὰς κολοβῶσαι δυνάμεθα, ἐκκόψαι δὲ παντελῶς οὐκέτι.

ΕΠΙΛΥΣΙΣ.

Δοκεῖ τισιν ὁ πάνσοφος Παῦλος δυσχερῆ τινα λέγειν,
2 S. Pet. iii. 16. ἤτοι δυσνόητα, κατὰ τὴν τῶν ἁγίων ἀποστόλων φωνήν. ὅτι
b δὲ σοφίας τῆς ἄνωθεν μεμέστωται ταῦτα, οὐκ ἔστιν ἀμφι-
Rom. vii. 22, 23. βαλεῖν, λαλεῖ γὰρ ἐν αὐτῷ Χριστός. ἔφη τοίνυν "ὅτι
"συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον,
"βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ
"νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας,"
Ib. 24, 25. καὶ πάλιν "Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ
"τοῦ σώματος τοῦ θανάτου τούτου; χάρις δὲ τῷ Θεῷ διὰ
c "Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν." καταστρατεύεται μὲν
γὰρ τοῦ νοῦ βλέποντος εἰς ἐγκράτειαν διὰ τὸν τοῦ Θεοῦ
φόβον τὸ κίνημα τῆς σαρκὸς, καὶ ταῖς εἰς ἁγνείαν ὁρμαῖς
ἀντιτάττεται καὶ ἀντεξάγει δεινῶς. ἀλλ' οἱ νήψει χρώμενοι
τῇ πρεπούσῃ τοῖς Θεὸν σεβομένοις, ἐπιτιμῶσι τῷ κινήματι
τῆς σαρκὸς, καὶ τὸ τῆς ἁμαρτίας ἀπαμβλύνουσι κέντρον
ἀσκήσεσι καὶ πόνοις καὶ ταῖς ἄλλαις ἐπιεικείαις χρώμε-
d νοι. ὥστε ἀποριζῶσαι μὲν τῆς σαρκὸς τὴν ἔμφυτον αὐτῆς
ἐπιθυμίαν οὐκ ἔνεστι· νήψει δὲ, ὡς ἔφην, οὐκ ἐᾶν καταθρα-
σύνεσθαι τοῦ νοῦ, δυνατὸν, μάλισθ' ὅτι γέγονεν ἄνθρωπος ὁ

